εἰ δὲ οἱ σοφοὶ H. εἰ δὲ σοφοὶ R. Leid. οἱ δὲ σοφοὶ ceteri.

13. ἄρχοντας] τοὺς ἄρχοντας Leid.

14. σοφίας ἐστίν om. H. Leid., de quo recte judicat Buttmannus "Omissa hic vides verba nostri

ἔχοντας τῷ τοῦ λόγου χρῆσθαι μονοτρόπῳ. ἔχειν δὲ τοῦτον καὶ τὴν ἰατρικὴν ἐν τῇ τῆς τέχνης κατορθώσει, ἠσκηκυίας τῆς θεραπείας τὸ πολύπροπον διὰ τὴν τῶν θεραπευομένων ποικίλην σύστασιν. τρόπος μὲν οὖν τὸ παλίμβολον, τὸ τοῦ ἤθους πολυμετάβολον. λόγου δὲ πολυτροπία καὶ χρῆσις ποικίλη λόγου εἰς ποικίλας ἀκοὰς μονοτροπία γίνεται. ἓν γὰρ τὸ ἑκάστῳ οἰκεῖον. διὸ καὶ τὸ ἁρμόδιον ἑκάστῳ τὴν ποικιλίαν τοῦ λόγου εἰς ἓν συναγείρει τὸ ἑκάστῳ πρόσφορον. τὸ δ' αὖ μονοειδὲς ἀνάρμοστον τὸν πρὸς ἀκοὰς διαφόρους πολύτροπον ποιεῖ τὸν ὑπὸ πολλῶν ἀπόβλητον ὡς αὐτοῖς ἀπόβλητον λόγον. H.M.Q.R.

πολύτροπον] πολλῶν τρόπων ἔμπειρον ἢ ἐπὶ πολλὰ τρέποντα τὴν διάνοιαν. P.

2. ἱερὸν πτολίεθρον] διὰ τὸ κτισθῆναι ὑπὸ θεῶν. ἢ διὰ τὴν πρὸς Δία εὐσέβειαν. E.V. ἢ πᾶν τὸ τινὸς περιεκτικὸν καὶ φυλακτικὸν ἱεροῦ τῶν θεῶν. E.

ἔπερσε] διὰ τί Ὅμηρος οὐ τὸν Ἀχιλλέα ὀνομάζει, ἀλλὰ τὸν Ὀδυσσέα πτολίπορθον, καὶ ταῦτα πόλεις ἀπείρους τοῦ Ἀχιλλέως πορθήσαντος; καὶ λέγομεν, ἐπεὶ ὁ Ἀχιλλεὺς πολίδριά τινα ἐπέσχεν, ὁ δὲ Ὀδυσσεὺς διὰ τῆς οἰκείας φρονήσεως τὴν περίφημον Τροίαν ἐπόρθησε, δι' ἣν οἱ Ἕλληνες πολλῆς κακοπαθείας μετέσχηκαν κατα-

scholii, σοφίας ἐστίν, quæ tamen abesse non possunt: nam quod apud Valckenarium post τρόπον incisum est, ut ἐστί intelligatur ad τῆς σοφίας, id mihi quidem non satisfacit; quamvis idem hæream in repetito illo σοφίας, pro quo priori loco aut τοῦ λόγου oportuit aut nihil".

P. 10. l. 15. ἀμαθίας δὲ τὸ πρὸς τοὺς ἀνομοίως ἔχοντας τῷ τοῦ λόγου χρῆσθαι μονοτρόπῳ H. Legebatur ἀμαθίας δὲ εἶναι τὸ πρὸς τοὺς ἀνομοίους ἐντυγχάνοντα τοῦ λόγου τὸ μονότροπον consentiente Leid., in qua scriptura desideratur infinitivus quocum construatur ἐντυγχάνοντα.

1. ἔχειν δὲ—ἀπόβλητον λόγον] Hæc tam necessario cum præcedentibus cohærent, ut facile appareat illorum ad Iliadem scholiorum compilatorem e scholio ad Od. α, 1. sumpsisse quæ sibi viderentur ad illum Iliadis versum (qui non est 308. πολυμήχαν' Ὀδυσσεῦ, ut videbatur Valckenario, sed 500. παρατρωπῶσ' ἄνθρωποι, ut monuit Porsonus) explicandum facere. Sed homo ineptus qui subsistere poterat in allato Odysseæ versu τ, 321. multa etiam e proximis quasi somnolentus allevit donec experrectus tandem finem exscribendi itidem sine ratione fecit. BUTTM.

ἔχειν δὲ τοῦτον—] Hæc non integra esse animadvertit Buttm.

3. ποικίλην H. Legebatur ποικιλίας.

4. πολυμετάβολον] τὸ πολυμετάβολον R.

5. ποικίλη H.R. Legebatur ποικίλου.

6. τὸ ἑκάστῳ R. Legebatur τῷ ἑκάστῳ.

7. τὸ ἑκάστῳ correxi pro τὸν ἑκάστου.

12. κτισθῆναι E. τετειχίσθαι V.

σχεῖν αὐτὴν θέλοντες, διὰ τοῦτο οὐ τὸν Ἀχιλλέα, ἀλλὰ τὸν Ὀδυσσέα ὀνομάζει πτολίπορθον. Ε.

3. νόον ἔγνω] Ζηνόδοτος "νόμον ἔγνω" φησίν. ἄμεινον δὲ τὸ νόον δι' ὧν Ὀδυσσεὺς αὐτὸς εἰσάγεται λέγων (Od. ζ, 121.) "ἠὲ φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεοῦδής." Μ. 5

νόον ἔγνω] νοῦς τριχῶς λέγεται, θεωρητικὸς, φυσικὸς, πραγματικός. θεωρητικὸς, ὡς ὅταν ὁ φιλόσοφος τὴν τῶν ὄντων γνῶσιν περισκοπῇ· φυσικὸς, ὡς ὅλοι οἱ ἄνθρωποι ἐπίσης νοῦν ἔχομεν· πρακτικὸς, ὡς ὅταν τις ἰδὼν πολλὰς πόλεις καὶ χώρας κἀκείνων γενόμενος ἔμπειρος ἐξ ἐκείνων γνῶσιν συνάξῃ. ἐκ γὰρ τῆς ἐμπειρίας ἡ γνῶσις 10 συνάγεται. Ε.

4. ὃν κατὰ θυμόν] ἐνταῦθα στικτέον εἰς τὸ ἄλγεα, εἶτα "ὃν κατὰ θυμὸν ἀρνύμενος." Q.S.V. τὸ ἐφ' ἑαυτῷ περιποιῶν καὶ σώζων ἑαυτὸν καὶ τοὺς ἑταίρους. ἢ ἀντικαταλλασσόμενος τὴν ἑαυτοῦ ψυχὴν καὶ τὴν εἰς τὸν οἶκον τιμωρίαν ὑπὲρ τῶν ἑταίρων· οἷον αὐτὸς ἀπολέ- 15 σθαι θέλων ἵνα σώσῃ τοὺς ἑταίρους. διαληπτέον δὲ ἐπὶ τὸ νόστον. Q.V.

5. ἀρνύμενος] ἀντικαταλλάσσων, ἀντιδιδοὺς τὰ ἄλγεα διὰ τὴν ἣν ψυχὴν καὶ διὰ τὸν νόστον τῶν ἑταίρων. ἢ ἀντιδιδοὺς τὴν οἰκείαν ψυχὴν διὰ τὸν νόστον, ἀντὶ τοῦ ὑπὲρ τοῦ νόστου, τῶν ἑταίρων, οἷον αὐτὸς 20 ἀπολέσθαι. Β. ἀντιποιούμενος, ἀντικαταλλασσόμενος καὶ περιποιούμενος. Ρ.

8. οἳ κατὰ βοῦς] μυθικῶς μὲν λέγει ὅτι οἱ τοῦ Ὀδυσσέως ἑταῖροι τὰς βοῦς τοῦ Ἡλίου ἔφαγον καὶ διὰ τοῦτο οὐκ ἐδυνήθησαν ὑποστρέψαι εἰς τὰς οἰκίας αὐτῶν· ἀλληγορικῶς δὲ βοῦς Ἡλίου τὰς ἡμέρας νοεῖ, 25 ἃς οἱ τοῦ Ὀδυσσέως φίλοι κακῶς διεβίβασαν, ὕστερον δὴ θελήσαντες ὑποστρέψαι πρὸς τὰς οἰκίας αὐτῶν. Ε.

ἐμνήσθη τούτων, ἐπεὶ ἐκ προαιρέσεως ἀδικήσαντες ἀπώλοντο. V.

Ὑπερίονος] ἐπιθετικῶς τοῦ ἡλίου, ἀπὸ τοῦ ὑπὲρ ἡμᾶς ἰέναι. Ἡσίοδος δὲ Ὑπερίονος αὐτὸν ἐγενεαλόγησεν. V. 30

Ἀπορία. διὰ τί μιᾶς ὑφ' Ἡλίου νεὼς ἀπολωλυίας, ἕνδεκα δὲ παρὰ Λαιστρυγόσιν, ὁ ποιητὴς ἔφη

12. ἄλγεα om. Q.V.
εἶτα om. Q.
13. τὸ ἐφ' ἑαυτῷ] H. e. quantum quidem in ipso erat: ne videlicet objiciatur, non servasse illum socios. BUTTM.
25. ἀλληγορικῶς] Conf. schol. ad μ, 353.
26. δὴ Buttm. pro δέ.
30. Ἡσίοδος] Theog. 374.

οἳ κατὰ βοῦς ὑπερίονος Ἠελίοιο
ἤσθιον, αὐτὰρ ὁ τοῖσιν ἀφείλετο νόστιμον ἦμαρ,

ὡς δὴ πάντων ὑφ' Ἡλίου ἀπολωλότων. φαμὲν οὖν ὅτι ἑταῖροι ἦσαν μὲν πάντες οἱ ἐπανιόντες ἐξ Ἰλίου μετὰ Ὀδυσσέως, ἰδίως δὲ οἱ συμπλέοντες αὐτῷ ἐν τῇ αὐτῇ νηΐ· καὶ ἡ μὲν σπουδὴ ὑπὲρ τῆς πάντων σωτηρίας. δυνατὴ δὲ μᾶλλον ἡ τῶν ἐν τῇ αὐτῇ νηὶ συμπλεόντων. καὶ γὰρ κατὰ τὴν παροιμίαν "κοινὴ ναῦς κοινὴ σωτηρία," ἀλλ' οὐκέτι κοιναὶ νῆες καὶ κοιναὶ σωτηρίαι. τὸ γοῦν

πολλὰ δ' ὅγ' ἐν πόντῳ πάθεν ἄλγεα ὃν κατὰ θυμὸν,
ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων,

ἰδίως τῶν ἐν τῇ Ὀδυσσέως νηὶ δηλοῖ, ὧν καὶ μάλιστα ὡς ἂν σὺν αὐτῷ ὄντων τῆς σωτηρίας φροντίζειν ἐδύνατο, ἐπεὶ τοῦ μόνου εἰς οἶκον ἀνακομισθῆναι τὸν Ὀδυσσέα αἴτιος γέγονεν ὁ Ἥλιος, τοὺς περιλειπομένους ἀποκτείνας. ὥσπερ οὖν εἴ τις λέγει τοῦ τοὺς Τρῶας ἀπολέσθαι αἴτιον Ὀδυσσέα γενέσθαι τὰ περὶ τὸν ἵππον μηχανησάμενον, καίτοι τῶν πλείστων προαπολωλότων ὑπὸ Ἀχιλλέως, Νεοπτολέμου, Αἴαντος καὶ τῶν λοιπῶν ἀριστέων (ὁ γὰρ τὴν πρᾶξιν τελεώσας ἐπώνυμος τοῦ παντὸς ἔργου γίνεται), οὕτως κἀνταῦθα αἰτίου τοῦ μόνον ὑποστρέψαι τὸν Ὀδυσσέα γεγονότος Ἡλίου δικαίως εἶπεν "αὐτὰρ ὁ τοῖσιν ἀφείλετο νόστιμον ἦμαρ." . . . . ἔπειτα οὐ πάντων δι' ἀβουλίας ἀπολωλότων, ἀλλὰ τῶν μὲν διὰ δυστυχίας, ὥσπερ οἱ εἰς τοὺς Κίκονας ἐμπεσόντες, ἢ εἰς τὸν Κύκλωπα, ἢ εἰς τοὺς Λαιστρυγόνας, ἢ εἰς τὴν Σκύλλαν, τῶν δὲ δι' ἀβουλίαν, ὥσπερ μόνοι εὑρίσκονται οἱ εἰς τὸν Ἥλιον ἀκουσίως ἀσεβεῖν ἑλόμενοι, τὸν Ὀδυσσέα σαφῶς φάναι ὅτι ὑπὲρ τούτων μάλιστα ἐσπούδασεν, ὑπὲρ τῶν μὴ ἔξωθεν αἰτίας ἀπολεσθέντων, ἀλλὰ τῶν σωθέντων ἂν, εἰ μὴ ἄφρονες ἦσαν καὶ παραίτιοι αὐτοῖς τοῦ θανάτου. ὡς γὰρ ἑαυτὸν σώζει ἐκ παντὸς τοῦ παρ' ἑαυτὸν ῥυόμενος θανάτου, οὕτως καὶ τοὺς ἑταίρους ἐκ τοῦ παρ' ἑαυτὸν δύναται μόνος σοφὸς ῥύεσθαι θανάτου, εἰ τὸ παρ' ἑαυτοὺς αἴτιον μὴ πρόφασιν ἐνδοῦναι πείσειεν· ἀθανάτους δὲ οὔτε σοφία ποιῆσαι ἐπαγγέλλεται οὔθ' ὁ σοφὸς σώσειεν ἂν ἐκ παντὸς θανάτου, ἀλλ' ἐκ μόνου ἄρα τοῦ παρὰ τὴν ἡμετέραν αἰτίαν ὑφισταμένου, εἰ πεισθεῖεν αὐτῷ οἱ συνόντες· οὐδὲ γὰρ οὐδὲ τοῦ πεῖσαι ἐκ παντὸς κύριος

3. δὴ correxi pro διά.

14. εἴ τις λέγει] Aptius ἄν τις λέγοι.

20. Ante ἔπειτα lacuna est in H. tot literarum capax quot in antecedente versu literæ sunt verborum κἀνταῦθα αἰτίου—Ἡλίου δικαίως.

ὁ σοφός. πολλὰ ὁ μὲν ἔπαθεν ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων ἐν τοῖς παρ' ἑαυτῷ σωστικοῖς ἔργοις τῶν κινδύνων, ἀλλ' οὐκ ἐν τοῖς μὴ παρ' ἡμᾶς ἀποβαινόντων. καὶ ὁμοίως ἐν τοῖς παρ' ἡμᾶς αὐτὸς μὲν ἔσωσεν ἀρετῇ πειθόμενος τοὺς δυνηθέντας ἂν μὴ διὰ τύχην ἔξωθέν τινα καθ' εἱμαρμένην ἀποθανεῖν, ἐκ δὲ τῆς παρ' ἑαυτῶν αἰτίας, καίπερ πολλὰ προθυμηθεὶς, οὐκ ἔσωσεν· αὐτοὶ γὰρ σφετέρῃσιν . . . . . ἦσαν εἰς τὸν Ἥλιον μόνοι ἀσεβήσαντες. ἔδειξεν οὖν ὅτι τῶν συμβαινόντων τὰ μὲν παρὰ τύχην καὶ τὴν ἔξωθεν αἰτίαν, ὧν ὁ σοφὸς οὐ κύριος, τὰ δὲ παρ' ἡμᾶς καὶ τὴν ἡμετέραν ὁρμὴν, ὧν κρατεῖν οἷός τε ὁ σπουδαῖος. καὶ θανάτου οὖν τοῦ μὲν ἔξωθεν καὶ παρὰ τὴν τύχην οὔτ' ἐφ' ἑαυτοῦ οὔτ' ἐπ' ἄλλου ὁ σπουδαῖος κύριος, τοῦ δὲ παρὰ τὴν ἡμετέραν αἰτίαν ἐκ παντὸς προνοήσεται ὁ σπουδαῖος καὶ ἐφ' ἑαυτοῦ καὶ ἐπὶ τῶν αὐτῷ διαφερόντων· καὶ περιγενόμενος ἐφ' ἑαυτοῦ ἀποτακτήσει τὰ πολλὰ ἐπὶ ἄλλων, ὅταν μὴ τὴν αὐτὴν αὐτῷ τῆς φρονήσεως ἔχωσιν ἕξιν. ἀκουστέον οὖν τὸ

πολλὰ δ' ὅγ' ἐν πόντῳ πάθεν ἄλγεα ὃν κατὰ θυμὸν,
ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων

ἐν τοῖς δυνατοῖς καὶ παρ' ἡμᾶς τοῦ θανάτου αἰτίοις, ἀλλ' οὐ μέντοι τοῖς μὴ παρ' ἡμᾶς αἰτίοις· τῶν γὰρ ἐφ' ἡμῖν μόνων ὀρεκτικὸς ὁ σπουδαῖος, καὶ διὰ τοῦτο τῶν ἐξ ἡμῶν αἰτίων θανάτου φυλακτικὸς, ἀλλ' οὐ τῶν ἔξωθεν κατὰ τὴν εἱμαρμένην αἰτίαν ἀποβαινόντων. οὔτε γὰρ πάντων ἁπαξαπλῶς τῶν ἔξωθεν αἴτια, οὔτε πάλιν τὸ ἐφ' ἡμῶν πάντων κύριον, ἀλλ' ὧν μὲν τὸ ἐφ' ἡμῖν, ὧν δὲ κρατεῖ τὰ ἔξωθεν. καὶ τῶν θανάτων οἱ μὲν δι' αἰτίας ἔξωθεν γίνονται, οἱ δὲ δι' ἡμετέρας ἁμαρτίας, καὶ ἐκ τῆς ἀνοίας τῆς ἡμετέρας ἤρτηνται, ὡς οἵ γε πλεῖστοι τῶν διὰ κακίας εἰς κόλασιν ὑπὸ τοῦ νόμου ἐπαγομένων ἠρτημένοι ἀπ' αἰτίας τῆς ἐκ τῶν ἑκουσίων ἁμαρτημάτων. Η.

10. ἀμόθεν] παρὰ τοῖς Δωριεῦσιν ἔστιν ὄνομα ἀμός ἰσοδυναμοῦν τῷ τίς. καὶ ἀπὸ τούτου γίνεται τὸ ἀμόθεν. δηλοῖ δὲ τὸ ἀπό τινος μέρους τούτων. ἀπὸ δὲ τοῦ ἀμόθεν γίνεται καὶ τὸ οὐδαμόθεν. ἀπὸ δὲ τοῦ ἄμως ἐπιρρήματος γίνεται τὸ ἀμωσγέπως καὶ τὸ οὐδαμῶς. Ε. ἔστι δὲ ἡ λέξις τῶν Ἀττικῶν ἀμόθεν ἀπὸ μέρους, ὡς καὶ τὸ ἐναντίον οὐδαμόθεν. τὸ δὲ ἀμόν παρὰ τοῖς Ἴωσι τὸν ἕνα δηλοῖ καὶ οὐδαμὸν τὸν οὐδαμινόν. Μ.

τῶν ἀμόθεν γε] τῶν περὶ τὸν Ὀδυσσέα ὁπόθεν θέλεις πράξεων ἀπό τινος μέρους ἀρξαμένη διηγοῦ ἡμῖν. ἀμόθεν ποθέν. ἔστι λέξις τῶν Ἀττικῶν. ἢ ἀπό τινος μέρους ὁπόθεν θέλεις. S.V.

τῶν—εἰπὲ καὶ ἡμῖν] ἃν σὺ οἶδας, ἵνα καὶ ἡμεῖς γνῶμεν. V.

12. ἔσαν] ἐπορεύθησαν. H.

13. κεχρημένον] ἐπιδεόμενον, χρείαν ἔχοντα. H.

ἠδὲ γυναικός] οἰκείως προσέθηκεν, ἵνα καταφρονήσῃ καὶ θεᾶς ἐρώσης. H.V. 5

14. Καλυψὼ θυγάτηρ ἦν τοῦ Ἄτλαντος. ὄρος δὲ ἦν μέγα, ὅπερ καὶ λέγουσι βαστάζειν κίονας κατέχοντας τὸν οὐρανὸν καὶ τὴν γῆν. H.Q.

16. περιπλομένων ἐνιαυτῶν] συστρεφομένων, τελουμένων τῶν χρόνων, εἰς ἑαυτοὺς ἀνακυκλουμένων. H.

17. ὑπερβατὸν, ἵνα συντάσσηται οἴκόνδε νέεσθαι καὶ ἐν τοῖς ἑαυ- 10 τοῦ φίλοις. H.

18. ἔνθα] τότε. H.V. χρονικὸν ἐπίρρημα καὶ ἐν τόπῳ. V.

20. ἀσπερχὲς μενέαινεν] διόλου ὠργίζετο, ἐχολοῦτο. H.

[21. ἀντιθέῳ Ὀδυσῆϊ] Ὀδυσσεὺς δὲ λέγεται παρὰ τὸ ὁδός καὶ τὸ ὕω, τὸ βρέχω. λέγουσι γὰρ ὅτι ἐν τῇ ὁδῷ ἐγεννήθη. ἐγὼ δὲ καὶ 15 Νικόλαος λέγει ὅτι Ὀδυσσεὺς λέγεται παρὰ τὸ ὀδυσσεύω, τὸ μισῶ. οὕτω γὰρ ἐκλήθη διὰ τὸ συμβεβηκὸς, ὡς καὶ ἐκ τῶν ῥαψῳδιῶν ἔξεστι μαθεῖν. Vind. 56.]

22. ἀλλ' ὁ μὲν Αἰθίοπας] μυθικῶς μέν φασι τὸν Ποσειδῶνα εἰς Αἰθίοπας κατὰ καιρὸν ὡρισμένον παραγινόμενον παρ' ἐκείνων τιμᾶσθαι, 20 ἀλληγορικῶς δὲ Ποσειδῶν λέγεται τὸ ὕδωρ. ἐπεὶ δὲ τὸ ὕδωρ, ἤτοι ὁ ὠκεανὸς, τὴν πᾶσαν χθόνα κυκλοῖ, καὶ ὅτι ὁ Νεῖλος κατὰ καιρὸν ὡρισμένον ἀρδεύει τὴν τῶν Αἰθιόπων γῆν καὶ αὔξει τὰ δένδρα, κατὰ τοῦτο λέγουσι τὸν Ποσειδῶνα ἤτοι τὸ ὕδωρ τιμᾶσθαι παρ' αὐτῶν ὡς πολλῶν ἀγαθῶν ἐκείνοις παρεκτικόν. E. 25

μετεκείαθε] ἡ μετὰ πρὸς τοὺς Αἰθίοπας. τὸ κει δίφθογγον διὰ τὸ μέτρον. H.

23. διχθὰ δεδαίαται] ἀπὸ μεσημβρίας διερχόμενος ὁ Νεῖλος

1. Addidi τῶν in lemmate et ἃν correxi pro ὡς.

4. προσέθηκεν] προστέθεικεν V.

ἵνα καταφρονήσῃ] Hoc est, ut exhibeat illum contemnentem—. Notandus tironibus hic usus dicendi cum particula ἵνα in hisce scholiis, e. g. schol. ι, 353. BUTTM.

7. De iis quæ Cramerus versui

15. ex H. adscripsit vide Præfat. p. V. sq.

14. 16. παρὰ τὸ scripsi pro παρὰ τῆς et παρὰ τοῦ. Etymologia inepta, quacum conf. schol. ad v. 75.

15. ἐγεννήθη scripsi pro ἐγενήθη.

26. In P. est γράφεται δίφθογγον διὰ τὸ μέτρον.

28. ἀπὸ μεσημβρίας δ. ὁ N. διαμερί-

διορίζει τοὺς Αἰθίοπας, ἐκ μὲν ἀνατολῆς ἔχων τοὺς Ἰνδοὺς, ἐκ δυσμῶν δὲ νομάδας καὶ Βλέμυας. ἀρέσκει δὲ τῷ Ἀριστάρχῳ παρὰ τοῖς ἀνατολικοῖς Αἰθίοψι διατρίβειν τὸν Ποσειδῶνα ἐκ τοῦ ἐκ Σολύμων φάσκειν αὐτὸν ὁρᾶν τὸν Ὀδυσσέα. M. Αἰθίοπες ἀνατολικοὶ καὶ δυσμικοί. κατοικοῦσι δὲ ἀμφότεροι πρὸς τῷ ὠκεανῷ. τούτου χάριν φησὶν "ἔσχατοι ἀνδρῶν." E. νενέμηνται, μεμερισμένοι εἰσίν. οἱ μὲν γὰρ αὐτῶν ἐπ' ἀνατολάς εἰσιν, οἱ δὲ ἐπὶ δυσμάς. τινὲς δὲ πρὸς τοῦ Νείλου σχίζεσθαι αὐτοὺς λέγουσιν. H.P.Q.V.

27. ἀθρόοι] δασυντέον τὸ α· καὶ πρὸ τέλους ἡ ὀξεῖα, ἐπειδὴ σημαίνει ὁμοῦ. H.

28. τοῖσι δέ] ἐν τούτοις δὲ τοῖς θεοῖς. V.

29. ἀμύμονος Αἰγίσθοιο] ἢ τοῦ καλοῦ πρὸ τοῦ μοιχεῦσαι, ἢ τοῦ κατὰ γένος ἀγαθοῦ. H.P.V.

30. τηλεκλυτός] οὗ πόρρω ἡ δόξα διέρχεται. P.V.

ὀξυτονητέον τὸ τηλεκλυτός ὡς ἀγακλυτός. εἰ μὲν πτωτικὸν κατ' ἀρχὴν συντεθείη, βαρύνεται, ὡς τοξόκλυτος· εἰ δὲ ἄλλο τι τῶν ὑπὲρ μίαν συλλαβὴν, ὀξύνεται. διὸ σημειούμεθα τὸ ναυσικλυτός ὀξυνόμενον· τὸ δὲ δουρικλυτός ἐν παραθέσει ἐστίν. H.Q.

31. ἔπεα πτερόεντα προσηύδα] γράφεται, ἔπε' ἀθανάτοισι μετηύδα. H.P.

32. ὦ πόποι] ὦ παπαῖ. ἔστι δὲ ἐπίρρημα σχετλιασμοῦ δηλωτικόν. H.V. πόποι οἱ θεοὶ κατὰ τὴν τῶν Δρυόπων φωνήν· καὶ ἐπίρρημα ἀντὶ τοῦ φεῦ. E.

33. ἐξ ἡμέων] ταῦτα οὐ συμφωνεῖ τῇ πάσῃ μυθοποιίᾳ καθ' ἣν εἰσάγει τοὺς θεοὺς πολλῶν αἰτίους συμφορῶν. δυνατὸν μὲν οὖν λύειν

ζει (nam sic scriptum) τοὺς Αἰθίοπας habet etiam S.

3. ἐκ Σολύμων] Vide ε, 283. et compara Eustath. p. 1386, 36.

9. δασυντέον] δασυνητέον H.

πρὸ τέλους ἡ ὀξεῖα] Cf. sch. ad β, 185.

ἐπειδὴ σημαίνει τὸ ὁμοῦ] Vide Piersonum ad Mœrin p. 19. Sed hanc regulam parum constanter servasse videntur antiqui; dixere enim ἄλοχος et ἀδελφός cum leni. Alibi tamen (ad δ, 405.) rem repetit scholiastes. PORS.

16. ὡς τοξόκλυτος addidi ex H. Conf. schol. Il. κ, 109.

18. ἐν παραθέσει] Vocem ναυσικλυτός non item ut alteram δουρικλυτός dicit esse ἐν παραθέσει, quoniam, si ita esset, Homeri sermo requireret νηυσὶ κλυτός. Vid. schol. η, 39. Sed ipsa grammaticorum de hac re qualiacunque præcepta neque ex hoc scholio neque ex illo extricare valeo. Conf. ad ζ, 22. et quæ scripsi in Lexil. I. 24, 9. BUTTM.

21. παπαῖ] παπαί H.V.

σχετλιασμοῦ δηλωτικόν] σχετλιαστικόν H.

τῷ προσώπῳ διὰ τὸ τότε μὲν τὸν ποιητὴν λέγειν, νῦν δὲ τὸν Δία. μᾶλλον δ' ἂν τῇ λέξει λύοιτο· οἱ δὲ καὶ αὐτοὶ σφῇσιν ἀτασθαλίῃσιν· ὡς καὶ τῶν θεῶν αἰτίων, οὐ μὴν ἁπάντων γε, καθάπερ οἱ ἄνθρωποι νομίζουσι. Q.

οἱ δὲ καὶ αὐτοὶ] σημειοῦται Ἀρίσταρχος λέγων τὸν καί σύνδεσμον περιττεύειν. H.M.Q.

οἱ δὲ καὶ αὐτοὶ σφῇσιν ἀτασθαλίῃσιν] τὸ ἑξῆς, οἱ δὲ καὶ αὐτοὶ σφῇσιν ἀτασθαλίαις, ὅ ἐστι ταῖς ἑαυτῶν, ἐν ἴσῳ τῷ αὐτοὶ αἴτιοί εἰσιν. οἱ δὲ περισσὸν τὸν καί σύνδεσμον· ἢ στικτέον, οἱ δέ. V.

34. ὑπὲρ μόρον] οὐ σύνθετον τὸ ὑπὲρ μόρον. μόρον δὲ τὴν μοῖραν. "ἦ ῥα καὶ σὺ κακὸν μόρον ἠγηλάζεις" (Od. λ, 618.). καὶ πῶς ἀλλαχοῦ φησι "μοῖραν δ' οὔτινά φημι" (Il. ζ, 488.); ῥητέον ὅτι τῆς μοίρας τὸ μέν ἐστι μονότροπον, τὸ δὲ ἀμφίβολον, ὡς ἐν Ἰλιάδι ἀπεδείξαμεν· ὡς ἐν τῷ "μήτηρ γάρ τέ μέ φησι διχθαδίας κῆρας φερέμεν" (Il. ι, 410.) M.Q. ἀντὶ τοῦ ὑπὲρ τὸ πεπρωμένον. Q.

36. γῆμ' ἄλοχον] γαμήλιος ὢν ὁ θεὸς ἀναγκαίως τῶν γάμων προνοεῖται. ἢ τὸ πᾶν προκατεσκεύασται πρὸς τῷ μέλλοντι λεχθῆναι ὑπ' Ἀθηνᾶς. Q.

38. Ἑρμείαν πέμψαντες] ἔνιοι πέμψαντε γράφουσι δυϊκῶς, ἢ ἐπὶ τοῦ Διὸς καὶ τῆς Ἥρας· γαμήλιοι γὰρ οὗτοι· ἢ ἐπὶ θεῶν καὶ θεαινῶν· ἢ ἐπὶ Διὸς καὶ τῶν ἄλλων θεῶν. οὕτως δὲ καὶ Ἀριστοφάνης

9. σύνδεσμον om H.Q. qui huic scholio adjungunt verba τὸ δὲ ὑπὲρ μόρον (ὑπέρμορον H.) οὐ σύνθετον.

περιττεύειν] Conf. ad λ, 453.

10. οὐ σύνθετον τὸ ὑ. μ. om. Q. Habet S., addito μόρον δὲ τὴν μοῖραν, sed omissa reliqua scholii parte. ὑπέρμορον probasse Aristarchum, ὑπὲρ μόρον vero ὡς δύο μέρη λόγου ὄντα, Heliodorum, qui interpretatus sit ὑπὲρ τὸ καθῆκον, annotavit Apollon. Lex. s. v. ὑπὲρ μόρον. Conf. etiam schol. Il. β, 155.

μόρον δὲ] δὲ om. Q.

11. ἦ ῥὰ καὶ σὺ M. ἦ ῥα καὶ γὰρ Q. In loco Homerico nunc est ἦ τινα καὶ σὺ, pro quo scholiasta legisse videri potest ἦ ἄρα καὶ σὺ, ut monet Buttm.

κακὸν μόρον] μόρον κακὸν M.

καὶ πῶς ἀλλαχοῦ M. πῶς om. Q.

13. ἐστι] οἶδε Q.

ἀπεδείξαμεν] ἀπέδειξεν Q.

14. μήτηρ—φερέμεν] μοῖρα—φέρεσθαι M.

19. ἔνιοι πέμψαντε γράφουσι δυϊκῶς M. nisi quod γράφουσι compendio γρ expressum hic ut alibi non raro γράφει et γράφουσι et γράφεται. ἐκπέμψαντε (ἐκπέμψατε Q.) δυϊκῶς γάρ H.Q.

20. ἢ ἐπὶ—ἄλλων θεῶν om. H.

21. οὕτως—Ζηνόδοτος] πέμψαντε δυϊκῶς ἀριστοφάνης καὶ ζηνόδοτος H. "πέμψαντε qui scripserunt, ἡμεῖς interpretati sunt ἐγὼ καὶ ἄλλοι θεοί, ut ψ, 443, scholia ἀποκηδήσαντε φερώμεθα explicant ἐγώ τε καὶ ὑμεῖς." DUENTZER. Zenodot. p. 68.

φησὶ καὶ Ζηνόδοτος. H.M.Q. ἡ Μασσαλιωτικὴ γράφει, πέμψαντες Μαίης ἐρικυδέος ἀγλαὸν υἱόν. H.M.

Ἀργειφόντην] ἢ τὸν ἀργὸν καὶ καθαρὸν φόνου, ἢ τὸν φονεύσαντα Ἄργον τὸν πολυόμματον, ὃς ἐφύλασσε τὴν Ἰώ, ἢ τὸν φονέα τῆς ἀργίας, ἢ ὅστις τοὺς ἀργοὺς καὶ ἀπράκτους λογισμοὺς ἀναιρεῖ. S. 5

ὁ Ἑρμῆς πεμφθεὶς πρὸς τὸν Αἴγισθον ἄντικρυς τοῦτο δηλοῖ τὴν ἐκ θεῶν ἀνθρώποις λόγου τοῦ κατ' ἀρετὴν δωρεὰν, φύσιν ἔχοντος ἀποτρέπειν μὲν τῶν κακῶν, ἐπὶ δὲ τὰ ἀγαθὰ παρορμᾶν. μυθικῶς μὲν Ἑρμῆς διάκτορος καὶ Ἀργειφόντης λέγεται ἐκ τοῦ διατορεῖν καὶ ἀγγέλλειν τὰ τῶν θεῶν· καὶ Ἀργειφόντης ὅτι Ἄργον ἀνεῖλε τὸν παν- 10 όπτην, ὃν ἡ Ἥρα φύλακα τῆς Ἰοῦς ἐπέστησε τῆς Ἰνάχου παιδός. ἀλληγορικῶς δὲ ὁ προφορικὸς λόγος Ἑρμῆς λέγεται παρὰ τὸ ἑρμηνευτικὸς εἶναι, καὶ διάκτορος ὅτι διεξάγει τὰ τῆς ψυχῆς καὶ νοῦ ἐνθυμήματα, Ἀργειφόντης δὲ ὡς ἀργὸς καὶ καθαρὸς φόνου. παιδεύει γὰρ καὶ ῥυθμίζει καὶ πραΰνει τὸ θυμικὸν τῆς ψυχῆς. ἢ ὅτι τὸν Ἄρ- 15 γον κύνα ἀναιρεῖ, τουτέστι τὰ λυσσώδη καὶ ἄτακτα ἐνθυμήματα. καὶ παρὰ τὸ ἀργεννὰ ἤτοι καθαρὰ φαίνειν τὰ τῆς ψυχῆς ἐνθυμήματα. E.

39. κτείνειν] γράφεται, κτεῖναι. H.

40. ἐντεῦθεν ἐκ τοῦ διηγηματικοῦ μετῆλθεν ἐπὶ τὸ μιμητικὸν, 20 διὸ καὶ ἐπιφέρει "ὣς ἔφαθ' Ἑρμείας." τὸ δὲ Ἀτρείδαο οὐ κατὰ τοῦ Ὀρέστου, ἀλλὰ κατὰ τοῦ Ἀγαμέμνονος τέτακται. H.

Ἀτρείδαο] μετὰ τοῦτο ὑποστικτέον. ἢ τοῦ τοῦ Ἀτρείδου Ἀγαμέμνονος, τοῦ Ὀρέστου. P.V.

1. φησὶ addidi ex M. "Aristophanem et Zenodotum, quibus dualis forma diserte tribuitur, legisse censeo

Ἑρμείαν πέμψαντε διάκτορον Ἀργειφόντην:

sic enim, nisi quod mendose ibi scriptum πέμψαντες, habet cod. Vind. 307." BUTTM.

πέμψαντες M. πέμψαντε H.

2. Μαίης ἐρικυδέος] μαίας ἐρικυδέας H.

4. τὴν Ἰώ] τὴν ἰνὼ S. Correxi ex V. ubi scholion compendifactum est τὸν ἀργὸν φόνου καὶ εἰρηνικὸν, ἢ τὸν φ. Ἄ. τὸν πολυόμματον κύνα, ὃς ἐφύλασσε τὴν Ἰώ.

9. διατορεῖν] διακτορεῖν E. A verbo διακτορεῖν ficto vocem διάκτορος repetere non potuit grammaticus. Reponendum itaque διατορεῖν, cui verbo a voce διάτορος, τρανὸς, σαφὴς significatio nuntiandi tribui potuit. Sic διακτορία apud Theophrastum male scriptum esse pro διατορία demonstravi in Lexil. I. 54. not. alt. Derivatum autem nomen διακτόρου a voce διάτορος ut alibi ita vide infra ad ε, 43. BUTTM.

11. Ἰοῦς] ἰνοῦς E.

20. In S. ad v. 42. κατῆλθεν ἐπὶ τὸ μιμητικὸν, διὸ καὶ ἐπιφέρει "ὣς ἔφαθ' Ἑρμείας."

23. τοῦ τοῦ (id est τοῦ υἱοῦ τοῦ) Buttm. τούτου V. τοῦ P.

41. μέλλοντα ἀντὶ ἐνεστῶτος ἐπήγαγε ἀκαταλλήλως. H.S.

42. ἀλλ' οὐ φρένας] κἀκ τούτου δῆλον ὅτι δύο περὶ ἕκαστόν εἰσιν εἱμαρμέναι, αἱρεῖται δὲ ἕκαστος ἣν βούλεται. H.V.

44. γλαυκῶπις Ἀθήνη] ..... ὅταν ἐπὶ τοῦ δράκοντος λέγῃ "σμερδαλέον δὲ δέδορκε," τὸ ἄγαν στίλβον τῶν ὀφθαλμῶν ἀκουσόμεθα. καὶ γὰρ δράκων παρὰ τὸ δράκειν εἴρηται. "σμερδαλέω δὲ λέοντε" (Il. σ, 579.) ἐπὶ τῆς ἐκφοβούσης αὐτῶν ὁράσεως ἐκδεξόμεθα· καὶ γὰρ ὁ λέων παρὰ τὸ λεύσσειν ὠνόμασται. αὐτὸς γὰρ ἡρμήνευσε τί τὸ σμερδαλέον, ἐπ' αὐτῶν εἰπών (Il. υ, 172.) "γλαυκιόων·" καὶ ἡ ἀσπὶς δὲ τῆς Ἀθηνᾶς διὰ τὴν μαρμαρυγὴν "δεινή τε σμερδνή τε·" (Il. ε, 742.) δεινὸν γὰρ καὶ φοβερὸν τὸ ἄγαν λαμπρὸν καὶ στίλβον. γλαυκιόωντες δὲ οἱ λέοντες καὶ ἡ Ἀθηνᾶ γλαυκῶπις ἀπὸ τοῦ γάλακτος, ὅ ἐστιν ἄσκιον· καὶ διὰ τοῦτο τὸ λευκὸν ὑπ' αὐτοῦ εἴρηται· μέλαινα γὰρ ἡ σκιά, "σκιόωντο δὲ πᾶσαι ἀγυιαί·" (Od. β, 388.) ὀξὺ δὲ τὸ λευκόν, καὶ τὸ μέλαν ἀμβλύ. ἡ οὖν ὀξὺ ὁρῶσα φρόνησις γλαυκῶπις. ἀπὸ δὲ τοῦ γάλακτος καὶ τῆς στιλβηδόνος γλαυκὴ καὶ ἡ θάλασσα εἴρηται, καὶ ἡ τοῦ ὀφθαλμοῦ κόρη γλήνη, ὡς τὸ "ἔρρε κακὴ γλήνη." (Il. θ, 164.) καὶ τρίγληνα τὰ ἐλλόβια, ἀπὸ τοῦ ἐν λευκότητι ἀποστίλβειν. καὶ "ὃς γλήνεα πολλὰ κεχάνδει," (Il. ω, 192.) τὰ μὴ ῥερυπωμένα ἱμάτια, ἀλλὰ στιλπνὰ διὰ καθαρότητος. καὶ ζοφουμένη θάλασσα "μελάνει δέ τε πόντος" (Il. η, 64.) λέγεται. ἀτάραχος γὰρ οὖσα καὶ διειδὴς "λευκὴ δ' ἦν ἀμφὶ "γαλήνη." (Od. κ, 94.) καὶ γὰρ ἡ γαλήνη ἀπὸ τοῦ γάλακτος εἴρηται· καὶ ἐπεὶ τὸ μέλαν σκυθρωπόν, τὸ δὲ λευκὸν ἀντίκειται τῷ μέλανι, ἱλαρὸν ἂν εἴη, γέλως δὲ ἡ ἱλαρότης· "γέλασσε δὲ πᾶσα περὶ χθὼν (φησὶ) χαλκοῦ ὑπὸ στεροπῆς" (Il. τ, 362.) τουτέστι λαμπρυνθεῖσα φαιδρὰ ἐγένετο. οὕτω δεῖ νοεῖν καὶ τὸ "κόρυθες καὶ θώρακες λαμπρὸν γανόωντες" (Il. ν, 265.) ἀπὸ τῆς αὐγῆς τῆς λαμπούσης καὶ διὰ τῆς στιλβηδόνος φαιδρυνομένης. καὶ γαίων δὲ τῷ κύδεϊ (Il. α, 405.) ὁ διαχεόμενος καὶ λαμπρυνόμενος διὰ τὴν δόξαν. ἐπεὶ δὲ φῶς ἐστιν ἐπὶ τοῖς ὀφθαλμοῖς, ὅταν μὲν ἥμερον λάμπωσι,

1. μέλλοντα] Spectat fortasse ad ἐπιβήσεται a quibusdam pro ἱμείρεται lectum.

3. δύο—εἱμαρμέναι] Conf. schol. ad v. 34. et Il. ι, 410. BUTTM.

5. Indicavi lacunam, cui explendæ non sufficiunt verba ὅταν—σμ. δὲ (Il. χ, 95.), quæ addidi ex Porphyr. Quæst. Hom. c. 9. In reliqua quoque scholii parte plura apud Porphyrium paullo aliter scripta.

14. σκιόωντο—ἀγυιαί] σκιόωνται—αἱ ἀγυιαί. H.

28. αὐγῆς ex Porphyrio pro γῆς.

31. λάμπωσι] βλέπωσι Porphyr.

φάεα αὐτὰ καλεῖ· "κύσσε δέ μιν κεφαλὴν καὶ ἄμφω φάεα καλά" (Od. π, 15.) καὶ ἥμερον ζῶον ἄνθρωπος φὼς, ζωῆς δὲ ἔτι μετέχων, ἀπὸ τοῦ ἐν τοῖς ὀφθαλμοῖς φωτός· ὅταν γὰρ ἀποθάνῃ, "κατὰ δ' ὄσσ' ἐρεβεννὴ νὺξ ἐκάλυψε·" (Il. ε, 659.) ὅταν δὲ ἐξαγριωθῶσιν ὑπ' ὀργῆς καὶ ἐκκαυθῶσιν, ἔτι μὲν ἀρχομένης τῆς ὀργῆς "πυρὶ λαμπετόωντι 5 εἴκτην," (Il. α, 104.) κρατησάσης δὲ "πῦρ ὀφθαλμοῖσι δέδορκε·" καὶ γὰρ τὸ φῶς ἀπὸ πυρὸς, καὶ τὸ ὕφαιμον δὲ ὁρᾶν διὰ τὸ πυρὶ ἐοικέναι τὸ αἷμα σμερδαλέον εἴρηται (Od. ζ, 137.)

σμερδαλέος δ' αὐτῇσι φάνη κεκακωμένος ἅλμῃ

τουτέστιν ὕφαιμον βλέπων διὰ τὸ πυρωποὺς ἔχειν τοὺς ὀφθαλμοὺς ἐκ 10 τῆς ἁλός· καὶ ἐπὶ τοῦ πυρὸς δίκην βλεπομένου εἰπών (Il. ο, 605.)

μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐγχέσπαλος, ἢ ὀλοὸν πῦρ
οὔρεσι μαίνηται

ἐπάγει "τὼ δέ οἱ ὄσσε λαμπέσθην·" λοιπὸν δὲ καὶ κατὰ μεταφορὰν σμερδαλέα μὲν τὰ οἰκήματα τοῦ Ἅιδου ἔφη, ἀπὸ τοῦ ὕφαιμα εἶναι 15 καὶ φόνων πλήρη, ἐπὶ τὴν ὄψιν ἀναφέρων· ἐπὶ φωνῆς δὲ λαμπρᾶς καὶ διαφανοῦς (Il. β, 334.)

σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ' Ἀχαιῶν.

καὶ "σμερδνὸν βοόων." (Il. ο, 687.) καὶ γὰρ ἐπ' ὀρχήσεως συντόνου μεταφέρων "μαρμαρυγὴν" ἔφη "θῆτο ποδῶν." (Od. θ, 265.) τὰς ἐν 20 τῇ κινήσει στιλβηδόνας, ἃς ποιεῖ καὶ τὸ πῦρ κινούμενον· καὶ οὐχ οἱ φιλόσοφοι πρῶτοι τὸ λευκὸν ἀφωρίσαντο τὸ διακριτικὸν ὄψεως, ἀλλὰ πρὸ αὐτῶν Ὅμηρος μαρμαίρειν λέγων τὸ λάμπειν, ὅ ἐστι μερίζειν καὶ διαιρεῖν, ἀφ' οὗ τὸ διακρίνειν· ὅθεν τὸ μὴ μερίζον, ἀλλὰ σκοτεινὸν, ἀμαυρόν. καὶ ὅτι ἀπὸ τοῦ μερίζειν καὶ διακρίνειν καὶ διαιρεῖν 25 κέκληται τὸ σκοτεινὸν, μαρμαίρειν δὲ δηλοῖ τὸ φῶς δάος καλέσας "δάος μετὰ χερσὶν ἔχουσα," ἀφ' οὗ αἱ δεκτικαὶ τοῦ φωτὸς δαΐδες. οὕτως ἐβουλόμην τὰς Ὁμηρικὰς λέξεις καὶ τοὺς ἐξηγητὰς σκοπεῖσθαι, καὶ τοὺς τοῦτον τὸν τρόπον ἐξηγησαμένους ἀποδέχεσθαι. H.

46. ἐοικότι] πρέποντι, ὁμοίῳ. H. 30

47. ὣς ἀπόλοιτο καὶ ἄλλος] ἐμφαίνει τοὺς μνηστῆρας. H.V.

ὣς ὄλλοιτο] γράφεται, ἀπόλοιτο. P.

ῥέζοι] ἐπιτελοίη, παρὰ τὸ αἷμα πράττων. V.

1. κύσσε—μετέχων om. Porphyr.
4. δὲ ex Porphyrio pro γάρ.
6. κρατησάσης] κρατούσης Porph.
11. βλεπομένου] μαινομένου Porph.
18. κονάβησαν] κονάβησε H., quod est alio in versu Il. ο, 648.
22. Inter ἀλλὰ et καὶ διαιρεῖν lacuna est in H. tot fere verborum capax quot ego ex Porphyrio addidi usque ad μερίζειν.

48. δαΐφρονι] πολεμόφρονι. H.V. δαΐς γὰρ ἡ μάχη. ὅταν δὲ ἐπὶ τῆς Πηνελόπης λέγῃ, δεδαηκυίᾳ κατὰ φρένας, τουτέστι μεμαθηκυίᾳ, ἐξ οὗ τὴν συνετὴν καὶ σώφρονα βούλεται δηλοῦν. V.

δαίεται] διακόπτεται. τὸ γὰρ καίεται ἐπὶ ἐρώσης. V.

49. δηθὰ] πολλά. V. 5

δυσμόρῳ] δύσμορόν φησι τὸν Ὀδυσσέα ὡς μεγάλα κακὰ παθόντα τῇ πλάνῃ. H.

φίλων ἄπο] ἀντὶ τοῦ ἄποθεν· διὸ ἐγκλίνεται, ὡς τὸ "ἄπο πλυνοί εἰσι πόληος." (Od. ζ, 40.) H.

50. ἀμφιρύτῃ] τῇ ἀμφοτέρωθεν περιρρεομένῃ. H. 10

ὅθι τ' ὀμφαλός ἐστι θαλάσσης] μέση τῆς περὶ αὐτὴν θαλάσσης. ἢ τὸ βάθος. V.

52. Ἄτλαντος θυγάτηρ] Ἡσίοδος δὲ ἐν Θεογονίᾳ φησὶ τὴν Καλυψὼ θυγατέρα Ὠκεανοῦ καὶ Τηθύος. V.

ὀλοόφρονος] Κλεάνθης δασύνει, τοῦ περὶ τῶν ὅλων φρονοῦντος, 15 ἴδιον οὕτως * *. ἄμεινον δὲ ψιλοῦντας ἀκούειν τοῦ τὰ ὀλέθρια καὶ δεινὰ φρονήσαντος· εἷς γὰρ τῶν Τιτάνων ὁ Ἄτλας ἱστορεῖται. H.

ὀλοόφρονος] ὀλεθρίου· ἐπεὶ πολέμιος τοῖς θεοῖς· καὶ γὰρ τοῖς θεοῖς ἐπολέμει. οἱ δὲ τὸ ἑξῆς, θαλάσσης ὀλοόφρονος. οἱ δὲ ἐδάσυναν, ἵν' ᾖ περὶ τῶν ὅλων φρονοῦντος. αὐτὸς γὰρ ὁ Ἄτλας τὸν κόσμον βαστά- 20 ζων παραδίδοται. ἢ ἐγέγραπτο κατὰ τὴν ἀρχαίαν γραφήν· εἶτά τις μὴ νοήσας προσέθηκε τὸ ος. H.P.Q.V.

53. ἔχει δέ τε] νῦν, ἐπιμελεῖται, ὡς καὶ ἐκεῖ, "καί μοι κῆπον ἔχει πολυδένδρεον" (Od. δ, 737.). ἢ κρατεῖ καὶ βαστάζει. P.V.

56. αἱμυλίοισι] παραλογιστικοῖς. ἢ εὐνοϊκοῖς καὶ οἷον συγγενι- 25 κοῖς, ἢ τοῖς μετ' ἐμπειρίας συνετοῖς καὶ προσηνέσιν. V.

58. ἱέμενος καπνὸν ἀποθρώσκοντα] τρόπον ἑρμηνείας ἀντίστροφον ὁ Χαῖρίς φησιν εἶναι, ὅταν ἀναστρέφωσι τὸν σχηματισμὸν αἱ λέξεις·

2. Πηνελόπης] Immo de Euryclea conjuge Laertæ ο, 356. BUTTM.

13. Θεογονίᾳ] 359.

15. δασύνει] Conf. ad λ, 322. et Eustath. p. 1389, 55.

16. Post οὕτως in H. est voc. obscurum, in quo literæ ῆσθ apparent. Fort. νοήσας.

18. ὀλεθρίου] ὀλέθριος H. præfixo Ἄλλως.

καὶ γὰρ τοῖς θεοῖς ἐπολέμει om. V.

21. ἐγέγραπτο] ἐγγέγραπτο Q. γέγραπτο H.P.V.

εἶτα—ος om. Q.

26. ἢ addidit Buttmann. Duas proponit derivationes, priorem ab αἷμα, alteram ab αἵμων.

28. ὁ Χαῖρις (nam sic codicis vitium ὁ χάρις correxit Cobetus) habet M., om. Q.

φησιν M. φασιν Q.

ὡς τὸ, "χασσάμενος πελεμίχθη" (Il. δ, 535.) ἀντὶ τοῦ ἐχάσσατο. καὶ "κονίσαλος ὤρνυτ' ἀέλλης" (Il. γ, 13.) ἀντὶ τοῦ κονισάλου· καὶ, "παρῴχηκεν δὲ πλέων νὺξ τῶν δύο μοιράων" (Il. κ, 252.), παρὸν οὕτως φάναι, τὸ πλέον τῆς νυκτὸς, ὅ ἐστι δύο μοῖραι. τὸν αὐτὸν δὴ τρόπον κἀνθάδε, Ὀδυσσεὺς δὲ καπνὸν ἀποθρώσκοντα ἱμειρόμενος ἰδεῖν 5 ἧς γαίης θανέειν ἵεται. τινὲς δὲ λείπειν φασὶ τὸ τούτου τυχών. M.Q.

59. ἧς γαίης] ἐνταῦθα στικτέον. τὸ γὰρ ὅλον, ὁ πρότερον ἐπιθυμῶν καπνὸν τῆς πατρίδος ἰδεῖν νῦν εὔχεται διὰ τὰ κατέχοντα τελευτῆσαι. V. 10

60. οὔ νύ τ' Ὀδυσσεὺς Ἀργείων παρὰ νηυσὶ χαρίζετο ἱερὰ ῥέζων] ἐκεῖνος μὲν τὰ παρ' αὐτοῦ ἐπιθύων, σὺ δὲ οὐ κεχαρισμένως ἐλάμβανες. H.V.

62. τί νύ οἱ] μία μόνη ὀξεῖα. τὰ γὰρ παράλληλα ἐγκλιτικὰ, καὶ μάλιστα ὅτε εἰς φωνῆεν λήγει, προφάσει τῶν δύο βραχειῶν οὐκ 15 ἐγείρει τὸν τόνον. H.M.

τί νύ οἱ] τί αὐτῷ τὸ τοσοῦτον ὠργίσθης, ὦ Ζεῦ; H.

ὠδύσαο] ὠργίσθης ἢ προσέκρουσας. τῷ γὰρ ὀδύσασθαι ἐπὶ τοῦ προσκροῦσαι ἐχρῶντο οἱ παλαιοί. E.

63. καλῶς τὸν Δία νεφεληγερέτην φησί. Ζεὺς γὰρ λέγεται ὁ 20 ἀήρ· τῶν δὲ ἀναθυμιάσεων πυκνὸν μὲν ἐν τῷ ἀέρι ἐγείρονται αἱ νεφέλαι. καὶ διὰ τοῦτο νεφεληγερέτην τὸν Δία φησί. E.

66. περὶ μὲν νόον] ὑπερθεῖ τὸν νοῦν τῶν ἀνθρώπων καὶ συνέσει καὶ εὐσεβείᾳ. H.V.

67. οὐρανόν] οὐρανῷ τὴν κεφαλὴν ἀναλογεῖν λέγει. θεοὺς δέ φησι 25 τὰς αἰσθήσεις. E.

68. γαιήοχος λέγεται ἢ ὁ ἔχων ἤτοι συνέχων τὴν γῆν, ἢ ὁ ὀχούμενος ἢ βασταζόμενος ὑπὸ τῆς γῆς. E.

1. ὡς τὸ] καὶ ὡς τὸ M. καὶ τὸ Q. χασσάμενος πελεμίχθη ἀντὶ τοῦ ἐχάσσατο] χασάμενος πολεμιχθεὶς ἐχάσσατο M. χωσάμενος πολεμιχθεὶς ἀντὶ τοῦ ἐχώσσατο Q. Post ἐχάσσατο addendum videtur πελεμιχθείς.

2. καὶ om. Q. κονίσαλος ὤρνυτ'—κονισάλου M. κονίσσαλος αἴνυπ'—κονισσάλου Q.

3. δὲ om. Q.

4. νυκτὸς, ὅ ἐστι δύο μοῖραι] νυκτὸς δύο μοίρας Q.

δὴ om. Q.

6. ἵεται Buttmannus. Libri ἱμείρεται.

τυχών om. Q.

14. μία μόνη ὀξεῖα M. μία ὀξεῖα τὸ τίνυοι H.

15. ὅτε—λήγει H. ὅταν—λήγῃ M.

ἀσκελὲς σημαίνει τὸ ἄγαν σκληρόν. σκέλλειν γάρ ἐστι τὸ σκληροποιεῖν, καὶ ὁ σκελετὸς κατεσκληκὼς διὰ τὴν ἀσαρκίαν. καὶ Ἀσκληπιὸς κατὰ στέρησιν μετὰ ἠπιότητος, καὶ διὰ τῆς ἰατρικῆς μὴ ἐῶν σκέλεσθαι. ἐνίοτε δὲ ἀσκελὲς τὸ ἐπὶ πᾶσι σημαίνει. καὶ ὁ Σοφοκλῆς "σίδηρον ὀπτὸν ἐκ πυρὸς περισκελῆ θραυσθέντα καὶ ῥαγέντα πλεῖστ' ἂν εἰσίδοις." ὁ δὲ ἀπέδωκεν ἀσκελέως ἀδιαλείπτως κατὰ μετάληψιν· τὸ γὰρ ἀσκελὲς ἄβατον, ἀπόρευτον. Πορφύριος. Ε. Q. ἀσκελὲς, ἀμετακινήτως, κατὰ στέρησιν τῶν σκελῶν· ἢ ἀδιαλείπτως καὶ ἄγαν σφοδρῶς. V.

αἰὲν] ἀεὶ καὶ διὰ παντός. V.

69. ὃν ὀφθαλμοῦ ἀλάωσεν] ὃν τῆς θυγατρὸς ἐστέρησεν. μίαν θυγατέρα εἶχεν ὡς ὀφθαλμόν. P.

ἀλάωσεν] τοῦ λάειν, ὅ ἐστι τοῦ βλέπειν, ἐστέρησε. H. οὐκ ἦν δὲ μονόφθαλμος ὁ Κύκλωψ καθ' Ὅμηρον, ὡς καθ' Ἡσίοδον. φησὶ γοῦν (Od. ι, 389.)

πάντα δέ οἱ βλέφαρ' ἀμφὶ καὶ ὀφρύας.

οὐχ ὡς Θεόκριτος

οὕνεκά μοι πλατεῖα μὲν ὀφρὺς ἐπὶ παντὶ μετώπῳ.

μονόφθαλμος οὖν ἦν καθ' Ὅμηρον, τοῦ ἑνὸς αὐτοῦ ὀφθαλμοῦ προτυφλωθέντος. H.M.

70. ἀντίθεον] τοῖς θεοῖς ἑαυτὸν ὁμοιοῦντα, ἢ τὸν θεομάχον. H.

ἀντίθεον Πολύφημον] ὁ αὐτὸς ἑαυτὸν διὰ τὴν ἄνοιαν ἐξισάζων τοῖς θεοῖς. ἔστι γὰρ εἷς ἐκείνων περὶ ὧν λέγει, "οἵ ῥα καὶ ἀθανάτοισιν ἐρίζεσκον περὶ τόξων" (Od. θ, 225.). κοινῶς γὰρ περὶ αὐτῶν λέγει ὁ Πολύφημος, "οὐ γὰρ Κύκλωπες Διὸς αἰγιόχοιο ἀλέγουσιν οὐδὲ θεῶν μακάρων" (ι, 275.). E.M. ἀντίθεον νῦν τὸν ἐναντιούμενον θεοῖς, τὸν ἀσεβῆ. V.

ὄου] παροξυτονητέον τὸ ὄου· τὸ γὰρ οὗ διῄρηται, ὡς τὸ "ἔης τὸ πρίν γ' ἐράασθε." (Il. π. 208.) καὶ καθόλου τὰ μὲν ἄρθρα διαιροῦνται, αἱ δὲ ἀντωνυμίαι πλεονάζουσιν. καὶ τὰ μὲν βαρύνονται, αἱ δὲ

4. Σοφοκλῆς] Antig. 475.
5. ἐκ πυρὸς περισκελῆ] ἐκ τοῦ πυρὸς περισκέλλειν E.Q.
13. οὐκ—Κύκλωψ] τὸ δὲ ὀφθαλμ . . . . . κλώπων H.
14. Ἡσίοδον] Theog. 145.
16. ὀφρύας] Adde εὖσεν ἀϋτμή.
17. Θεόκριτος] 11, 31. ubi non πλατεῖα, sed λασία.
19. μονόφθαλμος obliteratum in H.
24. περὶ αὐτῶν λέγει] λέγεται περὶ αὐτῶν E.
28. παροξυτονητέον τὸ ὄου] παροξυνητέον τὸ οὗ H.
τὸ γὰρ οὗ om. H. Idem ἔης πέρι γ' ἐραᾶσθαι. Et ἐράασθαι etiam M.

ἐπὶ τέλους ἔχουσι τὸν τόνον, οἷον ὅου ἄρθρον, ἑοῦ ἀντωνυμία, ἕης ἄρθρον, ἑῆς ἀντωνυμία. H.M.

70. ἔσκεν] ὑπῆρχεν. V.

71. Θόωσα] μήτηρ Πολυφήμου Κύκλωπος κυρίως οὕτως λεγομένη. V. 5

νύμφη] γράφεται, μήτηρ. P.

72. Φόρκυνος θυγάτηρ] ἐνάλιος γὰρ θεὸς ὁ Φόρκυν. V.

μέδοντος] μέδοντος ἐν σπέσι, ἤτοι τοῦ Ποσειδῶνος· ἤτοι ὅντινα ἔτεκεν ἐν σπέσι τοῦ μέδοντος τῆς ἁλὸς τῆς ἀτρυγέτου, ἤτοι τοῦ Ποσειδῶνος. Q. βασιλεύοντος. συνήθως γὰρ καὶ τοὺς ὑπάρχους βασι- 10 λεῖς ἔλεγον. ἢ συναπτέον, μέδοντος ἐν σπέσσι, ὥστε καὶ ἐν σπηλαίοις τοῦ Ποσειδῶνος γεννηθῆναι τὸν Κύκλωπα. P.V.

74. ἐκ τοῦ δή] ἐκ ταύτης δὴ τῆς αἰτίας. V.

75. πλάζει δ' ἀπὸ πατρίδος αἴης] τούτου δ' ἕνεκεν ἐνεποδίσθη μὴ οἴκοι εἶναι μέχρι δεῦρο. οὐ γὰρ δὴ πέρα τούτου οὐδὲ ἐκεῖνός τι ἐβού- 15 λευσε κατ' αὐτοῦ, πλὴν τοῦ διατρίβειν μόνον ἐν τῇ πλάνῃ. E.

Ὅμηρος μὲν ἐτυμολογῶν τὸν Ὀδυσσέα πεποίηκε τὸν Αὐτόλυκον λέγοντα "πολλοῖσιν γὰρ ἐγὼ δὴ ὀδυσσάμενος τόδ' ἱκάνω." (Od. τ, 407.) Σιληνὸς δὲ ὁ Χῖος ἐν δευτέρῳ μυθικῶν ἱστοριῶν, (ἔστι δὲ δύο βιβλία) Ἀντίκλειάν φησι τὴν Ὀδυσσέως μητέρα ἐγκύμονα ὁδεύ- 20 ουσαν παρὰ τὸ Νήριτον, ὅπερ ἐστὶ τῆς Ἰθάκης ὄρος, ὕσαντος πολὺ τοῦ Διὸς ὑπὸ ἀγωνίας καὶ φόβου καταπεσοῦσαν τὸν Ὀδυσσέα ἀποτεκεῖν, καὶ διὰ τοῦτο ταύτης τῆς ὀνομασίας τυχεῖν, ἐπειδὴ κατὰ τὴν ὁδὸν ὗσεν ὁ Ζεύς. E.M.T.

85. Ὠγυγίην] ἐν τῇ κατ' Ἀντίμαχον Ὠγυλίην γράφεται διαφέ- 25

3. ἔσκεν] Legitur nunc ἐστί.

8. μέδοντος ἐν σπέσι] Hanc fuisse Aristophanis rationem discas e schol. ν, 96. ubi improbatur illa, quanquam oratione per corruptionem obscura. BUTTM. Vide quæ ibi dicentur.

10. ὑπάρχους] ὑπάρχοντας P.

17. Ὅμηρος—ἱκάνω om. E.

τὸν Αὐτόλυκον scripsi pro πρὸς τὸν Αὐτόλυκον.

18. πολλοῖσιν—ὀδυσσάμενος—τόδ'] πολλοῖσι—ὀδυσάμενος—τῶδ' M. Correxi ex Homero, sed intactum reliqui ἐγὼ δὴ hic scriptum pro vulgato ἔγωγε.

19. Σιληνὸς ὁ Χῖος] Eodem auctore et iisdem fere verbis hæc narrat Tzetzes ad Lycophr. 786. De Ὀδυσσέως nominis etymologia conf. schol. ad v. 21. BUTTM. Σιληνὸς δὲ—μυθικῶν M. Σιληνὸς ὁ Χῖος ἐν τῷ δευτέρῳ βιβλίῳ τῶν μυθικῶν E.

ἔστι δὲ δύο βιβλία om. E.

22. τὸν Ὀδυσσέα—ἐπειδὴ] ἀποτεκεῖν τὸν ὀδυσσέα καὶ διὰ τοῦτο τούτου τοῦ ὀνόματος ἀποτυχεῖν T.

25. κατ'] κατὰ τὸν M.

γράφεται] γρ. P. γράφει H.Q.

ρουσι δὲ οἱ τόποι. τὴν μὲν γὰρ Ὠγυγίαν ἐντὸς εἶναι πρὸς ἑσπέραν, τὴν δὲ Ὠγυλίαν κατὰ Κρήτην Ἡσίοδός φησι κεῖσθαι. λέγεται δὲ ὀνοματικῶς ἡ Καλυψοῦς νῆσος. H.M.P.Q.

τὰ παλαιὰ πάντα ὠγύγια καλοῦσιν ἀπό τινος ἀρχαίου Ὠγύγου βασιλεύσαντος Ἀθηνῶν. ἴσως δὲ καὶ οὕτως ἐκαλεῖτο ἡ νῆσος 5 αὕτη. E.

87. ὥς κε νέηται] γράφεται, ὥς κεν ἵκηται. P.

88. Ἰθάκηνδ'] γράφεται καὶ χωρὶς τοῦ δε, Ἰθάκην ἐσελεύσομαι. H.

89. θείω] τινὲς γρ. θήσω. H.M. 10

92. ἀδινά] ἤτοι λεπτὰ πρὸς σύγκρισιν τῶν βοῶν, ἢ ἀντὶ τοῦ ἀδινῶς, ἵνα ᾖ πυκνῶς καὶ συνεχῶς. E.Q.V.

εἰλίποδας λέγει βόας ὡς ποιοῦντας τὴν τῶν ποδῶν κίνησιν ὥσπερ ἑλικοειδῆ· ἕλικας δὲ ὡς ἑλικοειδῆ κέρατα ἔχοντας. P.Q.

ἤτοι ἑλικοειδῆ κέρατα ἔχοντας ἢ μέλανας· ἑλικὸν γὰρ κατὰ διά- 15 λεκτον τὸ μέλαν. ὅθεν καὶ ἑλικώπιδα κούρην τὴν μελανόφθαλμον. Q.

93. πέμψω δ' ἐς Σπάρτην] εἰς τὸν Μενέλαον, διὰ τὸ ὕστερον τῶν ἄλλων τοῦτον ἐλθεῖν ἐν τῇ οἰκίᾳ αὐτοῦ. E. τινὲς "πέμψω δ' ἐς Κρήτην τε." καὶ ἡ Ἀθηνᾶ ἀλλαχοῦ (284.) "πρῶτα μὲν ἐς Πύλον ἐλθὲ . . . . . κεῖθεν δ' ἐς Κρήτην παρ' Ἰδομενῆα ἄνακτα· ὃ γὰρ 20 δεύτατος ἦλθεν Ἀχαιῶν χαλκοχιτώνων." H.M.Q.

1. Ὠγυγίαν] ὠγυγίην H.

2. Κρήτην] Quæ post Κρήτην sequuntur om. Q., a m. sec. habet H. De Ogylo Stephanus Byz. Ὤγυλος· νῆσος μεταξὺ Πελοποννήσου καὶ Κρήτης· τὸ ἐθνικὸν Ὠγύλιος.

Ἡσίοδος] Hesiodea locum videntur habuisse in illa Γῆς περιόδῳ quam citat Strabo 7. p. 302; eoque, sive separatum hoc fuerit carmen sive alius pars (cf. Heyn. ad Apollod. 1, 9, 21.), alia etiam fortasse geographica retuleris quæ sub Hesiodi nomine leguntur ap. Strab. l. c. p. 300. 327. schol. Apollon. 4, 892. Etymol. v. Βύβλος. BUTTM.

λέγεται—νῆσος M. τὸν δ' ὤγυλον ἠδ' ὠγύλη νῆατην· τὴν δὲ οἱ καυλοὺς καλοῦσιν H. τὸν δ' ὠγύλιον ἠδ' ὠγύλη. νῆσον δὲ ταύτην οἱ καλοὺς καλοῦσιν P.

8. χωρὶς τοῦ δε] Similis dubitatio de ἀγορήν et ἀγορήνδε est ρ, 52.

10. τινὲς γρ. M. τινὲς om. H.

θήσω est etiam in P. adscriptum, sed omisso τινὲς γρ., ut glossema potius esse videatur quam varia lectio. Conf. ad β, 334.

14. ἕλικας] Conf. schol. ad δ, 320.

18. τινὲς—ἐλθὲ om. H.Q. habet vero H. ad γ, 313. Conf. etiam schol. ad β, 359. δ, 702.

20. Post ἐλθὲ exciderunt verba καὶ εἵρεο Νέστορα δῖον.

δ' ἐς Κρήτην] Immo δὲ Κρήτηνδε, ut corrigit Buttm. Vulgata lectio v. 285. est κεῖθεν δὲ Σπάρτηνδε παρὰ ξανθὸν Μενέλαον· ὃς γὰρ etc. Κρήτην autem pro Σπάρτην et (v. 285.) Κρήτηνδε pro Σπάρτηνδε Zenodoti lectiones sunt, de quibus v. schol. ad γ, 313.

ἄτοπος δοκεῖ εἶναι Τηλεμάχου ἡ ἀπόδημία πρῶτον μὲν κίνδυνον προξενοῦσα τῷ νέῳ, δεύτερον ἐπανάστασιν τῶν μνηστήρων ἀπειλοῦσα, τρίτον οὐκ ὠφελοῦσα τὴν ζήτησιν τοῦ πατρός. ἀλλ' ἔδει τὸν ἐν γυναιξὶ τεθραμμένον, λύπαις τεταπεινωμένον, ῥητορειῶν οὐ πεπειραμένον οὐδεπώποτε, πολύτροπον γενέσθαι παραπλησίως τῷ πατρὶ, καὶ τοῦτο κερδᾶναι τῇ πλάνῃ, καὶ κοινωνεῖν τῷ πατρὶ τῶν κατορθωμάτων ἐν τῇ μνηστηροκτονίᾳ. ἀσφαλίζεται δὲ τὰ κατ' οἶκον πρῶτον μὲν ἐπαναστήσας τὸν δῆμον κατὰ τῶν μνηστήρων ἐν τῇ ἐκκλησίᾳ, δεύτερον ταῖς ὑποσχέσεσιν ἀνεξικακεῖν διδάξας τοὺς μνηστῆρας εἰπὼν, "καὶ ἀνέρι μητέρα δώσω" (β, 223.). ἔτι μάλα καὶ τῆς ἐπιβουλῆς τῶν μνηστήρων ὁ κίνδυνος ἠκόνησεν αὐτοῦ τὴν προθυμίαν. Ε.Μ.

95. ἔχῃσιν] ἐν τῇ κατὰ Ῥιανὸν γράφεται λάβῃσι. Η.Μ.

96. τὸ λέγειν τὴν Ἀθηνᾶν καλὰ πέδιλα φορεῖν οὐκ ἄλλο δηλοῖ ἢ ὅτι τῆς φρονήσεως αἱ ἐνεργητικαὶ δυνάμεις στιβαραὶ καὶ ἄλκιμοί εἰσι. τὸ δὲ ἐπέχειν ἔγχος ἐν ᾧτινι δαμάζει τοὺς ἥρωας τὸ πληκτικὸν ὑποσημαίνει τῆς φρονήσεως. ὁ γὰρ φρόνιμος διὰ τοῦ οἰκείου λόγου πλήττει τὸν ἀτακτοῦντα. τὸ δὲ τὴν Ἀθηνᾶν ἐξ οὐρανοῦ κατελθεῖν οὐκ ἄλλο αἰνίττεται ἢ ὅτι ἡ φρόνησις ἐκ τοῦ νοῦ κατέρχεται. Ε.

97. ἀμβρόσια, χρύσεια] προηθετοῦντο κατ' ἔνια τῶν ἀντιγράφων οἱ στίχοι, κατὰ δὲ τὴν Μασσαλιωτικὴν οὐδ' ἦσαν. καὶ ταῖς ἀληθείαις μᾶλλον ἁρμόσει ἐπὶ Ἑρμοῦ· ἴδιον γὰρ αὐτοῦ τοιούτοις ὑπο-

1. δοκεῖ εἶναι] εἶναι δοκεῖ Ε.
Τηλεμάχου] τηλεμάχῳ Μ.
10. ἔτι μάλα—προθυμίαν om. Ε.
12. κατὰ Ῥιανὸν Porsonus. κα ριανὸν Μ. κατὰ ἄρινον Η.
18. ἡ φρόνησις ἐκ τοῦ νοῦ] Conf. schol. ad v. 101.
19. προηθετοῦντο κατ' ἔνια τῶν ἀντιγράφων] Verba κατ' ἔνια τῶν ἀντιγράφων, nisi ex alio scholio illata sunt in quo dictum erat hos versus κατ' ἔνια τῶν ἀντιγράφων οὐδ' εἶναι (quemadmodum in scholio ad v. 185. scriptum est προηθετοῦντο ὑπ' Ἀριστοφάνους, κατ' ἔνια δὲ τῶν ἀντιγράφων οὐδ' ἐφέροντο), imperitiam produnt grammatici nescientis προαθετεῖν non esse τῶν ἀντιγράφων, sed certarum quarundam ἐκδόσεων, duorum potissimum qui Aristarchum antecesserunt criticorum, Zenodoti et Aristophanis, ut notavit Pluygers. de schol. Hom. p. 2. De usu verbi προαθετεῖν dicetur ad α, 185.
20. οἱ στίχοι] Versus dicit 97—101., quorum de tribus postremis conf. schol. ad v. 99. Brevius ex hoc scholio excerptum est in S. προηθετοῦντο κατ' ἔνια τῶν ἀντιγράφων οἱ στίχοι. ἴδιον γὰρ ἀγγέλων τοιούτοις ὑποδήμασι χρῆσθαι, καὶ ἡ τοῦ δόρατος ἀνάληψις πρὸς οὐδὲν ἀνάκειται. Ad hanc ἀθέτησιν spectat scholiastæ annotatio ad ε, 43.
21. ἁρμόσει—ἀναγκαῖον] ἁρμόσειεν καθ' ἑρμοῦ. ἴδιον γὰρ ἀγγέλων τοιούτοις ὑποδήμασι χρῆσθαι. καὶ ἡ τοῦ δόρατος . . λέξις πρὸς οὐδὲν ψιλῶς κεῖται Τ.

δήμασι κεχρῆσθαι. καὶ ἡ τοῦ δόρατος ἀνάληψις πρὸς οὐδὲν ἀναγκαῖον. M.T.

τά μιν] ὑπὲρ, αὐτήν. τὸ μίν τριγενές ἐστιν, ἀρσενικὸν, "καί μιν φωνήσας" (Il. α, 201.), θηλυκὸν, ὡς ἐνθάδε, οὐδέτερον, "αὖτέ μιν υἷες Ἀχαιῶν" (Il. α, 237.). P. 5

98. ἀπείρονα γαῖαν] τὴν πέρας μὴ ἔχουσαν διὰ τὸ εἶναι στρογγυλοειδῆ. ἢ σφαιρικὴν καὶ κυκλικήν· ἢ καθ' ὅσον πρὸς ἡμᾶς ἄπειρός ἐστιν, εἰ καὶ τῇ φύσει πεπέρασται· τεταρτημόριον γὰρ μόνον τῆς γῆς οἰκεῖται· ἢ ἀντὶ τοῦ περικαλλὴς, καθάπερ τοῖς διαγράφειν τὰ κατ' αὐτὴν βουλομένοις ἐστὶ πρόδηλον. λαμβάνεται γὰρ τὸ ἄπειρον καὶ 10 ἐπὶ τοῦ κατὰ τὸ εἶδος διαφέροντος καὶ ἄγαν καλοῦ, ὡς παρ' Ἡσιόδῳ ἐν Γυναικῶν καταλόγῳ ἐπὶ τῆς Ἀγήνορος παιδὸς "Δημοδόκης, τὴν πλεῖστοι ἐπιχθονίων ἀνδρῶν μνηστεύοντο, καὶ πόλλ' ἀγλαὰ δῶρ' ὀνόμηναν ἴφθιμοι βασιλῆες ἀπειρέσιον κατὰ εἶδος." ἰστέον δὲ ὅτι ἄπειρος ὁ κύκλος καὶ ἡ σφαῖρα λέγεται ἢ διὰ τὸ μὴ πέρασι διαφόροις 15 ἀφορίζεσθαι κατὰ στέρησιν τοῦ α, ἢ διὰ τὸ πολλὰ πέρατα ἔχειν κατ' ἐπίτασιν τοῦ α. οὗ γὰρ ἂν ἔλθῃ τις, τοῦτο αὐτὸ πέρας ἴσως ἔχον διὰ τὸ ἰσοπέρατον εἶναι διὰ τὴν ἐκ τοῦ μέσου πρὸς τὸ πέριξ ἴσην ἀπόστασιν κατ' ἰσότητα τοῦ α. οὕτως Ἀριστοφάνης Δαναΐσι "δακτύλιον χαλκοῦν φέρειν ἀπείρονα," ἔφη δηλῶν τὸν σφενδόνην μὴ 20 ἔχοντα πέρας καὶ διὰ τοῦτο ὁμοιομερῆ ὄντα. ὁμοίως καὶ Αἰσχύλος τὰς ἐν κύκλῳ ἑστώσας καὶ ἀπείρονι σχήματί φησιν ἵστασθαι· "ὑμεῖς δὲ βωμὸν τόνδε καὶ πυρὸς σέλας κύκλῳ περίστητ' ἐν λόχῳ τ' ἀπείρονι εὔξασθε·" τουτέστιν ἐν τάξει κατὰ κύκλον. ὁ γὰρ λόγος ἐστὶ τάξις, ἐπεὶ καὶ λοχαγὸς ὁ ταξίαρχος. E. 25

ἅμα πνοιῆς ἀνέμοιο] ἅμα, ὁμοίως· ἀλλαχοῦ δὲ χρονικὸν ἐπίρρημα, ὡς τὸ, ἅμα γίνεται τόδε καὶ ἅμα τόδε. E.

6. τὴν πέρας—] Conf. prolixius appositum hoc Porphyrii scholium in schol. Ven. ad Il. ξ, 200, in quo eadem quæ hic habemus veterum poetarum fragmenta partim emendatius partim mendosius leguntur. BUTTM.

13. ἀνδρῶν] Recte ἀνθρώπων in schol. Il.

μνηστεύοντο] ἐμνήστευον schol. Il. Scribendum μνήστευον cum Heynio.

πόλλ'] Scrib. πολλὰ καὶ ex schol. Il.

17. οὗ γὰρ—ἰσοπέρατον schol. Il. οὐ γὰρ ἂν ἔλθοι τις τοῦτο ἐπ' αὐτὸ πέρας—ἰσοπέραστον. E.

19. Ἀριστοφάνης] Fragm. 247.

20. φέρειν] φέρων schol. Il.

τὸν σφενδόνην Buttmann. τὴν σφενδόνην E. De δακτυλίῳ ἀπείρονι dixit Boeckh. Inscr. vol. 1. p. 235.

21. Αἰσχύλος] Fragm. 407.

23. πυρὸς σέλας] πυρὸν γέρας E. Correxi ex schol. Il.

περίστητ' Hermannus. Legebatur παρίστατε.

99. εἵλετο δ' ἄλκιμον ἔγχος] ἀθετοῦνται μετὰ ἀστερίσκων, ὅτι ἐν τῇ ε' τῆς Ἰλιάδος καλῶς. M.V.

101. ὀβριμοπάτρη λέγεται ἡ Ἀθηνᾶ διότι τῆς φρονήσεως πατὴρ ὁ νοῦς ἐστι. πάντων δὲ κρεῖττον καὶ ἰσχυρότερον ὁ νοῦς. E.

103. δήμῳ] τόπῳ ἐν Ἰθάκῃ ὅπου ἦν τὸ Ὀδυσσέως βασίλειον. P.V.

105. Ταφίων] Τάφος ἡ νῆσος τῶν Ἐχινάδων, ἣν κατῴκουν Τηλεβόαι. V.

107. πεσσοῖσι] τοῖς κύβοις. ἀπὸ δὲ τοῦ παίζειν ἐσχημάτισται· ἢ παρὰ τὸ πίπτειν [βολίοις τὸ πεσεῖν] πεσσοὶ δὲ αἱ ψῆφοι. V.

108. ῥινοῖσι] διὰ τούτου τὸ βίαιον ἐμφαίνει τῶν μνηστήρων, τοῦ καὶ τὰς βύρσας ὑποστρωννύειν τοῖς θρόνοις. M.Q.S.V.

109. αὐτοῖσι] Νικίας δύο μέρη λόγου ποιεῖ, αὖ, καὶ, τοῖσι· Ἀρίσταρχος δὲ ἓν, ὃ καὶ ἄμεινον. E.M.Q.

110. οἱ μὲν, κήρυκες, οἱ δὲ, θεράποντες. οἱ μὲν, οἱ δὲ, σχῆμα γοργότης. Ms. Barnes.

112. προτίθεντο, ἰδὲ] ἄμεινόν φησιν Ἡρωδιανὸς ἀναγινώσκειν, καὶ πρότιθεν, τοὶ δὲ—. καὶ γὰρ ὁ λόγος οὕτω μᾶλλον ἀκόλουθος· οἱ μὲν οἶνον ἔμισγον, οἱ δὲ σπόγγοισι νίζον, οἱ δὲ κρέα ἐμέριζον. καὶ

2. τῇ ε' τῆς M. τῇ τῆς V. Minus accurate scholiasta solum Iliadis librum quintum nominat, ubi v. 746. 747. iidem sunt qui hic 100. 101. Verum v. 99. εἵλετο δ' ἄλκιμον ἔγχος ἀκαχμένον ὀξέϊ χαλκῷ legitur Il. κ, 135. Nam ut ἀθέτησιν ad duos tantum versus 100. 101. referamus, servato v. 99., dissuadet scholiastæ annotatio ad v. 97. Ceterum ad v. 100. 101. quod attinet, comparanda scholiastæ annotatio ad Il. ε, 746. 747. ἡ διπλῆ ὅτι ἐντεῦθεν εἰς τὴν Ὀδύσσειαν μετάκεινται, ex quo colligi potest quæ Aristarchi de iis sententia fuerit.

5. τόπῳ—] Conspirat Stephanus v. Δῆμος: sed recte utrumque reprehendit Barnesius comparans versum ν, 97. BUTTM.

10. Verba βολίοις τὸ πεσεῖν, quæ e ms. inseruit Barnesius, ita videntur emendanda β' ἀορίστῳ πεσεῖν. BUTTM.

αἱ ψῆφοι] Legebatur οἱ ψῆφοι.

11. τοῦ M.S. τὸ Q.V.

13. μέρη λόγου M. μέρη τοῦ λόγου E.Q.

17. Ἡρωδιανὸς] Observandum est grammaticos minus antiquos Herodiano tribuere omnia quæ ex ejus libris excerpta sua ætate legebant. Non dubito quin νίζον καὶ πρότιθεν, τοὶ δὲ — Aristarchi lectio sit aut felix conjectura. COBET. Aristarchi hanc scripturam fuisse certo colligi potest ex scholio ad γ, 10.

18. καὶ πρότιθεν, τοὶ δὲ— Buttmann. καὶ προτίθεντο E.M. In textu M. habet προτίθεν : τ : ⁝⁝⁝ adscripto a m. rec. το.

καὶ γὰρ M. οὐ γὰρ E.

ὁ λόγος Cobetus. ὅλος M. ὅλως E.

οὕτω correxi pro τό.

ἀκόλουθος M. ἀκόλουθον E.

19. οἶνον] οὖν E.

ἄλλως τὸν παρατατικὸν τοῦ τίθημι ἐνεργητικῶς οἷδε λεγόμενον ὁ ποιητής, οὐ παθητικῶς, "παρὰ δέ σφι τίθει" (Od. α, 142.). ἀκόλουθον πληθυντικὸν, νίζον καὶ πρότιθεν. E.M. προετίθεσαν. M.V.

νίζον] ἀπένιπτον. V.

ἷδὲ] ἀντὶ τοῦ καί. V. 5

113. καλῶς πρῶτος Τηλέμαχος Ἀθηνᾶν ὁρᾷ ὡς αὐτὸς μόνος ἀπὸ τῶν ἄλλων φρονιμώτερος, τῶν μνηστήρων περὶ συμπόσια ἀσχολουμένων. E.

115. ὀσσόμενος] τοῖς ὀφθαλμοῖς ὑποβλέπων. S. ἀνειδωλοποιούμενος καὶ φανταζόμενος, προσδοκῶν· ἢ τοῖς ὀφθαλμοῖς ὑποβλέ- 10 πων. V.

117. δώμασιν] γρ. καὶ κτήμασιν ἐν ταῖς εἰκαιοτέραις, κτήμασιν οἷσιν ἀνάσσοι. τὸ ὅλον δὲ ἐπὶ Ὀδυσσέως χρὴ ἐξακούειν, Ὀδυσσεὺς ἔχοι. M.

119. βῆ δ' ἰθύς] ἐπορεύθη ὡς ἐπὶ τὸ πρόθυρον οὐκ ἔνδον, ἀλλὰ 15 πρὸ τοῦ οἴκου ἐν τῷ τυκτῷ καλουμένῳ δαπέδῳ (δ, 627.) Q.V.

120. ξεῖνον δηθὰ] καὶ τοῦτο διὰ τοὺς μνηστῆρας, ἵνα τὸ σκῆπτρον ἰδόντες ὡς βασιλέα αὐτὸν ὑπονοήσωσι. S.

121. ἐδέξατο] ἐλάβετο μὲν τῆς δεξιᾶς σπενδόμενος ὡς φίλῳ. ἐδέξατο δὲ τὸ ἔγχος ὑπονοῶν μὴ ἄρα τῶν ἐχθρῶν τις εἴη. E.S. 20

124. δείπνου] τοῦ κατὰ τὴν ἡμέραν ἀρίστου. V.

μυθήσεαι] γράφεται, μυθήσεο. P.

ὅττεό σε χρὴ] περὶ ὅτου σε χρὴ, τοῦτο λέξεις. H. a m. sec. καὶ ἄλλως. ἐν τῇ κατὰ Ῥιανὸν ἄμεινον ἐγέγραπτο ὅττευ σε χρὴ, ὡς ἀλλαχοῦ (Od. ρ, 121.) "ὅττευ χρηΐζων." H. (a m. sec.) M. 25

126. ὑψηλοῖο] γράφεται, ποιητοῖο. P.

127. πρὸς κίονα] νοητέον δὲ ἀπεξύσθαι τοὺς κίονας καὶ ἐνταῦθα

1. τὸν παρατατικὸν—παθητικῶς] τῶν παρατατικῶν—παθητικὸν E.

2. ἀκόλουθον] Scribendum videtur ᾧ ἀκόλουθον, vel ἀκόλουθον οὖν.

3. πρότιθεν correxi pro προτίθεντο.

προετίθεσαν] Hoc quoque glossema, quod in M. textui superscriptum, veteri aptum est lectioni πρότιθεν.

12. δώμασιν] Sic M. in textu.

γρ. καὶ κτήμασιν] δώμασιν superscriptum in M.

15. ἐπορεύθη] ἐπ' εὐθείας S.

16. πρὸ τοῦ οἴκου ἐν τῷ] πρὸ τῆς ἐν τῷ S.

19. ὡς φίλῳ Buttm. τῷ φίλῳ E. φιλίαν S.

24. καὶ ἄλλως om. M.

κατὰ Ῥιανὸν Cramerus. κ̄ ἀριανὸν H.M.

ὅττευ σε] ὅτευ σε M.

27. τοὺς κίονας] τὰ ξύλα E.

ἀποτίθεσθαι τὰ δόρατα. E.V. οἰκονομικῶς δὲ εἶπεν, "ἔνθαπερ ἄλλα ἔγχεα Ὀδυσσῆος," ἵνα μὴ ἀπορήσῃ τις ἔμπροσθεν ὅτι, ποῦ εὑρέθησαν τὰ δόρατα πρὸς φόνον τῶν μνηστήρων. E.

128. ἐϋξόου] ἀπέξεον τὰς κίονας καὶ ἐν αὐταῖς ἐπετίθουν τὰ δόρατα. E. 5

130. αὐτὴν δ' ἐς θρόνον] ὑποφαίνει διὰ τοῦτο καὶ ἄλλο τι καθῆκον, ὅτι τοῦ ἰδίου θρόνου παρεχώρησε τῷ ξένῳ ὁ Τηλέμαχος. πάντα οὖν ἐλέγχει τὸ σῶφρον τοῦ νέου, τὰ τοῦ λόγου καὶ τὰ τοῦ τόπου, τό τε ἔγχος ἀναλαμβάνων καὶ τοῦ θρόνου παραχωρῶν. θρόνος δὲ ἀπὸ τοῦ ἄνω θεωρεῖν, ἤτοι ὁ ἐπηρμένος. E.M.T. 10

ὑπὸ λῖτα] προπερισπαστέον· ἑνικὸν γάρ ἐστι μεταπλασθὲν ἀπὸ τοῦ λῖτον. P.Q.

λεπτὸν περιβόλαιον ἢ λινοῦν ὕφος. P.

132. κλισμόν] δίφρον ἀνάκλιτον ἔχοντα, καθέδραν. V.

ἔκτοθεν ἄλλων] τὸ γὰρ μεταβῆναι εἰς ἕτερον οἶκον ὑποψίαν ἂν παρέσχε τοῖς μνηστῆρσιν ἐπιβουλῆς, ὁπότε καὶ ἑξῆς διὰ τὸ ἰδιολογεῖν αὐτὸν πολυπραγμονεῖ τίς ὁ ξένος. E.Q. 15

135. ὀρυμαγδῷ] κυρίως μὲν τῷ ἐν ὄρει ψόφῳ. ἔστι γὰρ κατὰ τὸ ἔτυμον ὀρομαγδῷ, νῦν δὲ ἀντὶ τοῦ θορύβῳ. V.

134. ἀδήσειεν] ψιλωτέον τὸ ἀδήσειεν. ὅταν γὰρ ἐν συναλοιφῇ τὸ ψιλούμενον ἐν ἀρχῇ φωνῆεν ἐπικρατήσῃ, καὶ τὸ πνεῦμα αὐτοῦ ἐπικρατεῖ, οἷον ω ἑταῖρε, ὦταῖρε. Q. 20

ὑπερφιάλοισι] ὑπερσπόνδοις· οἷον οἱ Πριάμου παῖδες, οἳ ὤμοσαν τοῖς Ἕλλησι μὴ καταλῦσαι τὴν ἀγάπην, ἐκεῖνοι δὲ παρέβησαν τὰ ὅρκια. ὤμοσαν δὲ μετὰ φιάλης ὅρκον εἰπόντες· ὥσπερ τὸ ὕδωρ χέεται ἐκ τῆς φιάλης, οὕτως ἡ ψυχὴ τοῦ ἀθετήσαντος τὸν ὅρκον. E. 25

2. ἔμπροσθεν] Non sibi constant hæc scholia in usu hujus vocis, quam hic quidem et ad 139. habes de *inferiori* poëmatis parte, sicut ὄπισθεν ad γ, 366. δ, 456. de superiori: sed ad β, 107. γ, 442. ἔμπροσθεν etiam de *superioribus*. BUTTMANN. Dixit de hoc usu Bernhard. ad Dionys. P. p. 839.

6. ὑποφαίνει M. ἀποφαίνει E.T.

8. λόγου καὶ τὰ τοῦ τόπου om. E. in lacuna.

14. κλισμόν] Conf. schol. ad 145. et δ, 123. BUTTM.

18. ὀρυγμαδῷ] Sic etiam H. in marg. ὀρυγμαδῷ κυρίως. Vid. Porson. ad ι, 235.

20. ἀδήσειεν] Spectat scholium ad derivationem formæ ἀδῆσαι a pleniori ἀηδῆσαι, docetque spiritum asperum vocis ἡδύς absorptum esse a leni in syllaba ἀ. BUTTM. M. in textu ἀηδήσειεν, litera η priori duobus punctis subnotata et adscripto in marg. γρ. καὶ ἀδήσειεν.

25. ὅρκια Buttmann. pro ὅρη.

136. ἀμφίπολος] ἀπὸ τοῦ περὶ τὸν δεσπότην πολεῖσθαι. καὶ ἔστιν ἐπὶ γυναικὸς, πρόσπολος δὲ ἐπὶ ἀνδρός. E.

προχόῳ] ἀγγείῳ προχυτικῷ, ἀπὸ τοῦ χέειν τὸ ὕδωρ. τῷ καθ' ἡμᾶς ξέστῃ. V.

λέβητος] τοῦ καθ' ἡμᾶς χερνίβου. V. 5

138. νίψασθαι] πρὸ τῶν βρωμάτων ἐνίπτοντο, ἵνα εὐαγῶς ἐπὶ τὰς σπονδὰς ἔλθωσι, μετὰ δὲ ἄριστον οὐκέτι· καὶ γὰρ οὐδὲ ποικίλοις ἐχρῶντο βρώμασιν. ἄλλως τε ἄσεμνον ἀπονίπτεσθαι μετὰ σπονδήν. E.H.M.Q.

ἐτάνυσσεν] ἐπιμήκεις γὰρ αἱ ἀρχαῖαι τράπεζαι. ξεστὴν τὴν καλῶς ἐξεσμένην, ὅπερ ἐστὶ κατεσκευασμένην. H. 10

139. σῖτον δ' αἰδοίη] σωφρόνως ἔφρασε κοσμίοις ὀνόμασιν· ἐπὶ δὲ τῶν ἀσελγῶν ἔμπροσθεν (147), "παρενήνεον ἐν κανέοισι." E.H.M.

140. εἴδατα] καὶ γίνεται ἀπὸ τοῦ ἔδω τὸ ἐσθίω, ἔδας, τὸ ἐνικὸν, καὶ πλεονασμῷ τοῦ ἰῶτα εἶδας, τὸ πληθυντικὸν τὰ εἴδατα. P. 15

χαριζομένη παρ' ἐόντων] ἐκ τῶν ὄντων ἀφθόνως παραβάλλουσα. τινὲς δὲ, παρὰ μενόντων καὶ μὴ ταχέως σηπομένων, ἵνα ἐκ τούτου τὰ ἐν τῷ ταμείῳ ἀπόθετα δηλώσῃ. E.M.Q. ἐκ τῶν παρεόντων ἐπιδιδοῦσα. V.

141. πίνακας] τὰς σανίδας. (Od. μ, 67.) "ἀλλά θ' ὁμοῦ πίνακας νεῶν·" καὶ (Il. ζ, 169.) "γράψας ἐν πίνακι πτυκτῷ." H. 20

142. κύπελλον ἐτυμολογεῖται παρὰ τοῦ ἐν αὐτῷ χεῖσθαι τὸν πηλὸν ἢ τὸν οἶνον, χύπελλον καὶ κύπελλον. E.Q.

143. θάμ' ἐπῴχετο] τὸ σπουδαῖον τοῦ κήρυκος καὶ τῆς ὑποδοχῆς τοῦ ξένου δηλοῖ. E.Q. 25

145. κατὰ κλισμούς τε θρόνους τε] κλισμοὶ μέν εἰσιν οἱ ἔχοντες κλιντῆρα ἐξέχοντα πρὸς τὴν τῶν ὤμων ἀνάπαυσιν. ἐν αὐτοῖς γὰρ ἐπερείδουσι τοὺς ὤμους οἱ καθήμενοι. οἱ δὲ μὴ ἔχοντες ταῦτα, θρόνοι. E.P.Q.

147. παρενήνεον] παρεσώρευον. ἐκ τούτου δὲ τὸ πλῆθος τῶν ἐδεσμάτων ἐκφαίνει. τὸ δὲ ὀνείατα δηλοῖ τὰ ὄνησιν ἐμποιοῦντα, τὰ ἐδέσματα. E.P.V. 30

7. οὐδὲ H.M. δὲ E.Q.
13. ἀσελγῶν H.M. ἀσεβῶν E.
18. ταμείῳ M. κελλαρίῳ E.Q.
20. Versus 141. 142. spurios esse judicat Athenæus 5. p. 193 E., defendit Eustathius.
21. ἐν—πτυκτῷ] ἐπὶ—πυκτῷ. H.
27. κλιντῆρα Buttm. καὶ ἅπερ T. καὶ ἅπερ εἰσὶν E.Q. Conf. schol. ad 132.

149. ἴαλλον] ἐδίδοσαν, ἐξέτειναν. νώμησαν] ἐμέρισαν. (150.) αὐτὰρ ἐπεί] ἐπειδὴ δέ. V.

150. ἐξ ἔρον ἕντο] τὸ ἐξ μετὰ τοῦ ἕντο συντακτέον, ὡς οὕτω λέγεσθαι, ἐξέντο καὶ ἐξέβαλλον ἔρον τῶν βρωμάτων. H.

151. ἄλλα μεμήλει] πιθανῶς, ἵνα ὁ Τηλέμαχος καιρὸν σχῇ. V. 5

152. μολπή] ἡ μετ' ᾠδῆς παιδιά. V.

ἀναθήματα] πληρώματα, κοσμήματα. ἡ μεταφορὰ ἀπὸ τῶν τοῖς θεοῖς ἀνατιθεμένων. E.V.

154. ὅς ῥ' ἤειδε παρὰ μνηστῆρσιν ἀνάγκῃ] προανεφώνησεν, ἵνα ὁ Φήμιος σωθῇ ἐν τῇ μνηστηροφονίᾳ. V. σύνεσιν μαρτυρεῖ τοῦ ἀοι- 10 δοῦ προαπαλλάσσων αὐτὸν δικαίως τῆς μνηστηροφονίας. E.P.Q.

155. φορμίζων] τὰς χορδὰς ῥυθμίζων. γίνεται δὲ ἐκ τοῦ φροίμιον καὶ φροιμίζω, φορμίζω, κατὰ μετάθεσιν τοῦ ρ καὶ ἐκβολὴν τοῦ ι. E.

158. ξεῖνε φίλε] προκαταλαμβάνει τὴν κατηγορίαν, ἵνα μὴ νομι- 15 σθῇ παρὰ τῷ ξένῳ τῆς ἀταξίας αἴτιος εἶναι. E.Q.

160. ῥεῖ' ἐπεὶ ἀλλότριον] τὸ ἑξῆς, ἐπεὶ ῥεῖα. ἠρέμα παραδηλοῖ ὅτι οὐκ ἀρέσκεται τοῖς δρωμένοις, κωλύειν δὲ ἀμήχανος. E.Q.

161. λεύκ' ὀστέα] προληπτικῶς, ἵνα μὴ παραμυθούμενος αὐτὸν ὁ ξένος πολλάκις ψεύσηται. "στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν 20 ἐπῶν." E.

162. ἐπ' ἠπείροιο] ἐπὶ τῆς γῆς. V.

κυλίνδει] παρὰ τῷ ποιητῇ βαρύνεται ἀεί. δῆλον ἐκ τοῦ "προκυλινδόμενος" καὶ "ἥτε κυλινδομένη." M.

163. Ἰθάκηνδε] κἂν τὴν Ἰθάκην, φησίν, εἶδεν ὁ Ὀδυσσεὺς τῆς 25

1. νώμησαν] Hæc glossa spectat ad versum a grammaticis rejectum, de quo vid. Barnesium. Qui tamen, cum dicit appositam esse a scholiorum compilatore hanc glossam "ad v. 148." non recte dicit, ut apparet ex ordine quo eam ex ed. ant. posui. Nam in Schreveliana edit. glossa quæque ad numerum sui versus revocata est, cum in edd. ant. glossæ singulæ sæpe contra verum etiam versuum ordinem disjectæ sint. Ceterum versum Νώμησαν etc., si admittitur, recte poni post v. 147. et ego censeo. BUTTM.

7. πληρώματα, κοσμήματα] τῆς εὐωχίας τὸ κόσμημα V.

9. προανεφώνησεν] Vid. not a d β, 20. BUTTM.

10. σύνεσιν—ἀοιδοῦ P. ἀνάγκην—τῷ ᾠδῷ E.Q.

11. δικαίως om. E.Q. Iidem post μνηστηροφονίας addunt καὶ προκαταλαμβάνων τὴν κατηγορίαν etc. quæ iterum leguntur suo loco ad 158.

20. στέργει—ἐπῶν] Sophoclis versus Antig. 277. Legitur etiam in M. præscripto γνωμικὸς στίχος.

πλάνης ἐπαναζεύξας, ηὔξαντο ἂν ἅπαντες οἱ μνηστῆρες ἐλαφροτέρους κτήσασθαι πόδας πρὸς τὸ φυγεῖν αὐτοὺς τὴν τοῦ Ὀδυσσέως ὀργήν, παρὸ πλουσιώτεροι γενέσθαι. Q.

164. ἐλαφρότερος ἐτυμολογεῖται ἀπὸ τοῦ ἔλαφος, ἐλαφηρός, καὶ ἀφαιρέσει τοῦ η ἐλαφρός. Q. 5

165. ἢ ἀφνειότεροι] κοιμιστέον τὸ ἤ· διασαφητικὸς γάρ ἐστιν, ἀντὶ τοῦ ἤπερ, οὐ διαζευκτικός. εὔξονται μᾶλλον ταχεῖς εἶναι ἤπερ πλούσιοι. H.Q.

166. οὐδέ τις ἡμῖν] τοῦτο τὸ ῥητὸν οὕτως συντακτέον· οὐδέ τις φῇσι καὶ εἴπῃ ἐπιχθονίων ἀνθρώπων τὸν Ὀδυσσέα ἐλεύσεσθαι πρὸς 10 ἡμᾶς, εἴπερ, ἤτοι ἐπειδὴ, ὤλετο τοῦδε, καὶ τούτου, τὸ νόστιμον ἦμαρ, ἤτοι ἡ ἡμέρα τῆς ἐκείνου ἐπιστροφῆς. M.Q.

167. θαλπωρή] χαρά. γράφεται ἐλπωρή κατ' ἐνίους τῶν ἀξιολόγων πάνυ, ἵνα λείπῃ ὁ καί· οὐδεμία ἡμῖν ἐλπίς ἐστιν ἐκείνου, εἰ καί τις εἴποι αὐτὸν ἐλεύσεσθαι. E.M. 15

168. φῇσιν] τὸ φῇσιν σὺν τῷ ι, ὡς τὸ (Il. α, 129.) "δῷσι πόλιν Τροίην." προπερισπαστέον· ἐν παρολκῇ γάρ ἐστιν ἡ σιν. H.M.Q. φαίη, εἴπῃ. V.

170. πόθεν εἶς] ἐγκλιτέον τὴν εις. ἀλλ' οὐκ ἐγείρει τὴν θεν συλλαβήν· πυρριχιακὴ γάρ ἐστι. M. 20

171. ὁπποίης δ' ἐπὶ νηός] ξένης ἢ ἰδίας. M.Q.

Ἀρίσταρχος ὁπποίης τε. ἄλλως. οἰκειότερον ταῦτα ὑπὸ Εὐμαίου ἂν λέγοιντο. διὸ ἔν τισιν οὐκ ἐφέροντο. H.M.

172. εὐχετόωντο] ἐκαυχῶντο. V.

173. οὐ μὲν γάρ τί σε] ἠθικὸν τοῦτο, ὡς τὸ "οὐ γὰρ ἀπὸ δρυός 25

3. παρό hoc ævo valuit etiam μᾶλλον ἤ: vid. ad 321. Adde schol. δ, 143. et λ, 58. ubi παρό est pro nudo ἤ: eademque voce utuntur glossographi quoties particulam ἤ comparandi significatione distinguere volunt. Vid. infra schol. θ, 491. et glossem. ad Aristoph. Plut. 1173. 1185. BUTTM.

10. φῇσι καὶ εἴπῃ ἐπιχθονίων M. φησὶν ἂν εἴπῃ ἀπὸ τῶν ἐπιχθονίων Q.

13. γράφεται—λείπῃ] κατ' ἐνίους δὲ τῶν πάνυ ἀξιολόγων ἐλπωρὴ, ἵνα λείπει E.

16. τὸ φῇσι—ἡ σιν M. ἐν δὲ τῷ φῆσιν. ἐν παρολκῇ ἐστιν ἦσιν· διὸ καὶ προπερισπαστέον· ὡς τὸ δώσει πόλιν Τρωΐην H. ἐν δὲ τῷ φησὶν ἐν παρολκῇ ἐστιν ἡ σι· διὸ καὶ προπερισπαστέον Q.

20. πυρριχιακὴ scripsi pro πυρριχαϊκή.

22. τε om. M.

ταῦτα om. H. Versus scholiasta dicit tres 171—173. qui leguntur infra ξ, 188—190. ubi vid. schol.

ὑπὸ] ἀπὸ H.

ἐσσι" (Od. τ, 163.). ὡς εἰ ἔλεγε πεζὸν μὲν γάρ σε ἀδύνατον ἐληλυθέναι. E.M.Q.

174. εὖ εἰδῶ] τὸ εἰδῶ Τυραννίων μὲν βαρύνει, Ἀρίσταρχος δὲ περισπᾷ, ᾧ καὶ πειστέον. M.Q.

175. ὁ δεύτερος ῆ περισπᾶται· ἐρωτηματικὸς γάρ ἐστι. καὶ τὸ ἔσσι ἐγκλιτέον. E.M.

μεθέπεις] γράφεται, μεθέπῃ. H. ἀντὶ τοῦ πρὸς ἡμᾶς ἔρχῃ. τὸ δὲ ἴσαν ἐγίνωσκον. M.

176. ἴσαν] γράφεται, ἔσαν, ἀντὶ τοῦ ὑπῆρχον. H.

177. ἐπεὶ καὶ κεῖνος] ἐκ πλήρους ὁ καί· τῇ γὰρ ἐκεῖνος οὐ χρῆται, εἰ μὴ ἀναγκασθῇ ὑπὸ μέτρου· οὕτως Ἀρίσταρχος. E.H.M.Q.

ἐπίστροφος] τὸ ἐπίστροφος ἤγουν ἐπιστρεπτικὸς ἦν τῶν ἀνθρώπων. εἰς ἑαυτὸν ἔστρεφε τοὺς ἀνθρώπους ὑπὸ τῆς ἰδίας ἀρετῆς καὶ φρονήσεως καὶ εὐγενείας. B. ἐπιμελής. ἔστι δὲ καὶ ὄνομα κύριον. ἢ οὗ λόγον ἐποιοῦντο πάντες ἄνθρωποι. ἢ ἐπερχόμενος καὶ ἐπιδημῶν. ἄλλως. ἐπίστροφος ὁ φροντιστής, ὁ ἐπιστρεφόμενος τῶν ἀνθρώπων φιλόξενος, ἤγουν ἐπιστροφὴν καὶ ἐπιμέλειαν ποιούμενος τῶν ἀνθρώπων· ἢ οὗ λόγον ἐποιοῦντο πάντες ἄνθρωποι. ἢ παρὰ πολλοῖς ἀνθρώποις ξενιζόμενος. E.

182. νῦν δ' ὧδε] ἤτοι οὕτως ὡς ὁρᾷς, ὡς ἰδιώτης, οὐχ ὡς ἐπέβαλε βασιλεῖ. M.Q. τὸ δὲ ὧδε οὐδέποτε κεῖται παρὰ τῷ ποιητῇ τοπικῶς, ἀλλ' ἀντὶ τοῦ οὕτως. E.M.Q.V. τὸ δὲ ἀλλοθρόους ἀντὶ τοῦ ἀλλογλώσσους. "ἐπεὶ οὔτ' ἦν ὁμὸς θρόος οὔτ' ἴα γῆρυς" (Il. δ, 437.). Q.

183. ἐπ' ἀλλοθρόους] γράφεται, ἐς ἀλλοθρόους. H.

184. ἐς Τεμέσην] πόλιν ἐν Οἰνωτροῖς ἡ νῦν Τέμψον καλουμένη. ἢ

4. πειστέον] πιστέον M.

5. ὁ δεύτερος ῆ] In verbis ῆ καὶ πατρῴοίς ἐσσι.

ἐρωτηματικὸς (ἐρωτηματικῶς E.) γάρ] Herodiani præceptum: v. Lehrs. Quæst. Epic.[1] p. 54. et conf. schol. δ, 372. ο, 168.

9. ἔσαν Porsonus. ἴεσαν H.

10. πλήρους] πλήθους Q. (ἐκ πλήρους est in schol. ad δ, 519. ε, 104.) Hoc dicit scholiasta, καί plene scribi, non coalescere cum pronomine, κἀκεῖνος: nam forma trisyllaba ἐκεῖνος Homerum non uti nisi metro postulante.

τῇ γὰρ Cobetus. τῇ καὶ γὰρ M. τῷ καὶ γὰρ E.H.Q.

18. ἢ παρὰ—ξενιζόμενος om. E.

20. ἤτοι om. M.

ὡς ἰδιώτης] ὡς om. M.

21. τὸ δὲ ὧδε—τοπικῶς M. οὐδέποτε κεῖται τὸ ὧδε τοπικὸν παρὰ τῷ ποιητῇ E.Q.V., illatis in E.Q. post ὧδε verbis οὕτως ὡς ὁρᾷς.

26. Οἰνωτροῖς correxi pro Οἰνότροις.

Βρεντησία. Q. Τεμέση πόλις Κύπρου· κατὰ δέ τινας τῆς Ἰταλίας, ὃ νῦν Βρενδέσιον καλοῦσι καὶ Τέμψαν. Vind. 56.

αἴθωνα σίδηρον] ἢ μέλανα διὰ τὸ ἀνέργαστον, ἢ λαμπρὸν ἀπὸ τοῦ πυρὸς τοῦ αἴθοντος. E.V.

185. νηῦς δέ μοι ἥδ'] προφασίζεται νόσφιν εἶναι τὴν ναῦν, πρὸς τὸ μὴ καὶ τοὺς ἑταίρους ἐθέλειν ξενίσαι· τὸν δὲ πλοῦν μακρόν τε καὶ ἀναγκαῖον εἶναι, πρὸς τὸ μὴ κατασχεθῆναι παρ' αὐτοῦ. Πορφυρίου. E.H.M.R. περισπαστέον δὲ τὸ ἥδε. ἔστι γὰρ ἀντωνυμία ἀναφορική. προηθετοῦντο δὲ ὑπὸ Ἀριστοφάνους· κατ' ἔνια δὲ τῶν ἀντι-

1. 2. Βρεντησία et Βρενδίσιον formæ sunt vitiosæ pro Βρεντέσιον, sed fortasse relinquendæ his scholiastis. Βρεντέσιον Eustath. p. 1409, 2.

Τεμέση—Τέμψαν] Hujus scholii fragmenta sunt in E. τὸ νῦν Βροντήσιον καλούμενον κατὰ δέ τινας Ἰταλούς, in V. Τεμέση πόλις Κύπρου, κατὰ δέ τινας τῆς Ἰταλίας, ὃ νῦν Βρεντίσιον καλοῦσι. De Τεμέσης nominis formis dixit L. Dindorfius in Thesauro.

5. νόσφιν] νόσφι E.

6. καὶ τοὺς ἑταίρους] καὶ ἑτέρους E.

7. Πορφυρίου habet E., om. M. et, ni fallor, H.R.

8. ἀναφορικὴ] ητι superscr. in R., quod significat ἀναφορητική. De ἥδε dixit etiam Eustath. p. 1409, 23.

9. προηθετοῦντο] Versus dicit 185. 186. νηῦς—ὑλήεντι. Verbum προαθετεῖν aliquoties etiam in Venetis Iliadis scholiis occurrit et diserte quidem ubique de Aristophane vel de Zenodoto. In omnibus autem illis locis præcedit admonitio de ἀθετήσει quam communis opinio sequatur, quæque Aristarchi auctoritate nitatur. Vide locos a Wolfio citatos in Proleg. p. 271. Aristarcho igitur, ut vere observat idem, προηθέτουν illi. Atque sic in nostris quoque infra ad β, 322. quanquam non nominato Aristarcho: ἀθετεῖται ὡς περιττός. προηθέτει δὲ καὶ Ἀριστοφάνης. Eo magis mirum quod hic et ad γ, 199. δ, 276. verbum hoc legimus sine prævia tali observatione: nam quod hic quidem subjicitur, in quibusdam exemplis versus hos non esse positos, id aut factum erat auctoritate Aristophanis aut jam ante illum. Altero autem loco, ad γ, 199. ubi schol. Q. ita: παρὰ Ἀριστοφάνει προηθετοῦντο, in schol. Harl. simpliciter scriptum Ἀριστοφάνης ἠθέτει: quanquam dici potest, Aristarchum ibi, ut qui Aristophani fortasse astipulatus sit, non memorari: sed in loco ad δ, 276. ubi verba προηθετεῖτο παρ' ἐνίοις (nam sic videtur scribendum) ad Aristophanem et Zenodotum referri possunt damnatio Aristarchi auctoritate tam parum stabilita videtur, ut scholiastes versum defendat potius contra ἐνίους illos. Videtur itaque his locis verbum προηθετεῖτο spectare non ἀθέτησιν aliquam posteriorem, sed omnino justam illam et continuam poëmatum Homericorum recensionem, quæ ab Aristarcho instituta est. Προηθέτουν itaque hos versus illi, antequam Aristarchus de omnibus Homeri versibus ita pronuntiasset, ut judicium ejus ab eo tempore instar omnium esset. BUTTM. Accedit nunc Athenocles Cyzicenus, qui ipse quoque antiquior Aristarcho grammaticus est: qui Odysseæ versum ξ, 507. προηθετηκέναι dicitur ab scholiasta codicis H.

ἔνια] ἐνίων Q.R.

γράφων οὐδ' ἐφέροντο. H.M.Q.R. τὸ ἥδε ἀναφορικῶς εἴρηκεν ἀντὶ τοῦ δεικτικῶς. V.

186. Ῥείθρῳ] ὄνομα κύριον τοῦ ἐν Ἰθάκῃ λιμένος ἀπὸ τοῦ συμβεβηκότος, ἐπειδὴ ἄκρουν ἔχει καταρρεόμενον ὑπὸ πολλῶν ὑδάτων, ἢ ἀπὸ τοῦ συρρεῖν εἰς αὐτὸν ὑδάτων χειμάρρους πολλοὺς ἀπὸ τοῦ Νηρίτου. Νήριτον γὰρ τὸ Νήϊον τινὲς λέγουσιν· οἱ δέ φασιν ἕτερον εἶναι τὸ Νήϊον τοῦ Νηρίτου. Ἀρίσταρχος δὲ Νήϊόν φησι παρακεῖσθαι τῷ Ῥείθρῳ, ἀφ' οὗ ἐξῆπτον τὰ πρυμνήσια. H.M.T.V.

ὑπὸ Νηΐῳ ὑλήεντι] διαφέρει Νήριτον καὶ Νήϊον. δύο δέ ἐστιν ὄρη τῆς Ἰθάκης· "τοῦτο δὲ Νήριτόν ἐστιν ὄρος καταειμένον ὕλῃ" (Od. ν, 351.). καὶ "ἡμεῖς δ' ἐξ Ἰθάκης ὑπὸ Νηΐου εἰλήλουθμεν" (Od. γ, 81.). ὅπερ κάθυγρον ὂν εἰς τὸν ὑποκείμενον λιμένα πλεῖστον ῥεῦμα ἐνδίδωσι. ὅθεν ἀπὸ τοῦ συμβεβηκότος Ῥεῖθρον προσηγόρευσε τὸν λιμένα. "νηῦς δέ μοι ἥδ' ἕστηκεν ἐπ' ἀγροῦ νόσφι πόληος ἐν λιμένι Ῥείθρῳ ὑπὸ Νηΐῳ ὑλήεντι." τῷ γὰρ "λιμένι Ῥείθρῳ" δηλοῖ, ἐν καλῷ λιμένι Ῥείθρῳ, ὡς εἴ τις ἔλεγεν ἐν καλῷ λιμένι τὸ Ῥεῖθρον. τὸ δὲ Νήρικον πόλισμά ἐστι τῆς καταντικρὺ Ἠπείρου· "ὡς ὅτε Νήρικον εἷλον ἐϋκτίμενον πτολίεθρον, ἀκτὴν Ἠπείροιο." (Οδ. ω, 377.) E.M.Q.T. τῷ πρὸς ὑποδοχὴν νεῶν εὐθέτῳ ὄρει Ἰθάκης. V.

188. εἴπερ τε γέροντ' εἴρηαι] διχῶς αἱ Ἀριστάρχου, εἴπερ τε καὶ

1. οὐδ' ἐφέροντο] Non exstitisse in exemplari Zenodoti conjicit Nauck. Aristoph. p. 27.

3. κύριον om. V., in quo prima sunt scholii verba ὄνομα—ἔχει.

λιμένος M. λιμένος τὸ Ῥεῖθρον V.

4. ἔχει — πρυμνήσια] Sic hæc scripta in M. In V. est ἔχει· ἢ ἀπὸ τοῦ συρρεῖν εἰς αὐτὸν χειμάρρους πολλοὺς ἀπὸ τοῦ Νηΐου ὄρους, reliquis omissis. In T. ad ὑπὸ Νηΐῳ scholion hoc est, οὕτω καλουμένῳ Ῥείθρῳ παρὰ τὸ πολλοὺς χειμάρρους ῥεῖν εἰς αὐτὸν ἀπὸ τοῦ Νηρίτου. Νήριτον γὰρ τὸ Νήϊόν τινες λέγουσιν· οἱ δέ φασιν ἕτερον εἶναι τὸ Νήϊον τοῦ Νηρίτου. Ἀρίσταρχος δὲ Νήϊόν φησι παρὰ τὸ κεῖσθαι τῷ Ῥείθρῳ. ἔστι δὲ ὄνομα τοῦ ἐν Ἰθάκῃ λιμένος ἀπὸ τοῦ συμβεβηκότος, ἀπὸ τοῦ συρρεῖν εἰς αὐτὸν χειμάρρους πολλοὺς ἀπὸ τοῦ Νηΐου ὄρους. In H. infra post εἰλήλουθμεν pergitur, καταντικρὺ (hoc male vel scriptum vel lectum pro οὕτω καλουμένῳ, quod est in T.) Ῥείθρῳ. καταρρεόμενον ὑπὸ πολλῶν ὑδάτων παρὰ τὸ πολλοὺς χειμάρρους ῥεῖν εἰς αὐτὸν ἀπὸ τοῦ Νηρίτου. Νήριτον γὰρ τὸ Νήϊτον τινὲς λέγουσιν· οἱ δέ φασιν— πρυμνήσια (ut M.) :—

7. τὸ νήϊον T. τὸ νήϊτον H.M.

δὲ νήϊον φησὶ M.T. δέ φησιν νήϊον H.

10. Νήϊον] νήϊτον H.

12. Νηΐου] νηΐτου H.

15. ἥδ' om. E.Q.

πόληος] πόλιος E.Q.

18. et 19. Νήρικον Buttm. correxit pro Νήριτον.

εἴπερ τι. M. εἰς ἀξιόχρεων δὲ μάρτυρα τὴν πίστιν ἀναφέρει. δευτέραν πίστιν τῆς καθαρᾶς φιλίας ποιεῖται τὴν ἀκριβολογίαν τῆς κακοδουλείας. M.Q.

192. παρτιθεῖ] ἐνεστὼς χρόνος, ἀπὸ τοῦ τιθῶ, διὸ περισπᾶται. P. 5

193. ἀνὰ γουνὸν ἀλωῆς] ἀλωὴν καὶ τὴν πολύδενδρον γῆν φησιν· "ἔνθα δέ οἱ πολύκαρπος ἀλωή" (Od. η, 122.). καὶ τὴν ἀμπελόφυτον "σταφυλῇσι μέγα βρίθουσαν ἀλωήν" (Il. σ, 561.)· ὁμοίως καὶ τὴν σιτοφόρον γῆν. Q. ἀλωὴ λέγεται καὶ ἡ πολύδενδρος γῆ, καὶ ἡ ἀμπελόφυτος, καὶ ἡ σιτοφόρος, καὶ ἡ δασεῖα. B.E. 10

ἑρπύζοντ'—οἰνοπέδοιο] μετὰ ὀδύνης καὶ ἀνίας ἠρέμα βαδίζοντα διὰ τὸ γῆρας. M. βαδίζοντα εἰς τὸν γονιμώτατον τόπον τῆς γῆς οἰνοφόρου. ἐσήμανε τὸν ὑπὸ τοῦ γήρως μετὰ ὀδύνης καὶ ἀνίας ἠρέμα καὶ βαρέως βαδίζοντα. Q.

194. νῦν δ' ἦλθον] διὰ τούτων εὔελπιν ποιεῖ τὸν νέον. τὸ δὲ 15 ἑξῆς, ἔφαντο γὰρ δὴ αὐτὸν τὸν σὸν πατέρα ἐπιδήμιον εἶναι. λείπει δὲ τὸ ὥστε. M.P.

195. ἀλλ' ἔτι που] διὰ τοῦτο εὔελπιν ποιεῖ τὸν νέον. διὰ δὲ τοῦ εἰπεῖν "νήσῳ ἐν ἀμφιρύτῃ" δυσχερὲς αὐτῷ τὸ ἐκφυγεῖν ὑπεσήμανεν ὡς ἐν νήσῳ ὄντι· οἱ γὰρ ἐν γῇ εὐχερῶς δραπετεύουσιν. E.Q. 20

196. οὐ γάρ πω τέθνηκεν] οἶδα, φησίν, ὅτι οὐ τέθνηκεν· ᾠόμην δὲ αὐτὸν καὶ ἐπανεληλυθέναι. P.M.Q.

198. χαλεποὶ δέ μιν] χαλεποὶ ἄνδρες, ἤγουν ὁ Κύκλωψ καὶ οἱ μετ' αὐτοῦ. ἁρπάσας Ὀδυσσεὺς τὴν θυγατέρα τοῦ Κύκλωπος, ὁ Κύκλωψ μετὰ πολλῆς ἰσχύος νῆας ποιήσας κατὰ τοῦ Ὀδυσσέως 25 ἐφέρετο, καὶ οὕτως οὐκ εἴα αὐτὸν πρὸς τὴν οἰκείαν ἐπιστρέψαι. P.

202. οὐκέτι] οὐδαμῶς. V.

οὔτ' οἰωνῶν σάφα εἰδώς] ἠρέμα παρεδήλωσεν ἡ Ἀθηνᾶ ἥτις ἦν.

1. δὲ om. Q.

3. κακοδουλείας] Tam absona hæc vox ut fere suspicer scriptum olim fuisse ἀποδημίας, respicique versus 259 sqq. ubi cf. schol. BUTTM.

15. διὰ τούτων M. διὰ γὰρ τοῦτο P., qui prima tantum hujus scholii verba habet διὰ—γὰρ δὴ αὐτόν.

ποιεῖ P. ποιεῖται M.

16. ἐπιδήμιον] ὥστε ἐπιδήμιον M. Delevi ὥστε ex proximis verbis illatum.

18. εὔελπιν ποιεῖ] δύσελπιν ποιεῖται E.Q. Correxi ex scholio præcedente.

26. ἐπιστρέψαι Buttm. ἐπιστρέψαντες P.

οἱ γὰρ ἄνθρωποι καὶ μαντείας καὶ τῶν οἰωνῶν δεόμενοι, τὸ δὲ θεῖον ἐξ αὐτοῦ προγινώσκει τὸ μέλλον. E.Q.

204. δέσματα Ἀττικῶς ὡς γράμματα, ἀλλ' εἴπερ τε σιδήρεα δέσματ' ἔχῃσι, φράσσεται ὥς κε νέηται. καὶ ἔχει ἔμφασιν ἡ γραφή. H.M.

δέσματα] ἐκτέταται, ὡς τὸ ὀνείρατα, προσώπατα. Ἀττικὸν δέ ἐστι τὸ τοῖς οὐδετέροις χρῆσθαι ἀντὶ ἀρσενικῶν. γίνεται δὲ ἀπὸ τοῦ δέω δέσματα, ὥσπερ ἀπὸ τοῦ ξέω ξέσματα. E.H.M.

207. εἰ δὴ ἐξ αὐτοῖο] πειραστικῶς πυνθάνεται πῶς Ὀδυσσέως ὢν οὐκ ἀνδρίζεται. λείπει δὲ εἰς τὸ τόσος τὸ ὢν, ἵν' ᾖ τηλικοῦτος ὤν. E.Q.

πονῶ πονήσω ἐν ψυχῇ· πονῶ πονέσω ἐπὶ σώματος. E.

208. αἰνῶς γὰρ κεφαλήν τε] Ἀριστοφάνης καὶ Ἀρίσταρχος "αἰνῶς μέν." καὶ ἔχει τι εἶδος ἡ γραφὴ αὕτη. H.M.Q.R. τὸ δὲ, τοῖον ἐμισγόμεθα, ἀντὶ τοῦ τοίως, ὡς νῦν καὶ ἡμεῖς, ἐγὼ καὶ σύ. H.M.Q.

209. ἐπεὶ θαμὰ τοῖον ἐμισγόμεθα] οὕτως ὡς ἡμεῖς ἐμίχθημεν σήμερον, καὶ μετὰ τοῦ σοῦ πατρὸς ἐμισγόμεθα. Q.

212. ἔκτοτε] ἐξ ἐκείνου τοῦ χρόνου. V.

1. μαντείας correxi pro μάντεις, quod Buttm. in μάντεων mutari volebat.

3. δέσματα — γράμματα] Hæc manifeste corrupta. Nam nec δέσματα operæ pretium erat cum γράμματα comparari et desideratur nomen grammatici qui ἀλλ' εἴπερ pro οὐδ' εἴπερ legit. Fortasse igitnr hæc sic sunt in ordinem redigenda ut post lemma οὐδ' εἴπερ τε σιδήρεα δέσματα pergatur Ἀρίσταρχος γράφει,—. Nomen Aristarchi ante ἀλλ' εἴπερ excidisse etiam Cobetus conjecit. Ceterum illud ἀττικῶς abest ab H. in quo duo ad hunc versum scholia leguntur, alterum manus primæ δέσματα ὡς γράμματα ἐκτέταται ὡς τὸ ὀνείρατα, προσώπατα. Ἀττικὸν δέ ἐστι τὸ τοῖς οὐδετέροις ἀντὶ ἀρσενικῶν κεχρῆσθαι, alterum manus recentioris, γίνεται δὲ ἀπὸ τοῦ δέω δέσματα, ὥσπερ ἀπὸ τοῦ ξέω ξέσματα. δέσματα ὡς γράμματα. ἀλλ' εἴπερ usque ad ἡ γραφή. Ego scholion alterum, ἐκτέταται——ξέσματα exhibui ut scriptum est in M., nisi quod ὥσπερ ἀπὸ τοῦ ξέω ex H. scripsi pro ὡς τὸ ξέω, quod est in M. In E. legitur δέσματα· ἀντὶ τοῦ δεσμεῖα ἀττικῶς· τὰ γὰρ ἀρσενικὰ οὐδετέρως λέγουσιν· ἀπὸ τοῦ δέω δέσμα καὶ ἀπὸ τοῦ ξέω ξέσματα. ἐκτέταται δὲ ὡς τὸ ὀνείρατα, προσώπατα. Brevius excerptum est in V. δέσματα δεσμοί. ἔθος δὲ Ἀττικοῖς τὰ ἀρσενικὰ οὐδετέρως λέγειν. ἀπὸ τοῦ δέω δέσματα καὶ ἀπὸ τοῦ ξέω ξέσματα. Similiter Eustath. p. 1411, 23.

11. πονῶ—σώματος] Hæc quomodo huc venerint non exputo. BUTTM.

13. μὲν (μὴν Nauck. Aristoph. p. 84.)] Legebatur μὲν ἔχει.

εἶδος] εἰκὸς Buttm.

14. τοῦ om. Q.

ἐγὼ] ἐγώ τε Q.

ἐμὲ κεῖνος] πλήρης ἡ ἐμέ ἀντωνυμία· πρὸς γὰρ ἀντιδιαστολὴν παρείληπται. M.

214. τοιγὰρ ἐγώ τοι] τὸ πρῶτον τοί οὐκ ἔστιν ἀντωνυμία· οὐδέποτε γὰρ ἀρκτικὸν τὸ τοί· ἀλλ' ἔστιν ἀντὶ τοῦ δή. B.M.

ἀτρεκέως] ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ τρέχω· ὁ μὴ παρατρέχων τὴν ἀλήθειαν. ἢ ἀπὸ τοῦ α καὶ τοῦ τρῶ τὸ φοβοῦμαι. ὁ γὰρ τὴν ἀλήθειαν λέγων οὐ δέδιεν. γίνεται γοῦν ἀτρεής καὶ ἀτρεκής. E.

καταλέξω] γράφεται, ἀγορεύσω. H.

215. μήτηρ μέν τέ με φησι] ἡ μὲν μέν ἀπόλυτος, ἡ δὲ ἐγώ ἀντιδιαστολὴν ἔχει πρὸς τὴν μητέρα. H.M. εἰ μηδεὶς τῶν γεννωμένων δύναται γνῶναι τὸν πατέρα, πόθεν ἡ γνῶσις τοῖς παισὶ τοῦ πατρός; τὸ γὰρ "μήτηρ μέν τέ με φησι τοῦ ἔμμεναι, αὐτὰρ ἔγωγε οὐκ οἶδα ὅπως μὲν ἔχῃ," ἐπὶ τοῦ Τηλεμάχου· ὅτε γὰρ ἀπεδήμησε παῖς ἦν μαζῷ, διὸ μόνου τοῦ ὀνόματος παρὰ τῆς μητρὸς γίνεται ἀκροατὴς ἀκούων ὅτι τοῦ Ὀδυσσέως ἐστὶ παῖς· εἰ δὲ καθόλου "οὐ γάρ πώ τις ἑὸν γόνον ἀνέγνω," πόθεν ἡ γνῶσις; ἔδει γὰρ φάναι, ἐγὼ γὰρ οὐκ εἶδον τὸν γεγεννηκότα, ἀλλὰ μὴ καθόλου ποιεῖσθαι τὴν ἀπόφασιν ὡς μηδενὸς εἰδότος τὸν αὐτοῦ πατέρα. ὀρθῶς οὖν ὁ Σέλευκος εἴρηκεν ὅτι δεῖ λαβεῖν τό, εἰ μὴ μήτηρ φαίη τοῦ ἔμμεναι. καὶ γὰρ εἰ καὶ ἐτεθνήκει ἅμα τῷ γενέσθαι τὸν παῖδα, ἡ μήτηρ διδάσκει τοῦ πατρὸς τοὔνομα· κἂν περιῇ καὶ παρῇ ἡ μήτηρ, δείκνυσιν ὅτι τούτου ἐστὶ παῖς· ὥστε τὸ "οὐ γάρ πώ τις ἑὸν γόνον αὐτὸς ἀνέγνω" προσλαβόντας δεῖ τό, εἰ μὴ μήτηρ φαίη τοῦ ἔμμεναι, δοκιμάζειν εἰ μὴ ὀρθῶς εἴρηται. ἀλλὰ καὶ οὕτως ζητοῦσι τίς ὁ νοῦς τοῦ μὲν ξένου ἐρωτήσαντος "ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον, εἰ δὴ ἐξ αὐτοῖο τόσος παῖς εἶς Ὀδυσῆος· αἰνῶς γὰρ κεφαλήν τε καὶ ὄμματα καλὰ ἔοικας κείνῳ." τοῦ δὲ ἀποκρινομένου "τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω· μήτηρ μέν τέ με φησι τοῦ ἔμμεναι, αὐτὰρ ἔγωγε οὐκ οἶδα· οὐ γάρ πώ τις ἑὸν γόνον αὐτὸς ἀνέγνω." τίς γὰρ ἡ διάνοια τοῦ λέγοντος, οὐδεὶς τὸν πατέρα ἀνεγνώρισε; οὐ γὰρ αὕτη ἡ

4. ἀρκτικὸν Buttm. ἀρκτικὸς M. ἀρσενικὸν B.

14. ἀπεδήμησε] ἀπεδήμει H.

18. ποιεῖσθαι H. ποιεῖται Q. et fortasse R.

20. λαβεῖν] προσλαβεῖν Buttm., ut mox legitur προσλαβόντας.

21. ἐτεθνήκει H.R. ἐτέθνηκεν Q.

23. προσλαβόντας Buttm. pro προσλαβόντες.

ἀκολουθία, ὅτι μὴ περὶ παρόντος ἐστὶν ὁ λόγος εἰ γνωρίζεις τοῦτον, ἀλλὰ περὶ ἀπόντος, περὶ οὗ οὐκ, εἰ μὴ γνωρίζει, ἐχρῆν λέγειν, ἀλλ', εἰ μὴ πεπίστευκεν. ὁ γὰρ λόγος, εἰπέ μοι εἰ τοῦ Ὀδυσσέως εἶ παῖς, ὁ δ' ἔφη, οὐκ οἶδα· παρὰ γὰρ τῆς μητρὸς ἀκήκοα Ὀδυσσέως εἶναι· οὐ γὰρ αὐτὸς ἑώρακα. πρὸς δὲ τὸ, παρὰ μητρὸς ἤκουσα, οὐκ ἔχει λόγον τὸ, οὐ γάρ τις δι' ἑαυτοῦ τὸν πατέρα ἐγνώρισε. ἔσται οὖν τὸ ἀνέγνω ὡς πρὸς τὴν ἀκοὴν ἐπίστευσε. κἂν οὕτω λαμβάνηται, ἔσται ὁ λόγος, ἡ μήτηρ μὲν ἔφη ἐκείνου εἶναι, ἐγὼ δ' οὐκ οἶδα· οὐ γάρ τις δι' ἑαυτοῦ περὶ τοῦ ἑαυτοῦ πατρὸς τὴν πίστιν ἔσχεν. ἐνθάδε δεῖ πάλιν ἀκοῦσαι, εἰ μὴ παρὰ πατρὸς πύθοιτο καὶ σεβαστικῶς ἐκδέξαιτο τὸν λόγον· οὐδεὶς γὰρ αὐτοῦ τὸν πατέρα ἀνεζήτησε καὶ ἀνηρεύνησεν, εἰ ὄντως εἴη ὁ λεγόμενος, λεγούσῃ δὲ τῇ μητρὶ πᾶς πεπίστευκεν ἄνευ ζητήσεως διὰ τὸ σέβας τὸ πρὸς τοὺς τεκόντας. H.Q.R.

οὐ γάρ πώ τις ἑὸν γόνον] καὶ ἀλλαχοῦ "τόνδε τ' ἐμὸν πατέρα φάσ' ἔμμεναι" (Od. δ, 387.). ὁμοίως Εὐριπίδης "μήτηρ φιλότεκνος μᾶλλον πατρός· ἡ μὲν γὰρ αὐτῆς οἶδεν ὅνθ', ὁ δ' οἴεται." καὶ Μένανδρος "αὐτὸν γὰρ οὐδεὶς οἶδε τοῦ ποτ' ἐγένετο, ἀλλ' ὑπονοοῦμεν πάντες ἢ πιστεύομεν." τινὲς δὲ ταῦτα τὸν Τηλέμαχόν φασι λέγειν ἐπεὶ μικρὸς καταλέλειπται. E.M.

Πορφυρίου εἰς τὸ αὐτό. καὶ τὸ, οὐκ οἶδα, οὐκ ἀπιστοῦντός ἐστιν, ἀλλ' αὐτὸν τὸν Ὀδυσσέα φησὶν ἀγνοεῖν οὐχ ἑωρακώς. οὐδὲ γὰρ ἂν δύναιτό τις τοὺς γονέας ἐξ αὐτοῦ γνῶναι. E.

217. ὄφελον] τὸ ὄφελον ἀντὶ τοῦ εἴθε, ὡς δὴ ἔγωγ' ὄφελον. ηὐχόμην ἐγὼ εἶναί τινος υἱὸς μάκαρος ἀνδρὸς, ὃν ὁ θάνατος κατέλαβεν ἐν τοῖς ἰδίοις κτήμασι καὶ μὴ ἐν πλάνῃ καὶ ξένοις τόποις. Q.

218. ἐπὶ γῆρας] οὐκ ἀναστρεπτέον τὴν ἐπί. ὑπὸ νεότητος δὲ εἰς

1. περὶ om. Q.
5. πρὸς δὲ τὸ H. πρὸς ὁ τὸ Q.
6. ἔσται H. ἔστω Q.
7. οὕτω] οὕτω δὲ H.
9. παρὰ τοῦ ἑαυτοῦ πατρὸς] Scribendum videtur περὶ τοῦ ε. π. et mox παρὰ μητρὸς πύθοιτο. Sed nimis impedita totius hujus loci argumentatio ut pro certo quicquam pronuntiem. BUTTM. περὶ τοῦ ἑ. πατρός est in H.
10. καὶ σ. ἐκδέξαιτο τὸν λόγον Buttmann. Legebatur κἂν σ. ἐκδέξῃ λόγον.
12. εἰ addidit Buttm. legiturque in H., ex quo enotatum εἰ εἴη.
13. σέβας H. σέβειν Q.
14. τόνδέ τ' M. τὸν δ' E.
15. Euripidis fragmentum iterum ad δ, 387. adscriptum in M.
φιλότεκνος] φιλότεκνον M., sed φιλότεκνος loco altero.
16. οἶδεν ὅνθ'] οἶδ' ἐόντας E.M. οἶδεν αὐτῆς ὄντα M. loco altero. Correxi ex Eustathio p. 1412, 14.
17. τοῦ Eustathius. πῶς E.M.

μειρακιώδη προνένευκεν ἀφέλειαν, εὐδαίμονα λέγων τὸν ἐν ἰδίοις οἴκοις τελευτῶντα. B.E.

221. γλαυκῶπις] γίνεται μὲν καὶ ἀπ' ἄλλων, γίνεται δὲ καὶ ἀπὸ τοῦ γλαύσσω, τὸ βλέπω. B.

225. τίπτε δέ] τί σε ἀναγκαῖον ἔχει; εἰ γὰρ ἦν, φησίν, ἔρανος, φειδωλῶς ἤσθιον ἂν ὡς ἴδια ἐσθίοντες. P.

226. εἰλαπίνη λέγεται ἡ πολλῶν ἀνδρῶν εὐωχία, ἐν ᾗ κατὰ εἴλας καὶ συστροφὰς εὐωχοῦνται. E.H.V.

ἐπεὶ οὐκ ἔρανος] ὡς τοῦ ἐράνου κοσμιωτέρου καὶ εὐτελεστέρου ὄντος· καὶ εἰκότως· ὁ μὲν γὰρ γάμος καὶ αἱ ἄλλαι εὐωχίαι φιλίᾳ τινὶ γίνονται, ὁ δὲ ἔρανος ὡς ἕκαστός τι κομίσειεν. ἔρανος οὖν λέγεται τὸ ἀπὸ συμβολῆς δεῖπνον. E.V.

εἰλαπίνη ἡ πολλῶν εὐωχία, ἐν ᾗ κατὰ εἴλας πίνουσιν· ἔρανος ἡ ἐκ κοινοῦ εὐωχία. Ἡσίοδος "ἐκ κοινοῦ πλείστη τε χάρις," τὸ κόσμιον τῶν ἐράνων δηλῶν. εἰ γὰρ ἦν ἔρανος, φειδωλῶς ἤσθιον ὡς ἴδια ἐσθίοντες. B.M.Q.

227. ὥς τέ μοι] τὸ ὡς ἀντὶ τοῦ ὅτι. τὸ δὲ ἑξῆς, ὅτι μοι δοκοῦσιν ὑβρίζοντες ὑπερφιάλως. Q.

228. νεμεσσήσαιτο] τὸ συναθροισθῆναι τοὺς μνηστῆρας οὕτως ὡς ἔτυχε καὶ εὐωχεῖσθαι εἰς τὴν οἰκίαν τοῦ Ὀδυσσέως μέμψαιτο ἄν τις ἀνὴρ συνετός. Q.

231. μεταλλᾷς] πολυπραγμονεῖς, ἀπὸ μεταφορᾶς τῶν μετάλλων. B. ζητεῖς, ἀπὸ μεταφορᾶς τῶν μέταλλα ψηλαφώντων. P.

232. μέλλεν μέν ποτε] αὕτη ἡ λέξις οὐδέποτε κεῖται παρὰ τῷ ποιητῇ ὡς ἐν τῇ συνηθείᾳ χρονικῶς, ἀλλ' ἑκάστοτε ἀντὶ τοῦ ἐῴκει. E.H.Q.V.

234. νῦν δ' ἑτέρως βούλοντο] ἀντὶ τοῦ ἐβουλεύσαντο. τινὲς δὲ γράφουσι, ἐβάλοντο θεοί, ἀντὶ τοῦ μετέβαλον. ἔχει μέντοι λόγον καὶ

5. τίπτε—] In præcedentibus verbis τίς δὲ ὅμιλος Aristarchus τίς δαί scripserat: v. Toll. ad Apollon. Lex. s. v. δαί p. 215.

7. ἀνδρῶν om. E.V.

9. ὡς τοῦ ἐράνου] ὡς γάμου E.

14. Ἡσίοδος] Op. 721.

πλείστη τε χάρις] Lectio non pejor quam vulgata (πλείστη δέ) qua disjunguntur membra versus. BUTTM. τε etiam Eustath. p. 1412, 62.

19. ὡς addidit Buttm.

24. αὕτη —] Idem scholion in E. adscriptum ad δ, 274.

27. ἀντὶ τοῦ M. ἤτοι E.H.Q.

28. ἐβάλοντο] Vera scriptura ἐβόλοντο est, ad quam spectat Hesychii glossa ἐβόλοντο: ἐβούλοντο, ἐβουλεύσαντο. Quæ forma verbi (βόλεται et βόλεσθε) etiam duobus aliis in locis Homeri obliterata erat (Il. λ, 319. Od. π, 387.). Eam qui non

τὸ ἐβούλοντο ἤτοι ἐβουλεύσαντο, ὡς τὸ, "Τρωσὶ δ' ἐβούλετο νίκην," (Il. η, 21.) E.H.M.Q.

ἐβούλοντο] Ἰωνικὴ συστολή. τινὲς ἀντὶ τοῦ, οἱ θεοὶ κακὰ ἔβαλον. P. ἠβούλοντο, ἤθελον. V.

236. ἐπεὶ οὔ κε θανόντι] ἐπεὶ ἐὰν Ὀδυσσεὺς μετὰ τῶν ἰδίων φίλων ἐδαμάσθη ἤτοι ἀπέθανεν ἐν τῷ Τρωϊκῷ πολέμῳ, οὐκ ἂν ἀκαχοίμην, ἤτοι ἐλυπούμην. Q.

238. ἠὲ φίλων] τοὺς ἑταίρους ἀπὸ τῶν φίλων διαιρεῖ ὁ ποιητής. οἱ μὲν γὰρ ἑταῖροι οἱ προσοικειωθέντες κατὰ φιλίαν, οἱ δὲ φίλοι οἱ οἰκεῖοι καὶ κατὰ γένος προσήκοντες ὥσπερ καὶ ὁ ἔτης καὶ ὁ γείτων. ἔται μὲν γὰρ οἱ συνέστιοι, γείτονες δὲ οἱ πλησίον μένοντες· "γείτονες ἠδὲ ἔται Μενελάου κυδαλίμοιο" (Od. δ, 16.). Καὶ ὅτι ἑταίρους τοὺς συνδιαίτους καὶ ἠγαπημένους οἶδε, καί φησι, "ἐπεί οἱ ἑταῖρος ἔην φίλος εἰλαπιναστής" (Il. ρ, 577.)· καὶ ἐρίηρας ἑταίρους τοὺς διὰ τὰς χρείας φίλους. καὶ "Ἕκτορι δ' ἦεν ἑταῖρος" (Il. σ, 251.) παραλιπὼν ἐνταῦθα τὸ εἶδος. ὁμοίως δ' αὖ "σοὶ δ' ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται, ἣν σὺ μενοινᾷς" (Od. β, 285.)· καὶ "τοῖος γάρ τοι ἑταῖ-

intellexissent hoc loco ἐβάλοντο scripsisse videntur.

1. ἤτοι (ἤγουν H.) ἐβουλεύσαντο om. M.

δ' ἐβούλετο] δὴ βούλεται M. δὴ βούληται H.

νίκην om. H.M.

3. Ἰωνικὴ συστολή] Hoc qui scripsit, aut veram in libro suo scripturam habuit ἐβόλοντο, aut ου diphthongum corripi credidit, hoc quidem absurde. In M. qui ἐβούλοντο in textu a correctore habet, superscriptum est ἰωνικόν.

8. Magnam hujus scholii partem levi cum scripturæ diversitate habet M. non tamen huic versui adscriptam, sed ad δ, 12. ἑταῖροι οἱ προσοικειωθέντες κατὰ φιλίαν, φίλοι δὲ οἱ οἰκεῖοι καὶ κατὰ γένος προσήκοντες. ἔται μὲν γὰρ οἱ συνέστιοι, γείτονες δὲ οἱ πλησίον μένοντες. ἑταίρους δὲ λέγει καὶ τοὺς συνδιαίτας (sic) καὶ ἐρίηρας ἑταίρους τοὺς κατὰ χρείαν φίλους. καὶ συνευωχητὴς μὲν καθὸ λέγει, τοῖος γάρ τοι ἑταῖρος ἐγὼ πατρώϊος εἰμὶ ὅστις νῆα θοήν. καὶ διακρίνων λέγει, ἢ μετὰ οἷς ἑτάροισι δάμη Τρώων ἐνὶ δήμῳ ἠὲ φίλων ἐν χερσίν. οὐκ ἂν, φησὶν ἐλυπήθη εἰ ἐν τῇ Τροίᾳ ἀπέθανεν μετὰ τῶν ἑταίρων αὐτοῦ πολεμῶν ἢ εἰ κατεργασάμενος τὸν πόλεμον ἐν χερσὶ τῶν οἰκείων ἐτελεύτησεν:—Eodem loco scholion hoc habet T., sed plenius et tale fere quale hic in E.Q. legitur.

τοὺς ἑταίρους (ἑτέρους E.Q.) — οἱ μὲν] τοὺς ἔτας . . . οἱ μὲν T.

9. οἱ ante οἰκεῖοι addidi ex T.

10. ὥσπερ—συνέστιοι T. ὥσπερ ὁ ἔτης. ἔται γὰρ καὶ οἱ συνέστιοι E.Q.

12. Μενελάου κυδαλίμοιο om. T.

Verba καὶ ὅτι ἑταίρους novum scholium ordiuntur pendentque a σημειοῦνται (vid. not. ad ζ, 8.). BUTTM.

13. τοὺς et καὶ ἠγαπημένους om. T.

καί φησι om. T.

14. ἔην φίλος T. φίλος om. E.Q.

15. καὶ Ἕκτορι—μενοινᾷς] Hæc addidi ex T.

ἑταῖρος addidi ex M.T.

17. καὶ τοῖος T. καὶ τὸ τοῖος E.Q.

ρος ἐγὼ πατρώϊός εἰμι, ὅς τοι νῆα θοὴν στελέω καὶ ἅμ' ἕψομαι αὐτός" (Od. β, 286.), καὶ "ἐγὼ δ' ἀνὰ δῆμον ἑταίρους αἶψ' ἐθελοντῆρας συλλέξομαι" (291.). καὶ μεταφέρων ἐκ τοῦ ἐϋκνήμιδας Ἀχαιοὺς λέγει "ἤδη μέν τοι ἐϋκνήμιδες ἑταῖροι" (Od. β, 402.) καὶ ἐκ τοῦ καρηκομόωντας Ἀχαιούς "εὗρον ἔπειτ' ἐπὶ θινὶ καρηκομόωντας ἑταίρους" (Od. β, 408.) φίλος δὲ υἱὸς, καὶ φίλη μήτηρ, καὶ φίλα γυῖα, καὶ φίλαι χεῖρες. καὶ διακρίνων φησὶν "εἰ μετὰ οἷς ἑτάροισι δάμη Τρώων ἐνὶ δήμῳ ἠὲ φίλων ἐν χερσὶν, ἐπεὶ πόλεμον τολύπευσεν." (Od. α, 237.) οὐκ ἂν, φησὶν, ἐλυπήθην εἰ ἐν τῇ Τροίᾳ μετὰ τῶν ἑταίρων αὐτοῦ ἀπώλετο πολεμῶν, ἢ εἰ κατεργασάμενος τὸν πόλεμον καὶ ἐπανελθὼν ἐν ταῖς χερσὶ τῶν οἰκείων ἐτελεύτησε. καταχρώμενος δὲ καὶ τοῦ φόβου τὴν φύζαν ἑταίραν λέγει, "φύζα φόβου κρυόεντος ἑταίρη" (Il. ι, 2.)· καὶ ἄνεμον, "ἴκμενον οὖρον ἵει πλησίστιον ἐσθλὸν ἑταῖρον" (Od. λ, 7.). καὶ πάλιν ὅλην τὴν οἰκειότητα δηλῶν φησιν "ὄφρα ἴδῃ πρότερόν τε πόσιν, πηούς τε φίλους τε" (Il. γ, 163.), τὸν ἄνδρα, τοὺς συγγενεῖς, τοὺς οἰκείους· διὸ ἐπιζητεῖ ἡ Ἑλένη τοὺς ἀδελφούς. E.Q.T.

ἐπεὶ πόλεμον τολύπευσε] κατειργάσατο, μεταφορικῶς. τολύπη γὰρ εἶδος βοτάνης θανασίμου· καὶ τὴν τῶν ἐρίων ἤδη κατειργασμένην εἴλησιν τολύπην λέγομεν. E.V.

239. τύμβον μὲν ἐποίησαν] διὸ ἂν αὐτῷ ἐποίησαν τύμβον διὰ τὸ ἀποθανεῖν ἐν τῷ πολέμῳ. πρὸς τὸ πρῶτον δὲ ὑπήντησεν. B.

241. ἅρπυιαι] αἱ τῶν ἀνέμων συστροφαὶ, ἢ αἱ τιμωρητικαὶ θεαί. B. νῦν τοὺς ἀνέμους τοὺς ἁρπακτικοὺς, ἢ τὰ ἁρπακτικὰ ὄρνεα. E. δαίμονες, ἢ ἄνεμοι ἁρπακτικοί. V.

ἀνηρείψαντο] ἥρπαξαν, ἀπὸ μεταφορᾶς τῶν τὰ ἱερεῖα κατεργαζομένων. P.

1. ὅς—στελέω T. ὥς—τελέω E.Q.
2. καὶ ἐγὼ] καὶ om. T.
3. καὶ μεταφέρων — καρηκομόωντας ἑταίρους addidi ex T.
6. φίλος δὲ υἱὸς T. φίλος γὰρ υἱὸς E.Q. Quo factum ut Buttmannus ante hæc verba excidisse crederet φίλοι δὲ οἱ οἰκεῖοι.
7. φησὶν om. T.
9. ἐλυπήθην] ἐλύπησεν T.
10. αὐτοῦ addidi ex T.
πολεμῶν] πολεμίων T.
τὸν πόλεμον om. T.
11. καὶ ἐπανελθὼν T. καὶ om. E.Q.
12. ἑταίραν λέγει T. ἑτέρᾳ λέξει E.Q.
φύζα φόβου T. φύζα λέγει φόβου E.Q.
13. ἴκμενον addidi ex T.
14. ὅλην T. ὅλων E.Q.
16. διὸ—ἀδελφούς] Hæc addidi ex T.
18. τολύπη—θανασίμου om. V.

242. ἀπὸ ἄλλης ἀρχῆς τὸ "οἴχετ' ἄϊστος" κατὰ ἀναφώνησιν. B.

244. ἄλλα θεοί] ἀναγκαῖον μὲν ἡ λύπη τοῦ πατρός· τῆς δὲ λύπης τὸ δεινὸν ὁ τῆς ἀπωλείας τρόπος. E.

245. ὅσσοι γὰρ] διὰ τούτου ἀπολογίαν τοῦ μὴ ἐπιχειρεῖν ἐμφαίνει τὸ πλῆθος ἐξαριθμούμενος. διὰ δὲ τοῦ ἄριστοι δηλοῖ ὅτι οὐ πρὸς ἰδιώτας, ἀλλὰ πρὸς πόλεις ὅλας ἐστὶν αὐτῷ ὁ ἀγών. ὅπερ ἐπισημαίνεται καὶ διὰ τοῦ "Ἰθάκην κατακοιρανέουσιν," ὥστε εἰκότως κρατεῖται. E.

246. Δουλιχίῳ] νήσῳ κατὰ τὴν Κεφαλληνίαν. Ζακύνθῳ, νήσῳ καὶ αὐτῇ τῆς Κεφαλληνίας. Σάμῃ. τὴν Σάμον Σάμην εἶπε. ἔστι δὲ καὶ αὐτὴ κατὰ τὴν Κεφαλληνίαν. V.

Σάμῃ τε] τὴν Σάμον Σάμην καλεῖ. τρεῖς δὲ Σάμοι, Ἰωνική, Κεφαλληνική, Θρακική. B. Σάμος αὕτη κατὰ τὴν Κεφαλληνίαν. Vind. 56.

249. στυγερὸν γάμον] αὐτῇ στυγερὸν διὰ τὴν πρὸς τὸν Ὀδυσσέα πίστιν· ἢ Τηλεμάχῳ στυγερόν, εἰ βούλοιτο ἰδεῖν ἄλλῳ συνοῦσαν τὴν μητέρα. E.

ἡ ἐμὴ, φησὶ, μήτηρ οὔτε ἀπαρνεῖται τὸν στυγερὸν τῶν μνηστήρων γάμον τῶν βιαζόντων αὐτὴν, οὔτε τέλος αὐτῷ δίδωσι, τὸν ἱστὸν, ὃν ὡς ἐγγυητὴν ἐκείνοις δέδωκε, παρ' ὅλην μὲν ἡμέραν ὑφαίνουσα, παρὰ δὲ τὴν τῆς ἡμέρας τελευτὴν ἐκλύουσα καὶ ἀφανίζουσα, ὡς μὴ πέρας λάβῃ τὸ ἔργον τὸ τοῖς μνηστῆρσιν αὐτοῖς καταθύμιον. Q.

251. τάχα] αὕτη ἡ λέξις οὐ τίθεται παρὰ τῷ ποιητῇ διστακτικῶς ὡς ἐν τῇ συνηθείᾳ, ἀλλ' ἑκάστοτε ἀντὶ τοῦ ταχέως. V.

252. ἐπαλαστήσασα] τὸ ἐπαλαστήσασα δηλοῖ τὸ ἐπὶ τοῖς λεχθεῖσιν ὡς ἀλάστοις καὶ δεινοῖς οὖσι δεινοπαθήσασα. ἐὰν δὲ ᾖ χωρὶς τοῦ ε, παλαστήσασα, ἔσται τῷ παλαιστῇ, ὅ ἐστι τῷ ἀγκῶνι τῆς χειρὸς, νύξασα. E.Q.V. ἀναστενάξασα, δεινοπαθήσασα. ἢ μετὰ τῶν παλαμῶν τύψασα αὐτόν. P.

Παλλὰς] ἐπιθετικῶς ἡ Ἀθηνᾶ, ἀπὸ τοῦ πάλλειν τὸ δόρυ· ἢ ὅτι Πάλλαντα ἀνεῖλεν, ἕνα τῶν γιγάντων. V.

254. δεύει] ἐν τῇ κατὰ Ἀριστοφάνην ἐγέγραπτο δεύῃ, ἵν' ᾖ πρὸς

4. ἐπιχειρεῖν Buttm. pro ἐπιχαίρειν.

9. Κεφαλληνίαν scripsi pro Κεφαληνίαν hic et infra.

13. Κεφαλληνίαν] Codex κεφαλλήνην.

27. De verbis παλαιστής, παλαστή et παλαστήσασα vid. Phrynich. et Lobeck. p. 295. BUTTM.

ἀγκῶνι] ἀγνωιστῇ Q.

τὸν Τηλέμαχον ὁ λόγος, ἀλλὰ μὴ πολλοῦ δεῖ, καὶ τὸ πολλὸν συνάπτηται τῷ δεύῃ. μήποτε δὲ ἄμεινον ᾗ διὰ τοῦ ει γράφειν. καὶ ἔστιν οἷον τῆς ἀρχαίας γραμματικῆς ἕν τι καὶ τοῦτο τῶν ὑπολελειμμένων. H.M.Q.R.

ᾗ πολλὸν δεύει] ἐπὶ πολὺ λείπει τούτους τιμωρίαν ὑποσχεῖν. 5 δεύει, ἐνδεῖ, λείπει. V.

255. εἰ γὰρ νῦν ἐλθών] τὰ ἔπη ταῦτα ὅντινα ἔχει λόγον ζητοῦμεν τὸ "εἰ γὰρ νῦν ἐλθὼν δόμου ἐν πρώτῃσι θύρῃσι σταίη ἔχων πήληκα καὶ ἀσπίδα καὶ δύο δοῦρε τοῖος ἐὼν οἷόν μιν ἐγὼ τὰ πρῶτ' ἐνόησα οἴκῳ ἐν ἡμετέρῳ πίνοντά τε τερπόμενόν τε·" εἶτα μετ' ὀλίγον "τοῖος 10 ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς." ἄτοπος ἡ εὐχὴ τῆς Ἀθηνᾶς εὐχομένης, εἰ ἔλθῃ ὁ Ὀδυσσεὺς καὶ στῇ ἐν τοῖς μνηστῆρσι τερπόμενος, ἅπαντας ὠκυμόρους γενέσθαι. πῶς γὰρ ἦν φοβερὸς ὁ εἰς ποτὰ καὶ τέρψιν δείπνων τρέψας τὴν διάνοιαν; πῶς δὲ οὐκ ἄτοπον τῷ Μέντῃ μὲν ὡμοιωμένην τὴν Ἀθηνᾶν, τῷ Ἀγχιάλου παιδὶ, λεληθότως 15 ἀσεβείας κατηγορεῖν τοῦ πατρός; εἰ γὰρ ὁ Ἶλος θεοὺς σεβόμενος τὸ θανάσιμον φάρμακον οὐκ ἔδωκεν, ὁ δοὺς Ἀγχίαλος ὁμολογουμένως ἂν εἴη ἀσεβής. τὸ μὲν πρῶτον ζήτημα οὕτως ἂν λυθείη. εὔχεται γὰρ αὐτὸν ἰδεῖν ἐν τοῖς μνηστῆρσιν ἔχοντα πήληκα καὶ ἀσπίδα καὶ δύο δοῦρε, τῇ ἡλικίᾳ καὶ τῇ τοῦ σώματος ῥώμῃ τοῖον ἐόντα, οἷον τὰ πρῶ- 20 τα ἐνόησα παρὰ τῷ Ἀγχιάλῳ ξενιζόμενον. τὸ δὲ λέγειν, πίνοντά τε τερπόμενόν τε, οὐ τῆς εὐχῆς ἐστι μέρος, τῆς δὲ πρὸς τὸν Ὀδυσσέα πατρικῆς ξενίας ὑπόμνησις. ἐπεὶ γὰρ ὡμοίωται Μέντῃ καὶ ἠρώτηται ὑπὸ τοῦ Τηλεμάχου, "ἠὲ νέον μεθέπεις, ἢ καὶ πατρώϊός ἐσσι ξένος" (175.), καθόλου δὴ λέγει, "ξεῖνοι δ' ἀλλήλοις πατρώϊοι εὐχόμεθ' εἶναι" (187.). 25

1. πολλοῦ scripsi pro πολλούς.

συνάπτηται H.M. συναπτέται R. συνάπτη Q.

2. μήποτε Buttm. pro ποτέ.

3. τῆς ἀρχαίας γραμματικῆς] Nam ΔΕΥΕΙ et δεύει esse potest et δεύῃ.

7. εἰ γὰρ] In M. superscriptum εἴθε, in margine γρ. καὶ εἰ γάρ, hoc est, ut monet Cobetus, γρ. αἴ γάρ vel γρ. καὶ αἴ γάρ: quæ vera lectio est.

τὰ ἔπη—] Excerpta quædam ex hoc scholio habet E.

ζητοῦμεν] ἐξαιτοῦμεν H.Q.

11. ἄτοπος ἡ—ἔλθῃ ὁ Ὀδυσσεὺς addidi ex M. qui præcedentia scholii verba om.

13. πῶς γὰρ ἦν φ.] καίτοι πῶς ἦν φ. E. πῶς γὰρ φ. M. πῶς γὰρ ἂν ᾗ φ. H.Q.

14. πῶς δὲ οὐκ M. Aberat δέ.

16. ἴλος M. ἴλλος E.Q.

17. οὐκ et ὁ δοὺς Ἀ. addidi ex M.

ὁμολογουμένως ἂν εἴη] ὄντως M., omisso ἂν εἴη.

18. πρῶτον H. Legebatur αὐτόν.

εὔχεται—ξενιζόμενον] εὔχεται αὐτὸν μετὰ τῶν ὅπλων φανῆναι καὶ τοῖον τῇ ἡλικίᾳ οἷον οἶδεν (corr. εἶδεν) αὐτὸν εἰς τὴν αὐτοῦ οἰκίαν M.

25. ἀλλήλοις] ἀλλήλοι (sic) Q. Recta scriptura ἀλλήλων est.

κατὰ μέρος δὲ ἐξηγεῖται, ὅτι ἐν οἴκῳ ἡμετέρῳ πολλάκις αὐτὸν εἶδον πίνοντά τε τερπόμενόν τε. τὸ οὖν "τοῖος ἐὼν οἷόν μιν τὰ πρῶτ' ἐνόησα οἴκῳ ἐν ἡμετέρῳ" οὐκ ἔχει ἀναφορὰν πρὸς τὸ "πίνοντά τε τερπόμενόν τε," ἀλλὰ πρὸς τὸ τῆς ἡλικίας ῥωμαλέον, οἷος ὤφθη ἐλθὼν τότε. καὶ ἔστι τὸ ἑξῆς, εἰ γὰρ νῦν ἐλθὼν δόμου ἐν πρώτῃσι θύρῃσι τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεὺς, ἔχων πήληκα καὶ ἀσπίδα καὶ δύο δοῦρε, πάντες τ' ὠκύμοροι γενοίατο πικρόγαμοί τε. ἐνθάδε μὲν οὖν τοιούτου ὀφθησομένου χρεία· ἐπὶ δὲ οἴκῳ τῷ ἡμετέρῳ ἐνόησα πίνοντά τε τερπόμενόν τε. H.E.M.Q.

ἐν πρώτῃσι θύρῃσι] ἐν αὐταῖς ταῖς πρώταις ταῖς αὐλείαις θύραις. προοικονομεῖ πόθεν ἔσται ἡ μνηστηροκτονία. S.

258. πίνοντά τε τερπόμενόν τε] τὸν ἀγαθὸν πᾶς δείκνυσι καιρὸς, οἷος ἂν ᾖ ἐν τοῖς ἔργοις. V.

259. ἐξ Ἐφύρης] Κορίνθου. ἔστι καὶ ἑτέρα πόλις Ἐφύρη ἡ λεγομένη Βαγνετία. B. πόλις Θεσπρωτίας. δύο δέ εἰσιν, ἥ τε Θεσπρωτικὴ ἡ νῦν καλουμένη Κόρινθος ἡ τῆς Ἤλιδος, καὶ ἡ κατὰ τὴν Ἤπειρον. E. πόλεως Θεσπρωτίας. Ἐφύραι δὲ τρεῖς εἰσιν, ἥ τε Θεσπρωτικὴ, ἡ νῦν Κόρινθος, καὶ ἡ τρίτη Ἤλιδος. V.

Ἴλου] Ἰάσων ἅμα τῇ Μηδείᾳ ἐν Ἐφύρᾳ τῆς Θεσπρωτίας παραγενόμενος ἴσχει Φέρητα, οὗ ὁ Ἶλος, οἵτινες ἐβασίλευσαν Θεσπρωτίας, ὡς ἱστορεῖ Ἀπολλόδωρος ὁ Ἀθηναῖος· διὸ φαρμάκων ἐστὶν ἔμπειρος. H.T.

Ἴλου] τινὲς Ἴρου γράφουσιν, ἐπεὶ καὶ Πρόξενος ἐν Ἠπειρωτικοῖς Ἴρόν φησι Μερμέρου παῖδα. H.M.

ἀνωτέρω μὲν γράψαντες λελύκαμεν τὸ τοῦ, σταίη πήληκα καὶ δύο δοῦρε, ὅπερ ἐστὶ τὸ πρῶτον ζήτημα. νῦν δὲ σκοπήσωμεν πῶς καὶ τὸ δεύτερον τὸ τοῦ, παρ' Ἴλου Μερμερίδαο. καί φαμεν οὕτωσὶ λύοντες ὅτι ἀμφοτέρω εἶχον τὸ θανάσιμον φάρμακον, ὅ τ' Ἶλος καὶ ὁ Ἀγχίαλος· καὶ εἰ ἦν ἀσεβὲς τὸ διδόναι, ἀσεβὲς ἦν καὶ τὸ κεκτῆσθαι· εἰ δὲ μὴ ἀσεβὲς τὸ κεκτῆσθαι, οὐδ' ἀσεβὲς τὸ διδόναι. ἀλλ' ὁ μὲν

5. ἔστι Buttm. pro ἐπί.
8. ἐπὶ] ἐγὼ H.
18. Ἤλιδος] Legebatur Ἥλις.
23. Ἴλου] Ἴροι H.
ἐπεὶ M. . . . παῖς H.
ἐν] ἐν ὦ (sic) M.
25. τὸ τοῦ Buttm. Aberat τό.
27. Hic quoque τὸ τοῦ scripsi pro simplici τοῦ.
28. ἀμφοτέρω Buttm. pro ἀμφοτέρως.
30. εἰ δὲ μὴ ἀσεβὲς τὸ κεκτῆσθαι addidit Buttm.

Ἶλος οὐκ ἔδωκε, τοὺς θεοὺς φάμενος εὐλαβεῖσθαι, ὁ δὲ Ἀγχίαλος ἔδωκεν, οὐδὲ εὐλαβήθη πρὸς τὴν δόσιν, ὅτι οὐδὲ τὴν κτῆσιν. οὔτ' οὖν αὐτὸς οὔτε ὁ Ἶλος τοὺς θεοὺς εὐλαβήθησαν, ἀλλ' ὁ μὲν εἰς τὰς ἑαυτοῦ ἀνάγκας οὐκ ᾤετο εἰ ἐκέκτητο ἀσεβεῖν, τὸ δὲ ἄλλοις διδόναι πλημμέλειαν ἔχειν· ὁ δ' Ἀγχίαλος τὸ δοῦναι Ὀδυσσεῖ φίλῳ ὄντι, ὃν ἴσον ἑαυτῷ τιμᾶν τις ἐχρῆν, οὐκ ᾤετο πλημμελὲς εἶναι. ὧν γὰρ ἡ κτῆσις οὐκ ἄδηλος οὐδὲ ἡ τούτων μετάδοσις πλημμελής, εἰ φίλοι εἶεν οἱ λαμβάνοντες· καὶ ὧν ἡ κτῆσις εἰς τὰς ἀνάγκας οὐκ ἀσεβής, τούτων ἡ μετάδοσις τοῖς ἄγαν φίλοις οὐ νεμεσητή. διὸ τῷ μὲν Ἴλῳ οὐ μεταδόντι ἀπολογία, ὅτι μὴ ἄγαν αὐτὸν εἶχε φίλον, τῷ δὲ Ἀγχιάλῳ μεταδιδόντι οὐδεμία ἀσέβεια· φιλέεσκε γὰρ τὸν Ὀδυσσέα αἰνῶς. E.Q.

260. καὶ κεῖσε] ἐκ πλήρους ὁ καί σύνδεσμος. M.

261. φάρμακον διζήμενος] προκατεσκεύασεν, ἵνα μὴ ζητῶμεν πῶς ἀπὸ μιᾶς πληγῆς ἀναιροῦνται οἱ μνηστῆρες. E.Q.V.

ὄφρα οἱ εἴη] γρ. ἤν που ἐφεύροι. Ζηνόδοτος, ὄφρα δαείη. ἐλέγχεται δὲ ἐκ τοῦ ἑπομένου "ἀλλὰ πατήρ οἱ δῶκεν." οὐ γὰρ ἕπεται τὸ διδάσκειν τῷ δοῦναι, ἀλλ' ἡ χρῆσις τῇ δόσει παρέπεται. H.M.

262. ἰοὺς χρίεσθαι] ἐζήτηται πῶς ἐν τῇ Ἰλιάδι οὔτε τοὺς ἥρωάς φασι χριστοῖς χρῆσθαι βέλεσι· τῶν γὰρ τοξευθέντων πολλοὶ σώζονται· οὔτε τὸν Ὀδυσσέα τόξῳ χρῆσθαί φασιν. ἀμέλει ἐν τῇ Δολωνείᾳ παρὰ Μηριόνου κίχραται τόξον (Il. κ, 260.), καὶ πάλιν "τὸ δ' οὔποτε δῖος Ὀδυσσεὺς ἐρχόμενος πόλεμόνδε ᾑρεῖτο" (Od. φ, 38.). ἐν δὲ τῇ Ὀδυσσείᾳ καὶ περὶ τῶν χριστῶν ἰῶν φησι, καὶ "αὐτίκα καμπύλα τόξα καὶ αἰγανέας δολιχαύλους εἱλόμεθ' ἐκ νηῶν" (ι, 156.)· καὶ "εὖ μὲν τόξον οἶδα ἐΰξοον ἀμφαφάασθαι" (θ, 215.). δῆλον οὖν ὅτι προκατασκευάσματα τῆς μνηστηροκτονίας εἰσὶ καὶ τοῦ λέγειν, "ὄφρα μὲν αὐτῷ ἀμύνεσθαι ἔσαν ἰοί, τόφρ' ὅγε μνηστήρων ἕνα γ' αἰεὶ ᾧ ἐνὶ οἴκῳ βάλλε τιτυσκόμενος, τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον"

5. τὸ δοῦναι Buttm. pro τῷ δοῦναι.
6. γὰρ addidit Buttm.
8. καὶ ὧν Buttm. pro καθ' ὧν.
13. καὶ κεῖσε] κἀκεῖσε M. in textu contra mentem scholiastæ, cujus cum observatione conf. schol. ad 175.
16. Hujus scholii media tantum verba Ζηνόδοτος—δῶκεν habet H.
18. τῷ δοῦναι] τὸ δοῦναι M.
20. χριστοῖς addidi ex H.M.
21. Δολωνείᾳ M. δολωνίᾳ E.Q. δολονίᾳ H.
22. παρὰ M. Legebatur καὶ παρά.
κίχραται] κιχρᾶται H.M. χρᾶται E.Q.
τόξον H.M. τόξῳ E.Q.
24. χριστῶν H.M. χρισθέντων E.Q.

(χ, 116.). ἦν γὰρ τὸ βέλος οὐ μόνον διὰ τοῦ σιδήρου, ἀλλὰ καὶ διὰ τοῦ φαρμάκου ἀναιροῦν· ὅθεν οὐδὲ δέονται δευτέρας πληγῆς. E.H.M.Q.

Διὰ τί οὐδαμοῦ τῆς ποιήσεως χριστοῖς βέλεσιν εἶπε χρῆσθαι τοὺς πολεμίους εἴτε τοὺς πολεμοῦντας, ἀλλ' οἱ πολλοὶ τῶν τοξευομένων διασώζονται καὶ τῶν Τρώων καὶ τῶν Ἑλλήνων, ὥσπερ Διομήδης μὲν καὶ τὸν πόδα καὶ τὸν ὦμον βληθεὶς, Εὐρύπυλος δὲ τὸν μηρὸν, Γλαῦκος δὲ τὴν χεῖρα; καὶ διὰ τί ἐν μὲν τῇ Ἰλιάδι οὐδὲ ὡς τόξῳ χρώμενον ποιεῖ τὸν Ὀδυσσέα, ἀλλ' ὅτε ἐπὶ τὴν κατασκοπὴν ἐξορμᾷ σὺν Διομήδῃ "Μηριόνης δ' Ὀδυσῆϊ δίδου βιὸν ἠδὲ φαρέτρην" (κ, 260.), ὡς ἂν μηδὲ τόξον ἔχοντι οἰκεῖον, ἐν μέντοι τῇ Ὀδυσσείᾳ "φάρμακον ἀνδροφόνον διζήμενον" ἀπελθεῖν πρὸ τοῦ ἀπόπλου τοῦ εἰς τὴν Ἴλιον αὐτόν φησιν "ὄφρα οἱ εἴη ἰοὺς χρίεσθαι" καὶ τυχεῖν . . . παρὰ Ἀγχιάλου, "ἀλλὰ πατήρ οἱ δῶκεν ἐμός" καὶ ὁμοίως αὐτὸν ἐν τῇ Ὀδυσσείᾳ τόξῳ χρώμενον ποιεῖ ἐν τῷ ἀπόπλῳ· λέγει γὰρ "αὐτίκα καμπύλα τόξα καὶ αἰγαένας δολιχαύλους εἱλόμεθ' ἐκ νηῶν" (ι, 156.). αὐτός τε παρὰ τοῖς Φαίαξιν ὑπάρχων αὐχεῖ ἐφ' ἑαυτοῦ λέγων "εὖ μὲν τόξον οἶδα ἐΰξοον ἀμφαφάασθαι, πρῶτός κ' ἄνδρα βάλοιμι" καὶ τὰ ἑξῆς (θ, 215.). ῥητέον οὖν ὅτι ταῦτα πάντα πρὸς κατασκευὴν τοῦ μεγίστου ἀγῶνος, τῆς μνηστηροφονίας, αὐτὸς μὲν γυμναζόμενος ἐν . . . ἵνα φανῇ τηρῆσαι τὴν ἰδίαν ἕξιν· αὐχεῖ δὲ πάντων προφερέστατος εἶναι τῶν ἀνθρώπων (Od. θ, 221.), ἵνα μὴ ἐξαίφνης οἰηθῶμεν τοξότην αὐτὸν ἄριστον ἐν τῇ μνηστηροφονίᾳ γενέσθαι. ἀπιθάνου δὲ ὄντος πάντας τοὺς τιτρωσκομένους εἰς ὁτιδήποτε οὖν μέρος τοῦ σώματος παραχρῆμα διαφθείρεσθαι, πεφαρμακευμένους προκατασκευάζει τοὺς ὀϊστοὺς, ἵνα συμβαίνῃ λέγειν αὐτῷ "βάλλε τιτυσκόμενος, τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον" (χ, 116.). ὅταν οὖν τὰ βέλη ἐν τῇ Ἰλιάδι κοινοτέρως πικρὰ καὶ πευκεδανὰ λέγῃ καὶ ἐχεπευκῆ, πάντως διὰ τοῦ φαρμάκου κεχρῖσθαι ἀκουστέον· οὐδαμοῦ γὰρ τοῦτο ἐν τῷ Ἰλιακῷ πολέμῳ ἐπεσημήνατο, διὰ δὲ τὸ τὰς ἐξ αὐτῶν πληγὰς ἐπωδύνους οὔσας, καθὰ καὶ τὸν πόλεμον πευκεδανὸν ἔφη καταχρηστικῶς, ἐπώδυνον βουλόμενος ἐμφανίσαι "ἠέ ποθι πτολέμοιο μέγα στόμα πευκεδανοῖο" (Il. κ, 8.). T.

263. ἐπεί ῥα θεούς] φασὶ, καὶ πῶς αὐτὸς κέκτητο εὐσεβὴς ὤν;

4. οὐδαμοῦ τῆς ποιήσεως] Iliadem dicit.

34. φασὶ Buttm. pro φησι. Conf. schol. ad ε, 47.

ἀλλ' ὁ μὲν Ἶλος εἰς τὰς ἰδίας ἀνάγκας οὐκ ᾤετο τὴν κτῆσιν ἀσεβῆ. Ε.

θεοὺς αἰὲν ἐόντας] δόξαι φέρονται περὶ τοῦ κόσμου, ὧν ἡ μὲν γενητὸν καὶ φθαρτὸν τοῦτον ὑποτίθεται, ἡ δὲ γενητὸν μὲν, ἄφθαρτον δέ· ἡ δὲ ἀγένητον μὲν, φθαρτὸν δέ· ἡ δὲ ἀγένητον καὶ ἄφθαρτον, ἧς δόξης φαίνεται εἶναι καὶ Ὅμηρος· διὸ καὶ τοὺς θεοὺς, ἤτοι τὰ στοιχεῖα, αἰὲν ἐόντας λίγει. Ε.

264. φιλέεσκε γὰρ] καὶ οἶδεν ὅτι κατ' ἐχθρῶν χρήσεται. V.

267. θεῶν ἐν γούνασι] ταῖς τῶν ἀστέρων κινήσεσιν, ἀπὸ μεταφορᾶς τῶν γονάτων. ἀπὸ γὰρ τῆς τῶν ἀστέρων κινήσεως γίνονται τοῖς ἀνθρώποις τὰ εἱμαρμένα. P. hic et ad v. 400.

268. ἤ κεν νοστήσας] καλῶς εἰς ἀμφιβολίαν κατέστησεν ἐπεγείρουσα τὸ μειράκιον. δῆλον δὲ ἐκ τῆς ἐπιφορᾶς, σὲ δὲ φράζεσθαι ἄνωγα, δηλονότι μὴ περιμένοντα ἐκεῖνον. E.Q.

270. ὅππως καὶ μνηστῆρας ἀπώσεαι] τὸ τὴν Ἀθηνᾶν παροτρύνειν τὸν Τηλέμαχον εἰς ἀποσόβησιν τῶν μνηστήρων οὐκ ἄλλο αἰνίττεται ἢ ὅτι Ἀθηνᾶ λέγεται ἡ φρόνησις, ὑπὸ δὲ τῆς οἰκείας φρονήσεως ὁ Τηλέμαχος παρωτρύνθη τοὺς μνηστῆρας ἀποσοβῆσαι. Ε.

272. αὔριον] ψιλωτέον τὸ αὔριον· ἡ γὰρ αυ δίφθογγος πρὸ συμφώνου ψιλοῦται, αὐλός, αὔρα· αὔω τὸ φλογίζω· αὔω δὲ, τὸ ξηραίνω, δασύνεται. Ε.

εἰς ἀγορὴν] ἵνα ἔχῃ μαρτυροῦτὸ π λῆθος τῇ ἐκείνων δικαίᾳ κολάσει. M.Q.

275. μητέρα δ' εἴ οἱ] τῇ ἀρχαίᾳ συνηθείᾳ ἐγέγραπτο ΜΕΤΕΡ ἀντὶ τοῦ ΜΗΤΗΡ. τοῦτο ἀγνοήσας τις προσέθηκε τὸ α. ἢ δεῖ ὑποστίζειν εἰς τὸ μητέρα καὶ μιμεῖσθαι τὸν διασκεπτόμενον. E.H.M. Q.V. τὸ μὲν ἀκόλουθον ἦν οὕτως· μητέρα δὲ, εἴ οἱ θυμὸς ἐφορμᾶται γαμέεσθαι, ἀπόπεμψον εἰς μέγαρον πατρός· ἡ δὲ ἐσχημάτισε τὸν λόγον, τὴν δὲ μητέρα εἰ αὐτῇ ἐφορμᾶται ὁ θυμὸς γαμεῖσθαι, αὐτὴ ἀπίτω ἐς τὸ μέγαρον. οὐ γὰρ ἂν ἑτοίμως ἐδέξατο ὁ νεανίσκος ἐκδι-

8. χρήσεται Buttm. pro στήσεται.

22. τῇ ἐ. δικαίᾳ κολάσει M. τῶν ἐκείνων δικαίων κολάσεων Q.

24. Prima hujus scholii verba τῇ ἀρχαίᾳ—σκεπτόμενον habent etiam H.V. et H. duo in scholia divisa, alterum τῇ ἀρχαίᾳ—τὸ α. alterum δεῖ ὑποστίζειν εἰς τὸ μητέρα δὲ καὶ μιμεῖσθαι τὸν διασκεπτόμενον.

25. ἢ δεῖ—μιμεῖσθαι M. ἢ στικτέον μητέρα δέ, ὑποκρινόνενον E.Q. et qui ὑποκριναμένου V.

28. ἀπόπεμψον—γαμεῖσθαι addidi ex M.

ἄξαι τὴν μητέρα. E.M.Q. μήτηρ μὲν Πηνελόπης Ἀστεροδία, ἀδελφοὶ δὲ Πολύμηλος. Δαμάσικλος καὶ Λαοδίκη ἡ ἀδελφὴ αὐτῆς. H.M.

276. ἄψ] ὀπίσω· καὶ ἀποκοπῇ τοῦ ω ὄπις, καὶ συγκοπῇ τοῦ ι ὄπς, καὶ τροπῇ τοῦ ο εἰς α, καὶ τοῦ π καὶ ς εἰς ψ, ἄψ. B. ἐπίρρημα συντακτικὸν καὶ καιροῦ παραστατικὸν, πάλιν, εἰς τοὐπίσω, καὶ ἐκ δευτέρου. V.

μέγα δυναμένοις] ἐν τῷ γάμῳ τῆς θυγατρὸς, οἷον πολλὴν οὐσίαν ἔχοντος καὶ μέγα ἰσχύοντος εἰς τὸ ἐκδοῦναι. ἕδνα δὲ λέγει τὰ ὑπὸ νυμφίων διδόμενα παρὰ τὸ ἕδραν καὶ παραμονὴν προξενεῖν τῇ νύμφῃ. τὰ δὲ ὑπὸ πατέρων κειμήλια· ἕδνα τὰ διδόμενα δῶρα ὑπὸ τοῦ γαμοῦντος τῇ γυναικί· φερναὶ δὲ τὰ ὑπὸ τῆς γυναικὸς. παρὰ τὸ φέρειν εἰς εὐνήν. E.Q. δασύνεται τὸ ἕεδνα ὡς τὸ ἔεργον. M.

277. οἱ δὲ γάμον] συνεκδοχικῶς οἱ περὶ τὸν πατέρα καὶ τὴν μητέρα Ἀστεροδίαν. ἀδελφοὶ δὲ αὐτῆς Πολύμηλος. Ἀμάσικλος καὶ Λαοδίκη. E.

ἕεδνα] ἀπὸ τοῦ ἥδω, τὸ εὐφραίνω, τὰ ἡδονὴν ἐμποιοῦντα. B. δῶρα τὰ διδόμενα ὑπὸ τοῦ γαμοῦντος τῇ γαμουμένῃ. εἴρηται δὲ τὰ ἕεδνα τὰ τὴν ἕδραν καὶ παραμονὴν προξενίζοντα τῇ νύμφῃ. V.

278. ἕπεσθαι] ἀκολουθεῖν. H.

279. σοὶ δ' αὐτῷ] τὰ μὲν γὰρ πρῶτα περὶ τῆς κτήσεως ἦν καὶ τῶν μνηστήρων καὶ τῆς μητρὸς, τὰ δὲ ἑξῆς πρὸς αὐτὸν μόνον, ὅσα ἔμελλεν ὠφεληθήσεσθαι ἐκ τῆς ἀποδημίας συντυχὼν τοῖς πρεσβυτέροις ἀνδράσι. E.M.Q. οὗτος δὲ ὁ στίχος ἐν τῇ κατὰ Ῥιανὸν οὐκ ἦν. H.M.

1. Ἀστεροδία] Scribendum potius Ἀστερόδεια. Nympha quædam Ἀστερόδεια est apud Apollon. Rh. 3, 242. Eodem modo peccatum in nomine Εὐρυοδείας, quod Εὐρυοδίας scriptum in schol. ad π, 118.

2. Δαμάσικλος] Rarum nomen. Ἐριμήδην τὴν Δαμασίκλου ex Pherecyde memorat schol. Apoll. Rh. 1, 102. ἀμάσικλος H., in quo hoc scholion adscriptum ad 329. Ceterum conf. schol. ad 277. et ad δ, 797.

11. κειμήλια] Eustath. τὰ δὲ ἀπὸ τῶν πατέρων ἐπιμείλια (ex Il. ι, 147.) Sed κειμήλια repetitum etiam in schol. horum codd. ad β, 195. ubi in schol. vulg. est μείλια. BUTTM.

13. ἔεργον] Respicit ad Od. η, 88. ubi ψιλοῦται, πυκινὸν δόμον ἐντὸς ἔεργον.

15. Ἀστεροδίαν—Λαοδίκη] Conf. schol. adv. 275.

24. οὗτος—ἦν] Non videtur omitti posse hic versus. Fortasse igitur loco mota est Rhiani mentio, pertinebatque ad v. 283. ἐκ Διὸς, ἥ τε μάλιστα φέρει κλέος ἀνθρώποισι. COBET. In H. hæc verba versui 279. superscripta sunt a manu se-

282. ὄσσαν] τὴν ἐκ θεῶν κληδόνα. V.

283. ἐκ Διός] τὰς γὰρ φήμας εἰς Δία ἀναφέρουσιν. ὅθεν καὶ πανομφαίου Διὸς ἱερὸν, εἰς ὃν πᾶσα φήμη καὶ κληδὼν ἀναφέρεται· ὄσσαν δὲ τὴν ἐκ θεῶν κληδόνα περὶ ἀγνοουμένων εἰώθασι καλεῖν. E.T. κληδόνα καὶ φήμην περὶ ἀγνοουμένων. V. νῦν κληδόνα, τουτέστι κλέος καὶ δόξαν. H.V. 5

284. πρῶτα μὲν ἐς Πύλον] πέμπει αὐτὸν παιδευθησόμενον, καὶ ἅμα ἔνδοξον ἐσόμενον, ἐπεὶ διὰ πατέρα ἀπεδήμησεν. V.

πέμπει αὐτὸν παιδευθησόμενον παρὰ τὸν Νέστορα· οὗτος γὰρ εἶχε τὴν ἀπὸ γήρως ἐμπειρίαν· εἶτα εἰς Σπάρτην πρὸς Μενέλαον· οὗτος γὰρ ἀπὸ τῆς ὀκταετοῦς πλάνης ἐπανεληλύθει νεωστί· κοινῶς δὲ δοξασθησόμενον διὰ τὴν ἀναζήτησιν τοῦ πατρός. E. 10

τῆς Ὀδυσσείας οὐκ ἐχούσης ἐξ αὐτῆς ποικιλίαν ἱκανὴν, τὸν Τηλέμαχον ἐξελθεῖν εἰς Σπάρτην καὶ Πύλον ποιεῖ, ὅπως ἂν τῶν Ἰλιακῶν ἐν παρεκβάσεσι πολλὰ λεχθείη διά τε τοῦ Νέστορος καὶ τοῦ Μενελάου. E. παιδευθησόμενον αὐτὸν ὡς Νέστορα πέμπει. περὶ δὲ τῆς ἀποδημίας Τηλεμάχου εἴπομεν εἰς τὸ "πέμψον δ' ἐς Σπάρτην τε" (93.), καὶ νῦν δὲ λεκτέον ὡς ὑπόθεσιν αὐτὴν πεποίηκεν ὁ ποιητὴς ποικιλίας λόγων καὶ ἐξαλλαγῆς ἰδεῶν, ἵνα μὴ μονότροπος ᾖ τῆς ποιήσεως ὁ τρόπος. H.Q. 15 20

οὐκ ἀποδέχονται τινὲς τῆς Ἀθηνᾶς τὴν ὑποθήκην ἐκπεμπούσης Τηλέμαχον, ὅτε ἦν ἐν μεγίστοις κινδύνοις ἡ οἰκία, πρὸς τὴν ἄπρακτον ζήτησιν τοῦ πατρὸς, τῶν μνηστήρων ἑτοίμων ὄντων καὶ βίαν προσφέρειν τῇ Πηνελόπῃ διὰ τὴν πολυχρόνιον μνηστείαν, τῆς δὲ οἰκίας οὐκ ἐχούσης τὸν προϊστάμενον ἄνδρα· καὶ ὅμως ὑπ' αἰτίας οὔσης τῆς συμβουλῆς οὐκ ὀκνεῖ ἡ Ἀθηνᾶ λέγειν 25

σοὶ δ' αὐτῷ πυκινῶς ὑποθήσομαι, αἴ κε πίθηαι,

ἐπαινοῦσα ὡς σοφὴν τὴν τοιαύτην παραίνεσιν. ἢ δεικτέον τὸ σοφὸν τῆς εἰς ἀποδημίαν ἀποστολῆς, ἢ ἀλόγου οὔσης ὑποθήκης ἄτοπος ὁ τοιαῦτα θεοῖς ἀνατιθεὶς νοήματα. φαίνεται τοίνυν Ὅμηρος ἀδύνατον νομίσαι ἄνδρα ὑπὸ γυναικὶ τεθραμμένον, εἰ καὶ σωφρονεστάτη εἴη, καὶ ἐν οἴκῳ κατακεκλειμένον πλήρει ὑβριστῶν ἀνθρώπων, ἐν θεραπαι- 30

cunda, ἐν τῇ κατὰ ἀριανὸν οὐκ ἦν πειθήσῃ (hoc glossema est verbi πίθηαι) ὁ στίχος.

κατὰ Ῥιανὸν] κατ' ἀριανὸν M.

2. ὅθεν—Διὸς ἱερὸν, εἰς ὃ T. ἔνθεν—Διὸς, εἰς ὃν E.

4. ὄσσαν—κληδόνα E. omisso εἰώθασι καλεῖν. κληδὼν δὲ καὶ φήμη T.

9—12. Ex Heracliti Alleg. c. 62.

17. εἰς τὸ addidit Buttm.

νίσι τε ἀσελγέσιν ἐναυξόμενον καὶ νήσῳ μικροπρεπεῖ καὶ ἀβασιλεύτῳ πολὺν χρόνον, κινδύνων τε ξενικῶν μὴ εἰληφότα πεῖραν, μηδὲ μετασχόντα ἀνδρῶν καὶ ἀγωνιάσαντα, ἐν ὅσαις ἀδημονίαις γέγονε Τηλέμαχος προσιέναι μέλλων Νέστορί τε καὶ Μενελάῳ καὶ Ἑλένῃ· φαίνεται οὖν μήτοι ἂν δυνηθῆναι νομίσαι ἀρετῆς ἄλλως πως μετασχεῖν· διὸ πρόφασιν μὲν ἔχει ἡ ἀποδημία περὶ ἐξετάσεως τοῦ πατρὸς, σκοπὸς δέ ἐστι τῇ συμβουλευούσῃ Ἀθηνᾷ παίδευσις, ἀφ' ἧς ἤμελλεν ἔσεσθαι ὃ προὔθετο μάλιστα ἡ θεός· καὶ ἐρεῖ (93.)

πέμψω δ' ἐς Σπάρτην τε καὶ ἐς Πύλον ἠμαθόεντα,
νόστον πευσόμενον πατρὸς φίλου, ἤν που ἀκούσῃ,
ἠδ' ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχῃσιν.

εἰ μὲν ἡ πρόφασις ἐξέτασιν εἶχε πατρὸς ἐπανόδου, σκοπὸς δ' ἦν ταύτης παίδευσις, ἀφ' ἧς τὸ κλέος ἐν ἀνθρώποισι γίνεται, εἴη ἂν θεία ἡ παραίνεσις καὶ τῇ Ἀθηνᾷ πρέπουσα, μένων δ' ἐν Ἰθάκῃ ἀπαίδευτος ἢ τῶν μνηστήρων εἴχετο καὶ προὔδωκεν ἂν τὸν οἶκον, ἢ ἐπιτιθέμενος αὐτὸς ἀπώλετο ἂν, μόλις τοῦ Ὀδυσσέως δι' ὑπερβολὴν φρονήσεως καὶ ἐμπειρίας δυνηθέντος αὐτοῖς δολίως ἐπιθέσθαι, ἄξιός τε οὐκ ἂν τοῦ πατρὸς ἐγένετο μή τί γε παρὰ τῶν συστρατευσάντων πυθόμενος περὶ τῶν ἐκείνου πράξεων· διὸ καὶ συνεῖναι αὐτῷ ἐλθόντι κωλυόμενος πεπαίδευται ἤδη, καὶ οἶδε πῶς προσενεχθῇ τῷ πατρὶ ἀφ' ὧν ἀκήκοε περὶ αὐτοῦ διηγημάτων. τόν τε περὶ τῆς μητρὸς φόβον καὶ ὅλως τῶν περὶ τοῦ οἴκου τὸ μέν τι ἡ Πηνελόπη ἐξέλυσεν ἱκανὴ οὖσα περιγενέσθαι τῷ φρονήματι τῆς τῶν μνηστήρων ἀνοίας, τὸ δέ τι καὶ ἡ Ἀθηνᾶ ἠσφαλίσατο, τὸν δῆμον ἐπαναστῆναι συμβουλεύσασα κατὰ τῶν μνηστήρων διὰ τῆς κατὰ τὴν ἐκκλησίαν ὧν δρῶσιν εἰς τὴν οἰκίαν μηνύσεως (β, 27.)

ἐξ οὗ Ὀδυσσεὺς δῖος ἔβη κοίλῃς ἐνὶ νηυσὶν,
οὐδέποθ' ἡμετέρη ἀγορὴ γένετ' οὐδὲ θόωκος.

ὥστε πῶς ἔλαβε τὸ μέγεθος τῆς τῶν μνηστήρων ἀδικίας, καὶ δημηγορήσαντος Τηλεμάχου τοσαύτη ἐπιστροφὴ γίνεται ὥστε ἐπειπεῖν ὡς οἶκτος

5. ἄλλως πως scripsi pro ἄλλως τέ πως.

9. τε καὶ] τε παρὰ ξανθὸν μενέλαον καὶ H.

27. ἐξ οὗ] ἐξ οὗ ὁ γὰρ H.

29. ὥστε πῶς ἔλαβε] Verba non integra.

30. Post οἶκτος in H. illatum scholion ad v. 283. 284. spectans, νῦν κληδόνα, τουτέστι κλέος καὶ δόξαν. πρῶτα μὲν ἐς πύλον πέμπει αὐτὸν παιδευθησόμενον, ἐπεὶ διὰ πατέρα ἀπεδήμησεν: — Tum scholia plura sequuntur ad v. 272—275. (fol. 5b. et 6a), post quæ infertur tanquam lemma δ' ἕλε λαὸν ἅπαντα.

δ' ἕλε λαὸν ἅπαντα. καὶ φοβηθέντας τοὺς μνηστῆρας λέγειν (β, 85.)

Τηλέμαχ' ὑψαγόρη, μένος ἄσχετε, ποῖον ἔειπας
ἡμέας αἰσχύνων, ἐθέλεις δὲ καὶ μῶμον ἀνάψαι,

καὶ ἄλλους δ' ἐπὶ τῆς ἐκκλησίας φάναι (β, 166.)

πολλοῖσι δὲ καὶ ἄλλοισι κακὸν ἔσται, 5
οἳ νεμόμεσθ' Ἰθάκην εὐδείελον, ἀλλὰ πολὺ πρὶν
φραζώμεσθ' ὥς κεν καταπαύσομεν, ἠδὲ καὶ αὐτοὶ
πανέσθων· καὶ γάρ σφιν ἄφαρ τόδε λώϊόν ἐστι·

ἡ δὲ πρόφασις ἐν τῇ ἐκκλησίᾳ ῥηθεῖσα τῆς ἀποδημίας οὐδὲν καινοτομεῖ· τί γάρ φησιν; (β, 210.) 10

ταῦτα μὲν οὐδ' ὑμέας ἔτι λίσσομαι οὐδ' ἀγορεύω·
ἤδη γὰρ τάγ' ἴσασι θεοὶ καὶ πάντες Ἀχαιοί.
ἀλλ' ἄγε μοι δότε νῆα θοήν.

καὶ εἰπὼν τὴν αἰτίαν δι' ἣν ἀποπλεῖν μέλλει ἐπάγει (218.)

εἰ μέν κεν πατρὸς βίοτον καὶ νόστον ἀκούσω, 15
ἦ τ' ἂν τρυχόμενος περ ἔτι τλαίην ἐνιαυτόν

καὶ τὰ ἑξῆς. οὕτως τοίνυν ἡ ὑπόθεσις ὡς καὶ αὐτῶν ἐπὶ συμφέροντι γενομένης τῆς ἀποδημίας πεπεῖσθαι δοκούντων ὅτι τέθνηκε, καὶ πρῶτα μὲν ὅτι οὐκ ἀποδημήσει ἐλπιζόντων, ἔπειτα δ' εἰ καὶ ἐκτελέσειε τὴν ὁδὸν, ὅτι πεισθήσεται ὅτι τέθνηκεν αὐτῷ ὁ πατὴρ, πει- 20 σθεὶς δὲ τὴν μητέρα ἐκδώσει, μηδὲν ἐγχειρεῖν ἐποίει τῶν ἀτόπων εἰς τὸν οἶκον· ἔπειτα δ' οὐκ ἦν σκοπὸς βιάσασθαι τὸν γάμον· οἱ γὰρ ἄλλοι ἠμύναντ' ἂν τὸν βεβιασμένον· ἀλλ' ἀποκριθῆναι ὑπὸ τῆς μνηστευομένης τῶν γονέων αὐτὸς ἕκαστος ἠξίου, ἵν' οὕτως οἱ λοιποὶ παύσωνται τῆς μνηστείας. πολὺν δὲ χρόνον ἡ ἀποδημία λανθάνει τοὺς 25 μνηστῆρας· αἰσθάνονται γὰρ ὁπηνίκα Νοήμων ὁ τὴν ναῦν χρήσας Τηλεμάχῳ πάρεστιν ἐρωτῶν αὐτοὺς περὶ τῆς ἐκείνου ἀπουσίας, καὶ φοβερὸς αὐτοῖς ἀποδημήσας γίνεται, ὡς βουλεύσασθαι περὶ τῶν καθ' ἑαυτοὺς μᾶλλον ἢ περὶ τοῦ γάμου. ὥστε καὶ περιέσπασε μᾶλλον ἡ ἀποδημία εἰς ἄλλα ἀπὸ τῆς κατὰ Πηνελόπην βίας, ἐξεῖλε δὲ καὶ 30 αὐτὸν ἀπὸ τῶν κινδύνων, οὓς πολλάκις ἂν ὑπέστη μετ' αὐτῶν πάντα χρόνον διατρίβων. ὡς γὰρ τὰ τελευταῖα, ὅτε ἐπανήει τε καὶ ἐπανῆλθεν, ἐπιβουλεύοντες διετέλουν, οὕτως ἂν παρόντι καθ' ἡμέραν τὴν πεῖραν προσλαβόντες ἔδρασαν ἄν τι τῶν ἀνηκέστων. διὰ πάντων οὖν

7. φραζώμεθ'] φραζόμεθα H. Eustath. p. 1442, 30.
16. ἐνιαυτόν] εἰς ἐναυτόν H. 32. ἐπανήει] ἐπανήγει H.
21. ἐκδώσει] ἐκδόσσει H. Conf.

φαίνεται ἡ ἀποδημία ἀναγκαία καὶ κρείττων καὶ πολλῷ ἀσφαλεστέρα τῆς ἐν Ἰθάκῃ ἐκδιηγήτου μετὰ τῆς τῶν μνηστήρων διατριβῆς· τὸ γὰρ λέγειν ὅτι, ἵνα ἐντύχῃ τῷ πατρὶ κατὰ τοὺς ἀγροὺς, διὰ τοῦτο αὐτὸν ἡ Ἀθηνᾶ ἀποδημῆσαι πεποίηκε, ψεῦδος. καὶ γὰρ καὶ μὴ ἀποδημήσας ὑπερόριος, ἐν δὲ τοῖς ἀγροῖς γενόμενος, ἐνέτυχεν ἂν τῷ πατρί· καὶ οὐχ ἵνα ἐντύχῃ τῷ Ὀδυσσεῖ, ἀποδημῆσαι αὐτὸν πεποίηκεν ἡ Ἀθηνᾶ, ἀλλὰ μᾶλλον ἐκ τῆς ἀποδημίας διὰ τοῦτο θᾶττον εἰς τὴν πατρίδα ἐπανήγαγεν. H. a m. sec.

285. κεῖθεν δ' ἐς Σπάρτην τε] πῶς εἰς Σπάρτην ἐλθὼν οὐ συντυγχάνει Ἰκαρίῳ; ἢ ἐπεὶ καθ' Ὅμηρον ἐν Ἰθάκῃ οἰκεῖ· ἢ ἀπέχθονται αὐτῷ αὐτός τε καὶ ἡ μήτηρ ὡς ἀναγκάζοντι αὐτὴν γαμηθῆναι, ὡς αὐτήν φησι "μάλα δ' ὀτρύνουσι τοκῆες γήμασθαι" (τ, 158.) E. M.Q.

289. εἰ δέ κε τεθνειῶτος] ἐναντίον τοῖς προειρημένοις ὅπου μαντεύεται τὴν παρουσίαν αὐτοῦ. ἀναγκαίως ποικίλας ἐκφέρει τὰς γνώμας, ὑπὲρ τοῦ μὴ πάντα προσανέχειν αὐτὸν τῇ Ὀδυσσέως παρουσίᾳ. E.Q.

τεθνηῶτος διὰ τοῦ η. H.

291. χεῦσαι] γρ. χεῦσαι. H. γρ. δὲ οὕτως, χεῦσαι καὶ κτερεΐξαι, ἀπαρέμφατα δεχόμενα τὸ προαιρετικὸν ῥῆμα ἀπάξω, θέλησόν τι ποιῆσαι χεῦσαι, καὶ θέλησόν τι ποιῆσαι κτερεΐξαι, καὶ ἄλλως τὸ ἀπαρέμφατον ἀντὶ τοῦ προστακτικοῦ. H.

κτερεΐξαι] γρ. κτερέϊξον. H.

κτερέϊξον] τὰ κάτω τῆς ἔρας νενομισμένα τοῖς νεκροῖς ἐπιτάφια, ἢ τὰ ἐναγίσματα, ἢ καθάρματα. κυρίως δὲ τὰ ἐπὶ τοῖς κτεινομένοις ἐντάφια, ἀπὸ τοῦ ἱκετήριόν τι εἶναι. E.

294. φράζεσθαι] γενναίως χρῆται τῇ συμβουλῇ. οὐ γὰρ σπείσασθαι τοῖς μνηστῆρσιν αὐτὸν ἀξιοῖ καὶ τέρπεσθαι τοῖς ἰδίοις ὅπως οἱ πολλοὶ ὑπ' ἀργίας συμβουλεύειν εἰώθασιν, ἀλλὰ τιμωρίαν παρὰ τῶν ἀδικησάντων λαβεῖν. E.Q.

297. νηπιάας ὀχέειν] ἀφροσύνας φέρειν, ἐπεὶ οὐκέτι τοιοῦτος εἶ

2. τῆς τῶν] τῆς om. H.
9. πῶς—] Conf. schol. ad δ, 1.
10. οἰκεῖ M. Legebatur ὄντος.
11. ὡς addidi ex M.
12. μάλα M. μάλιστα E.Q.
16. προσανέχειν — τῇ — παρουσίᾳ] ἐπανέχειν—τῆς—παρουσίας Q.
19. γρ. χεῦσαι] Quum hoc ipsum in textu legatur, corrigendum γρ. χεῦαι. et in altera annotatione γρ. καὶ οὕτως, χεῦαι καὶ κτερεΐξαι.
31. ἀφροσύνας—ὀχέειν, ἢ om. Q.V.

εἰς τὸ νηπιάας ὀχέειν, ἢ τὰ νέων φρονεῖν καὶ φέρειν· ἢ ὀχεῖσθαι ὑπὸ τῆς νεότητος, τουτέστιν ἄφρων εἶναι. Q.S.V.

τηλίκος] τηλικοῦτος, μικρὸς, ἀνήλικος, πάνυ νέος. S.

ἐσσί] τὸ ἐσσί γίνεται ἐκ τοῦ ἔω, ἐμί, ἔς. οὐδέποτε δὲ ῥῆμα μονοσύλλαβον βραχυκαταληκτεῖ πλὴν τοῦ θές, δός, ἕς. γίνεται δὲ προσθήκῃ τοῦ ἑτέρου σ. ἐσσ. ἐπεὶ δὲ πάλιν λέξις Ἑλληνικὴ οὐδέποτε καταλήγει εἰς δύο σύμφωνα τὰ αὐτὰ, προσθήκῃ τοῦ ι γίνεται ἐσσί. E.

298. ἢ οὐκ ἀΐεις] ἐξ ὁμοίων ἡ προτροπή. καὶ οὗτοι γὰρ ὅσον ἐφ' ἑαυτοῖς καὶ Πηνελόπην ἐμοίχευσαν καὶ τὴν βασιλείαν ἀφείλοντο. γνησίου δὲ νουθεσίας ἐστὶ σύμβολον ἡ μετὰ τὴν ἐπίπληξιν προτροπή. E.M.

300. Αἴγισθον] οὐκ οἶδεν ὁ ποιητὴς τὸν Κλυταιμνήστρας ὑπὸ τοῦ παιδὸς μόρον. E.H.M.S.

ὅς οἱ πατέρα] ἄνευ τοῦ σ Ἀρίσταρχος, ὅ οἱ πατέρα. M.

ἔκτα] πολλοὶ συστέλλουσι τὸ α τοῦ ἔκτα, νομίζοντες ἀποκοπὴν εἶναι τοῦ ἔκτανε· ὁ δὲ Ἀρίσταρχος ἐκτείνει. M.Q.

301. μάλα γὰρ σ' ὁρῶ καλόν τε μέγαν τε] αἰσχρὸν γὰρ τοῖς τῆς τύχης δώροις μὴ συνυπουργεῖν. M.S.

302. ἄλκιμος ἔσσο] ταῦτα λοιπὸν εἰδυῖα τὸ φιλότιμον τῶν νέων λέγει. M.S.

305. καὶ ἐμῶν ἐμπάζεο μύθων] διδασκαλικῶς ἐπιλέγει πάλιν περὶ τῶν αὐτῶν ἀντὶ τοῦ ἐπιστρέφου καὶ φρόντιζε. M.S.

307. ξεῖν', ἤτοι μὲν ταῦτα φίλα] μιμούμενος πατρικὸν ξένον ἐπιτιμήσει ἐχρήσατο. ὁ δὲ συνετῶς οὐκ ἐδυσχέρανεν, ἀλλὰ καὶ χάριν ὡμολογεῖ. E.S.

312. κειμήλιον ἔσται ἐξ ἐμεῦ] ἀντὶ τοῦ δοθήσεται παρ' ἐμοῦ· καὶ οἱ ξένοι παρεῖχον, ὡς Βελλεροφόντης Οἰνεῖ τὸ δέπας. H.

313. διδοῦσι] ἀπὸ τοῦ διδῶ. οἶδε δὲ αὐτοῦ τὴν κλίσιν ὁ ποιητής· "δῶρα μὲν οὐκέτ' ὀνοστὰ διδοῖς" (Il. ι, 164.)· οἶδε δὲ καὶ τὸ δίδωμι. E.Q.

316. δῶρον δ' ὅ τοι καί μοι] γράφεται, ὅτι κεν μοι. P.

2. τῆς om. Q.V.
ἄφρων] ἄφρονα Q.V.
4. τὸ ἐσσί γίνεται ἐκ τοῦ ἔω, ἐμί, ἔς] Copiosior de his formis disputatio est Eustathii p. 76, 22.
8. προτροπή] τροπή E.
9. ἀφείλοντο] ἀφείλαντο M.
10. γνησίου—προτροπή addidi ex M.
11. ὑπὸ τοῦ παιδὸς μόρον] ὑπὸ παιδὸς φόνον E. Conf. schol. ad γ, 303.
28. οἶδε δὲ καὶ τὸ δίδωμι] οἶδε καὶ τὴν δύναμιν Q.
30. δ' ὅ τοι καί μοι] Sic P. in textu, sed ab correctore.

317. αὖτις ἀνερχομένῳ] ὑποστρέφοντι ἐκ τῆς Ἰταλίας. V.

318. ἄξιον ἔσται ἀμοιβῆς] ἀξίως ἀμείψεται, ἢ τοὐναντίον παρ' ἐμοῦ καλὸν δῶρον λάβοις ἂν, ὥστε ἄξιον ἀμοιβῆς γενέσθαι. καὶ γὰρ οἱ ξενισθέντες ἐδίδοσαν δῶρα· Βελλεροφόντης δὲ χρυσοῦν ποτήριον (Il. ζ, 220.). Q.V. 5

320. ὄρνις δ' ὡς ἀνόπαια] εἶδος ὄρνιθος, ἢ ἀπὸ τοῦ ἄνω πέτεσθαι, ἢ ἀπὸ τοῦ ἄνω ἔχειν τοὺς ὤπας. B. ἢ διὰ τὸ ὡς ὄρνις ταχέως ὁρμῆσαι. καὶ Ἀρίσταρχος δέ φησιν ὄνομα ὀρνέου ἡ ἀνόπαια, ὡς "φήνῃ εἰδομένη" (γ, 372). ἔνιοι δὲ ἀνὰ τοὺς ὤπας, ὅ ἐστι τοὺς ὀφθαλμούς. Ἄλλως. ὡς ὄρνις ὑψιπέτης ἡ τὰ ἄνω παίουσα, ἢ ἀνὰ τοὺς ὤπας ὁρ- 10 μῶσα· ἢ πανόπαια, ἵν' ᾖ ἡ χελιδών. Κράτης δὲ τὴν τετρημένην κεραμίδα. M. ὁ μὲν Ἀρίσταρχος ἀνόπαια προπαροξυτόνως ἀναγινώσκει ὄνομα ὄρνιθος λέγων, ὁ δὲ Ἡρωδιανὸς ἀνοπαῖα ἀντὶ τοῦ ἀοράτως, ἵν' ᾖ οὐδέτερον πληθυντικὸν, ὡς τὸ "πυκνὰ μάλα στενάχων" (Il. σ, 318.)· διὸ καὶ προπερισπαστέον φησίν. οἱ δὲ, ἀνὰ ὀπὴν, ἢ καὶ 15 καπνοδόχος καλεῖται. κακῶς δὲ ὁ Ἡρακλείδης φησὶν ἐν ταῖς ὁμοιότησι μὴ ἐπιφέρεσθαι τῷ ὄρνις τὸ κύριον· ἔλαθε γὰρ αὐτὸν τὸ "ὄρνιθι λιγυρῇ ἐναλίγκιος" (Il. ξ, 290.). E.H.Q.R. ἢ ἅρπῃ εἰκυῖα. εἶδος ὀρνέου· ἢ διὰ τῆς ὀπῆς· ἢ ἀόρατος, διὰ τὸ ὡς ὄρνις ταχέως ὁρμῆσαι. καὶ Ἀρίσταρχος δέ φησιν ὄνομα ὀρνέου ἡ ἀνόπαια, 20 ὡς "φήνῃ εἰδομένη." ἔνιοι δὲ ἀνὰ τοὺς ὤπας, ὅ ἐστι τοὺς ὀφθαλμούς. H.V. Ἄλλως. οἱ μὲν ἀντὶ τοῦ, ταχέως ὥρμησεν· ἔστι γὰρ εἶδος ὀρνέου· οἱ δὲ προπαροξυτόνως ἀντὶ τοῦ ἀοράτως. οἱ δὲ ἀντὶ τοῦ, ἀπὸ τῆς καπνοδόχου, ἣν ὀπὴν λέγουσι Φωκεῖς. ἔνιοι δὲ ἀνὰ τοὺς ὤπας ὅ ἐστι τοὺς ὀφθαλμούς. E.Q. 25

7. Addidi ταχέως ὁρμῆσαι e lin. 20. ejectis duobus quæ in M. temere post ὄρνις illata sunt scholiis, altero (ad v. 386.) περιρρεομένη—θαλάσσης, altero (ad v. 390.) καί κεν—πάνυ κακόν, quæ suis locis vide.

11. πανόπαια, ἵν' ᾖ — τετρημένην scripsi pro πάνοπα ἵνα ἐστὶν—τετριμμένην, collato Etym. M. p. 111, 22.

κεραμίδα] Eustath. p. 1419, 28. ἢ διὰ τῆς ὀπαίας φασὶ κεραμίδος.

14. οὐδέτερον] οὐδετέρως R.

15. ἀνὰ ὀπὴν—καλεῖται] ἀνὰ τὴν ὀπήν· οἱ γὰρ ἀρχαῖοι οἶκοι ἐν μέσῳ τῆς ὀροφῆς ὀπὴν εἶχον, ἣν καὶ καπνοδόχην ἐκάλουν. R.

16. κακῶς Maius pro καλῶς.

17. τῷ ὄρνις correxi pro τὸ ὄρνις.

18. ἢ ἅρπῃ] ἡ ἅρπη H. ἢ ἅρπῃ εἰκυῖα om. V.

21. δέ om. H. Conf. lin. 9.

ὀρνέου ἡ ἀνόπαια restitui ex scholio superiore pro ὀρνέου· ἢ ἀνόπαια.

24. ἀνὰ τοὺς pro ἀντὶ τοῦ correctum ex scholio præcedenti.

321. θῆκε μένος] τὸ μένος ἐπὶ ψυχικῆς προθυμίας λαμβάνεται, τὸ δὲ θάρσος ἐπὶ τῆς ἀνδρείας. διαφέρει δὲ θάρσος θράσους. τὸ μὲν γὰρ θάρσος εὔλογόν ἐστι παράστημα τῆς ψυχῆς, τὸ δὲ θράσος τοὐναντίον. E. ἔθηκε δὲ εἰς τὴν ψυχὴν τοῦ Τηλεμάχου μένος καὶ προθυμίαν τῆς τοῦ πατρὸς ἀναψηλαφήσεως καὶ τοῦ φόνου τῶν μνη- 5 στήρων νῦν παρὸ πρότερον. Q.

324. αὐτίκα] καλῶς τὸ αὐτίκα· οὐ γὰρ ἔδει ἐγχρονίζοντα παρέχειν αὐτοῖς ὑποψίαν τῆς συνουσίας τοῦ ξένου. E.H.P.S.

325. ἀοιδὸς] οὗτος ὁ ἀοιδὸς ἀδελφὸς ἦν Χαριάδου τοῦ Κλυταιμνήστρας ᾠδοῦ, συνάρας ἀπὸ Λακεδαίμονος Πηνελόπῃ. E.H. 10

326. εἵατ' ἀκούοντες] δασυντέον τὸ εἵατο· ἕατο γάρ ἐστι. τὸ δὲ ἰῶτα προσελθὸν τηρεῖ τὸ αὐτὸ πνεῦμα, ἕως εἴως, ἕνεκα εἵνεκα. οὐδὲ μάχεται τὸ εἴλως παρὰ τὸ ἕλος γεγονός. οὐ γὰρ δισσὸν τὸ τῆς χρήσεως, οὐδὲ ἔστι τις ἕλως, ἀλλ' αὐτόθεν παρὰ τοῦ ἕλος ἐσχηματίσθη ποιητικῷ πλεονασμῷ. E.H.M.Q. 15

327. ἐπετείλατο] φησὶν ὅτι ἡ Ἀθηνᾶ προσέταξε τῷ Φημίῳ ἵνα τὸν ἐκ τῆς προνοίας νόστον τῶν Ἀχαιῶν εἰς οἰκείαν ἀοιδὴν ἔχῃ. οὐκ ἄλλο δὲ τοῦτο αἰνίττεται ἢ ὅτι Ἀθηνᾶ λέγεται ἡ φρόνησις, ὑπὸ δὲ τῆς οἰκείας φρονήσεως συνῆκεν ὁ Φήμιος τὸ ἀείδειν τὸν νόστον τῶν Ἀχαιῶν. ἀποροῦσι δέ τινες λέγοντες, διὰ τί ὁ Φήμιος τοῦτο ποιεῖ; 20 καὶ ταῦτα τῆς Πηνελόπης ἐπὶ τῇ τοιαύτῃ ᾠδῇ δακνομένης. καὶ φα-

9. Χαριάδου] χαρίου E. Recta scriptura, licet obscuris literarum ductibus, est in H., ex quo affertur οὗτος δὲ χαριάδου ἀδελφὸς ἦν τῆς κλυταιμνήστρας ᾠδοῦ etc. "Charium Clytæmnestræ cantorem nominari cœptum in Posthomericis, cum Charidemo ejusdem hominis nomine in schol. ad γ, 267. conciliandum sic puto, ut ibi pro Χαρίδημον cum Eustathio p. 1466, 54. scribatur Χαριάδην, id quod compendio scriptum in illud facile abiit. Nam Χάριος et Χαριάδης nonnisi duplex forma est ejusdem nominis ut Θέσπιος et Θεσπιάδης et similiter multa alia." *Heinrich.* ap. BUTTM.

10. πηνελόπῃ H. ἰθάκῃ E.

11. δασυντέον τὸ εἵατο] Nam alii εἵατο scribebant.

12. τὸ αὐτὸ M. αὐτοῦ τὸ E.H.Q.

13. εἴλως] εἴλω M.

παρὰ τὸ ἕλος H.M. ἀπὸ τοῦ ἕλως E.Q.

14. Ex perversa hujus scholii oratione hic qualiscunque sensus est eliciendus. Diphthongum ει asperum non admittere nisi ubi poetica sit ectasis litteræ ε, ut in εἵατο, εἴως, εἵνεκα. Neque adversari huic regulæ vocem εἴλως: quamvis enim hæc non ex alio ejusdem sensus vocabulo ἕλως productione facta sit, derivari tamen illam ab nomine urbis Ἕλος, ita ut ex hoc statim, pleonasmo illo alias poetico, formatum sit appellativum εἴλως. Conf. Lex. de Spirit. Valck. p. 240. BUTTM.

παρὰ τοῦ ἕλος Buttm. pro παρὰ τοῦ ἕλως. αὐτόθεν παρὰ τοῦ ἕλος om. H.

17. ἔχῃ] ἐνθῇ Buttm.

μὲν ὅτι οἰκονομικῶς ὁ Φήμιος τοῦτο ποιεῖ, ἵνα τῆς τοιαύτης ἀοιδῆς τοῦ Φημίου ἡ Πηνελόπη ἀκροωμένη τοῦ οἰκείου ἀνδρὸς μνημονεύῃ καὶ ἀποσοβῇ τοὺς μνηστῆρας. E.

ἐπετείλατο] ἐπετέλεσεν. οὐκ ἄρα Πινδαρικὴ λέξις τὸ τέλλεται δηλοῦν τὸ ἐπιτελεῖται, γίνεται, "φίλια δῶρα Κυπρίας ἄγ' εἴ τι, Ποσείδαον, ἐς χάριν τέλλεται," ἀλλ' οἶδεν αὐτὴν καὶ ὁ ποιητής. Καὶ ἄλλως. ἐπετείλατο ἀντὶ τοῦ ἐπετέλεσεν. ταῦτα δὲ ἧδε νουθετῶν τοὺς μνηστῆρας ἐκ τῶν περὶ Κασάνδρας καὶ Αἴαντος μὴ ὀρέγεσθαι ἀσεβῶν γάμων. H.

328. ὑπερῳόθεν] κωλύεται τὰ περὶ Ὀδυσσέως λέγειν ὁ ᾠδός, ἐπεὶ τάχα ἀκούσας ὁ Τηλέμαχος οὐκ ἂν ἀπεδήμησε, καὶ οἱ μνηστῆρες ἀπηλλάττοντο τῆς Πηνελόπης, οὕτω δὲ ἡ πᾶσα οἰκονομία τῆς ὑποθέσεως διελύετο. H.Q.

329. Πηνελόπεια] ὥσπερ ἐν ἀρχῇ τῆς Ἰλιάδος τὸ περιμάχητον πρόσωπον Ἑλένης ἐνεφάνισεν ἡμῖν ὁ ποιητής, οὕτω καὶ νῦν τὴν περιμάχητον σωφροσύνην Πηνελόπης. καὶ Ἑλένη γὰρ ἐπιφοιτᾷ τῷ ἀρίστῳ (Od. δ, 121.), καὶ Ἀρήτη τοὺς Φαίακας οὐ φεύγει (η, 141.) E.H.Q.

330. κλίμακα δ' ὑψηλὴν] καὶ πῶς ἤρχετο πρὸς ἐραστάς; ἀλλ' ἐνικᾶτο τῷ διὰ τῆς Ὀδυσσέως μνήμης πένθει. καὶ παύειν ἄλλως τὸν ᾠδὸν οὐκ ἐδύνατο. ἄλλως τε περὶ τὸν ἐχέφρονα πόσιν φιλόστοργον ἦθος ἀποδείκνυσι, τῶν ἐραστῶν ἕκαστον ἐκπαιδεύουσα πρὸς σωφροσύνην. οὐ γὰρ ἁπλῶς βιάσασθαι τὴν γυναῖκα τοῖς μνηστῆρσιν ὥριστο, ἀλλὰ νόμῳ γαμεῖν τὸν ἀρεσκόμενον αὐτῇ. E.H.Q.

332. αἰτιᾶται ἐκ τῶν ἐπῶν τούτων Δικαίαρχος τὴν παρ' Ὁμήρῳ Πηνελόπην

1. οἰκονομικῶς] H. e. Phemius, e consilio Homeri ad œconomiam Odysseæ spectante, ita facit. BUT.

4. Πινδαρικὴ] Olymp. 1, 119.

10. ᾠδὸς H. ἀοιδὸς Q.

11. ἀπεδήμησε Buttm. pro ἐπεδήμησε.

14. Versui 329. in M. et Vindob. 5. adscriptum ἓξ ποσὶν ἐμβεβαυῖα τριδάκτυλος ἐξεφαάνθη. quocum conferenda Boissonadii annot. ad Greg. Cor. p. 407. "Ex eodem codice (Parisino 1409.) liceat promere aliud ænigma, Ἰουλιανοῦ τοῦ παραβάτου εἰς τὸν παρόντα Ὁμηρικὸν στίχον ἓξ πόδας ἔχοντα, ὧν οἱ τρεῖς εἰσι δάκτυλοι, Κούρη Ἰκαρίοιο περίφρων Πηνελόπεια ἓξ ποσὶν——ἐξεφαάνθη. Idem ænigma, sed anonymum et lemmate carens, dedit Huetius in Huetianis p. 74. ab Isaaco Vossio acceptum et recte explicavit. Versum priorem sic laudavit Huetius, καλὴ Πηνελόπεια, γυνὴ κλεινοῦ Ὀδυσῆος."

20. πένθει] πάθει E.

21. ᾠδὸν H. ἀοιδὸν E.Q.

25. Δικαίαρχος] Haud dubie ἐν Ἑλλάδος βίῳ. Habet hoc scholium

ἡ δ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο
ἄντα παρειάων

καὶ τὰ ἑξῆς. οὐδαμῶς γὰρ εὔτακτον εἶναί φησι τὴν Πηνελόπην, πρῶτα μὲν ὅτι πρὸς μεθύοντας αὕτη παραγίνεται νεανίσκους, ἔπειτα τῷ κρηδέμνῳ τὰ κάλλιστα μέρη τοῦ προσώπου καλύψασα τοὺς ὀφθαλμοὺς μόνους ἀπολέλοιπε θεωρεῖσθαι. περίεργος γὰρ ἡ τοιαύτη σχηματοποιΐα καὶ προσποίητος, ἥ τε παράστασις τῶν θεραπαινίδων ἑκάτερθεν εἰς τὸ κατ' ἐξοχὴν φαίνεσθαι καλὴν οὐκ ἀνεπιτήδευτον δείκνυσι. φαμὲν οὖν ὅτι τὸ καθόλου ἔθος ἀγνοεῖν ἔοικεν ὁ Δικαίαρχος. σύνηθες γὰρ παρὰ τοῖς ἀρχαίοις τὰς ἐλευθέρας γυναῖκας εἰς τὰ τῶν ἀνδρῶν εἰσιέναι συμπόσια. μαρτυρία δὲ τούτων ἥ τε παρὰ τοῖς Φαίαξιν Ἀρήτη συνευωχουμένη τοῖς τοσούτοις κεκλημένοις εἰς τὸν γάμον δαιτυμόσι, καὶ Ἑλένη συνεστιωμένη νέοις ἐξελθοῦσι ξένοις περὶ τὸν Τηλέμαχον σαφῶς ἐδήλωσεν ὅτι παρθένοις μόνον ἦν αἰσχρὸν, (Od. ζ, 287.)

ἥτ' ἀέκητι φίλων πατρὸς καὶ μητρὸς ἐόντων
ἀνδράσι μίσγηται πρίν γ' ἀμφάδιον γάμον ἐλθεῖν·

ταῖς δὲ γαμηθείσαις μὴ εἶναι αἰσχρόν. ἔθους οὖν ὄντος ταῖς γεγαμημέναις ἀναμίγνυσθαι τοῖς ἀνδράσι καὶ φαίνεσθαι ἐν τοῖς συμποσίοις, οὐδὲν ἄτοπον ἐλθεῖν τὴν Πηνελόπην, ἵνα παύσῃ τὸν ᾠδὸν, "ὃς Ἀχαιῶν νόστον ἄειδε λυγρόν." τό τ' αὐτουργεῖν ἐλευθέριον μάλιστα εἶναι ἐδόκει τοῖς παλαιοῖς, ὡς καὶ ἐπὶ πλυνοὺς μὴ ὄνειδος εἶναι τὰς τῶν βασιλέων ἀπιέναι θυγατέρας, καὶ εἰς ὑδροφορίαν καί τινας τοιαύτας ἰσοδουλικὰς τὰς νῦν ἀποβεβλημένας διακονίας. τῇδε καὶ τὸ παῦσαι ἄλλως οὐκ ἐνῆν τὸν ᾠδὸν μὴ αὐτῇ δεηθείσῃ καὶ μετὰ δακρύων ἱκετευούσῃ, οὐ γὰρ ἔπεισεν ἂν δι' ἀγγέλων τοῦτο κελεύουσα· ὥστε ἡ μὲν παρουσία ἐκ τούτων οὐκ ἄτοπος, ἀλλὰ καὶ σωφροσύνην ἐμφαίνουσα· ἀεὶ γὰρ ἐβούλετο ὑπόμνησιν ποιεῖν τοῖς μνηστῆρσιν ὡς παρὰ γνώμην αὐτῆς ἡ μνηστεία καὶ ὁ γάμος ἀπεχθὴς, ἡ δὲ τοῦ ἀνδρὸς μνήμη ἀνεξάλειπτος. τὰ γὰρ τῆς ἐπιβουλῆς οὐχ ἡ κλῖμαξ ἄχρι τοῦ ὑπερῴου διεῖργεν, ἀλλ' ἕκαστος τῶν μνηστήρων αὐτὸς κριθήσεσθαι νυμφίος ὑπολαμβάνων ἐκώλυε τὸν πέλας βίαιόν τι δρᾶν, ἵνα τῶν προκειμένων μὲν αὐτὸς μὴ σφαλῇ, ἐπιεικῆ δὲ πρὸς ἐκείνην

et cod. Paris. 2403. CRAMER. Codicis Parisini ab H. dissensum notavimus in Præfatione.

11. σύνηθες—] Conf. Eustath. p. 1420, 54.

ἐπιδείκνυσιν, ἵνα προκριθῇ· ὁ γὰρ σκοπὸς ἦν οὐ τὴν Πηνελόπην ὑβρίσαι, ἀλλὰ νόμῳ λαβεῖν γυναῖκα, καὶ κύριον ἁπάντων γενέσθαι τῶν ἐκείνης. πάντες οὖν πάντας διὰ ταύτην τὴν αἰτίαν φυλάξειν ἔμελλον· τὸ δὲ

ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα 5

οὐκ ἔτι τὸ αὐτὸ τῷ (Il. γ, 141.)

αὐτίκα δ' ἀργεννῇσι καλυψαμένη ἰθόνῃσι
ὥρμᾶτο·

τὸ δὲ κρήδεμνον οὐκ ἦν προσώπου περίβλημα, ἀλλὰ κεφαλῆς, ὥς που φησὶ (Il. ξ, 184.) 10

κρηδέμνῳ δ' ἐφύπερθε καλύπτατο δῖα θεάων,
καλῷ, νηγατέῳ· λευκὸν δ' ἦν ἠέλιος ὥς.

ὡς οὖν τὴν ἀπὸ τῆς κεφαλῆς καλύπτραν, ἣν κρήδεμνον ἔφη, ταῖς χερσὶν ἐφελκυσαμένη τὰ δάκρυα ἀποκαλύπτειν ἐβούλετο καὶ ἀποψᾶν τῷ κρηδέμνῳ τὰ δάκρυα. τὸ οὖν 15

ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα

οὐ τὴν περιβάλλουσαν δηλοῖ τὴν κεφαλὴν καὶ τὰς παρειάς, μόνους τοὺς ὀφθαλμοὺς δεικνῦσαν, ἀλλὰ τὴν ἐφελκύσασαν ἀπὸ τῆς κεφαλῆς τὸ κρήδεμνον, καὶ γυμνώσασαν μὲν τὴν κεφαλὴν καὶ τὸ πρόσωπον δείξασαν, κρατοῦσαν δὲ ἐν ταῖς χερσὶ πρὸ τῶν παρειῶν τὰ δάκρυα, ὥσπερ καὶ Τηλέμαχος δακρύων τὴν χλαῖναν πρὸ τῶν ὀφθαλμῶν ἀνίσχει· διόπερ ἡ μὲν σχομένη εἴρηται, ὅτι ἑλκύσασα πρὸ τῶν ὀφθαλμῶν εἶχεν, ὁ δὲ ἀνασχεῖν, ὅτι κάτωθεν ἐπάρας πρὸ τῶν ὀφθαλμῶν ἐποίησεν. εἰ δὲ καλύπτει τὴν κεφαλὴν καὶ τὸ πρόσωπον, αἰδουμένη κλαίειν ἐπὶ τῶν παρόντων τοῦτο ποιεῖ, οὐχ ἑταιρίζουσα διὰ τῆς ἐπιτηδευτῆς. καὶ Ὀδυσσεὺς (Od. θ, 84.) 20 25

πορφύρεον μέγα φᾶρος ἑλὼν χερσὶ στιβαρῇσι
κακκεφαλῆς εἴρυσε, κάλυψε δὲ καλὰ πρόσωπα·
αἴδετο γὰρ Φαίηκας ὑπ' ὀφρύσι δάκρυα λείβων.

παυσαμένου μὲν τοῦ ᾠδοῦ 30

δάκρυ' ὀμορξάμενος κεφαλῆς ἀπὸ φᾶρος ἔλεσκεν·
αὐτὰρ ὅτ' ἂψ ἄρχοιτο καὶ ὀτρύνειαν ἀείδειν,
ἂψ Ὀδυσεὺς κατὰ κρᾶτα καλυψάμενος γοάασκεν.

εἰ δὲ Ὀδυσσεὺς ἀνὴρ ὢν ᾐδεῖτο κλαίων φαίνεσθαι ἐν συμποσίῳ καὶ τὴν κεφαλὴν ἐκάλυπτε καὶ τὸ πρόσωπον, πῶς οὐκέτι μᾶλλον ἡ παρὰ αὐτῷ παίδευσις . . . . . αἰσχύνη ἐπὶ ἀνδρῶν οὐ 35

36. παίδευσις] Nullum hic in H. finis scholii indicium, sed vacuum spatium dimid. lin. CRAMER.

σφόδρα καθεστηκότων. ἥ τε τῶν θεραπαινίδων κατάστασις ἣν μὲν ἐξ ἔθους ταῖς παλαιαῖς, ἐξαιρεῖ δὲ τὴν Πηνελόπην τῆς βλασφημίας ἡ προσθήκη· οὐ γὰρ ἐξ ἐκείνων ἔπονται τῶν μεγίστων "αἳ πᾶσαι ἀναιδείης ἐπέβησαν" (Od. χ. 424.), ἀλλ' ἀμφίπολος αὐτῇ κεδνὴ ἑκάτερθε παρέστη, τουτέστι σώφρων. τῇ οὖν περὶ τὰς θεραπαινίδας κοσμιότητι τὸ τῆς Πηνελόπης εἶδος διασαφεῖται. H.

333. πύκα] πυκνῶς, ἐπιμελῶς, κατεσκευασμένως. S.

334. παρειάων σχομένη] ἀμφιβολία "σχομένη," ἀναπετάσασα ἢ καλυψαμένη. S.

ἄντα παρειάων] τὸ "ἄντα παρειάων σχομένη" οὐ πάρεργον, ἀλλὰ δηλαδὴ καθελοῦσα τῆς κεφαλῆς μετὰ χειρῶν εἶλε· καὶ ἄλλως παρ' Ὀδυσσέως ἔμαθε κρύπτειν ἐν συμποσίοις τὸ δάκρυον. ἀλλ' οὐδὲ τῆς στάσεως τῶν θεραπαινῶν ἡ κατάστασις· ὑποφαίνει γὰρ τῆς δεσποίνης τὴν κατάστασιν. E.

τὸ δὲ ἄντα παρειάων οὐ πάρεργον οὐδὲ ἑτεροῤῥεπές· ἀλλὰ πρὸ τῶν παρειῶν παρασχοῦσα, τουτέστι προκαλυψαμένη τῷ καλύμματι τοῦ προσώπου, φησὶν ὁ ποιητής, καὶ πρὸ τῶν λόγων σωφροσύνην αὐτῆς ἐκφαίνων. E.Q.

κρήδεμνα] κρήδεμνον τὸ ἐπὶ τῆς κεφαλῆς περιβόλαιον, καρήδεμνον καὶ ἐν συλλήψει κρήδεμνον. S.

337. πολλὰ γὰρ] ἔθος Ὁμηρικὸν ἀπὸ τοῦ γάρ ἄρχεσθαι. M.S.

οἶδας] τῷ οἶδας οὐκ ἐχρήσατο ὁ ποιητής. Ζηνόδοτος γράφει ᾔδεις, Ἀρίσταρχος δὲ οὐ δυσχεραίνει τῇ γραφῇ. ἐν οὐδενὶ γὰρ τῶν

13. ἡ κατάστασις] πάρεργος ex superioribus intelligendum esse monet Buttm.

γὰρ addidit Buttm.

15. τὸ δὲ—παρασχοῦσα om. E.

19. καρήδεμνον] Conf. Etym. M. p. 537, 28.

22. τῷ] τὸ H.

23. ᾔδεις] ἤδεις M. εἴδεις H. tanquam ab εἴδω, quem accentum probasse Tyrannionem ex scholio ad α, 174. novimus. ᾔδης edidit Bekkerus. Eustathii annotatio hæc est (ad ο, 20. οἶσθα γὰρ οἷος θυμὸς—.) τὸ δὲ "οἶσθα γὰρ οἷος θυμός" ἐλέγχει Ζηνόδοτον καὶ τοὺς κατ' αὐτὸν κακῶς γράφοντας τὸ οἶσθας παρὰ τῷ ποιητῇ. ἐν τέλει μὲν γὰρ στίχου ἢ καὶ ἐπιφορᾷ φωνήεντος εἴη ἂν γενέσθαι συγχωρηθεῖσαν τοιαύτην γραφὴν, ἐνταῦθα δὲ οὐκ ἂν γένοιτο διὰ τὸ κακομέτρητον. Αἴλιος μέντοι Διονύσιος γράφει ὅτι καὶ τὸ οἶσθα καὶ τὸ οἶσθας ἄμφω Ἑλληνικὰ, καθὰ καὶ ἦσθα καὶ ἦσθας. ἅπαξ δὲ, φασὶ, παρ' Ὁμήρῳ τὸ οἶδας ἐν τῷ "πολλὰ γὰρ ἄλλα βροτῶν θελκτήρια οἶδας."

23. Ἀρίσταρχος δὲ] Sic M. (qui hoc scholion a m. sec. habet, quæ etiam alia bonæ notæ scholia addidit). καὶ ἀρίσταρχος H., quod significaret Aristarchum οὐ δυσχεραίνειν conjecturæ Zenodoti.

ἐν οὐδενὶ γὰρ τῶν ποιήσεων] Hæc ex alio scholio excerpta videntur, sic, ut opinor, corrigendo, ἐν οὐδετέρᾳ τῶν ποιήσεων etc. Mox verba οἶδας, διὸ καὶ absunt ab M.

ποιήσεων ἐχρήσατο τῷ οἶδας· διὸ καὶ σημειωτέον τὸν στίχον. H.M.

340. ταύτης δ' ἀποπαύε' ἀοιδῆς] δέδιε γὰρ ἡ Πηνελόπη μὴ θάνατον Ὀδυσσέως ᾄσας ἀναπτερώσῃ τοὺς μνηστῆρας. E.H.R. τῆς τῶν Ἀχαιῶν ὑποστροφῆς καὶ τῆς τοῦ Ὀδυσσέως πλάνης. Ἀρίσταρχος μὲν . . . H.

344. καθ' Ἑλλάδα] Ἑλλάδα τὴν Θεσσαλίαν φησί. Ἑλλὰς γὰρ πόλις Θεσσαλίας· "φεῦγον ἔπειτ' ἀπάνευθε δι' Ἑλλάδα" (Il. ι, 478.). E.M.

346. φθονέεις] τινὲς φρονέεις γράφουσιν ἀντὶ τοῦ φρονεῖς, διδάσκεις. M. λαμβάνεται ἐπὶ τοῦ κωλύειν καὶ μέμφεσθαι. γράφεται δὲ καὶ φρονέεις ἀντὶ τοῦ συνετίζεις. E.

ἐρίηρον ἀοιδὸν] τὸν ἄγαν ἁρμόζοντα τὴν φωνὴν αὐτοῦ πρὸς τὸ μέλος τῆς κιθάρας. E.

349. ἀλφηστῇσιν] ἐπινοητικοῖς, ἐφευρετικοῖς, ἀπὸ τοῦ ἀλφῶ, τὸ εὑρίσκω, ἀφ' οὗ καὶ τὸ ἄλφα. B.E.

352. νεωτάτη ἀμφιπέληται] περί τινων λέγεται συντελεσθῆναι. V.

353. ἐπιτολμάτω] ὑπομενέτω. διὰ τῆς τόλμης ὑπεφαίνει τὸ τοῦ πάθους μέγεθος. E.

354. οὐ γὰρ Ὀδυσσεὺς] ὡς πεπαιδευμένος ὑπὸ τῆς Ἀθηνᾶς ἤδη καὶ συμβουλεύει τῇ μητρὶ, οὐκ ἐξαίρετον λέγων δυστυχεῖν τὸν πατέρα. τοιαῦτα δέ φησιν εἰς ῥαθυμίαν τοὺς μνηστῆρας προκαλούμενος, ὥστε μένειν ἀπαραφυλάκτως τὸν Ὀδυσσέα. E.Q. ἄτοπον δὲ καὶ τὸν μὴ δυνάμενον τὰς πράξεις τῶν μνηστήρων κωλύειν ἀποτόμως τούτοις ἐπιτιμᾶν. ὑφ' ἓν δέον ἀναγνωσθῆναι τὸν στίχον, οὐ γὰρ Ὀδυσσεὺς οἶος ἀπώλεσε νόστιμον ἦμαρ. E.H.

355. ἐν Τροίῃ πολλοὶ] ἀδιαστόλως ἀναγνωστέον. ὁ γὰρ Ὀδυσσεὺς οὐκ ἐν Τροίᾳ ἀπώλετο. Q.V.

3. δέδιε] ἐδεδίει H.R. in quibus hoc scholion adscriptum ad κλίμακα δ' ὑψηλὴν v. 330.

ἡ Πηνελόπη om. E.

5. Post Ἀρίσταρχος μὲν indicavi lacunam. Totum scholion H. habet supra versum a m. secunda.

8. φεῦγον] φεύγων E.

δι' (καθ' E.) Ἑλλάδα] Hoc scholiasta memoriæ errore posuit pro δι' Ἑλλάδος εὐρυχόροιο. Ceterum vide schol. ad δ, 726.

11. κωλύειν] λύειν E. Correctum ex Eustathio.

12. καὶ φρονέεις] καὶ φθονέεις E. Correctum ex scholio præcedente. Scriptura ipsa absurde est excogitata.

16. εὑρίσκω] ψηλαφῶ B.

24. ἀποτόμως Buttm. pro ἀτόπως.

27. ἀδιαστόλως ego correxi. διαστολῶς Q. διαστολῇ V.

ὁ γὰρ Ὀδυσσεὺς οὐκ ἐν Q. οὐ γὰρ Ὀδυσσεὺς ἐν V.

356. ἀλλ' εἰς οἶκον] ἀθετοῦνται ἐνταῦθα· ἐπὶ δὲ τοῦ Ἕκτορος καλῶς ἐν τῇ ζ' τῆς Ἰλιάδος. H.M. ἐπὶ τοῦ Ἕκτορος εὐπρεπῶς εἶχον οἱ στίχοι πρὸς Ἀνδρομάχην (Il. ζ, 490.) καὶ ἐν τῇ τοξείᾳ τῶν μνηστήρων (Od. φ, 350.). τινὲς οὖν ἀθετοῦσιν. ἐν δὲ ταῖς χαριεστέραις γραφαῖς οὐδ' ἦσαν. H.Q.R. 5

ἀλλ' εἰς οἶκον ἰοῦσα] ὅσοι μεταγράφουσιν, ἀλλὰ σύ γ' εἰσελθοῦσα, καὶ (360.) "ἡ μὲν θαμβήσασα πάλιν θάλαμόνδε βεβήκει," λέγοντες ὡς ληρῶδες οἴκοι τὴν Πηνελόπην οὖσαν προστάσσεσθαι οἴκαδε ἀπελθεῖν, ἀγνοοῦσιν ὡς Ὅμηρος τὸν οἶκον ποτὲ μὲν καθολικῶς λαμβάνει, ἄλλοτε δὲ μερικῶς ἐπὶ τοῦ ἀνδρῶνος ἢ τῆς γυναικωνίτιδος, ὡς ἐκεῖ "σιγῇ δ' ἐξ οἴκοιο Φιλοίτιος ἆλτο θύραζε, κλῄσσεν δ' ἄρ' ἔπειτα θύρας εὐαρκέος αὐλῆς" (Od. φ, 387.) Ἀρίσταρχος δὲ ἀθετεῖ, ἄμεινον λέγων αὐτοὺς ἔχειν ἐν Ἰλιάδι καὶ ἐν τῇ τοξείᾳ τῶν μνηστήρων. E.H.M. Q.R. 10

357. ἠλακάτην] οὕτως μὲν αὐτὸ τὸ ἐργαλεῖον, ἠλάκατα δὲ τὰ ἔργα. S. 15

360. οἴκόνδε βεβήκει] τὴν αἰφνίδιον σύνεσιν ἐκπλαγεῖσα τοῦ παιδός. τὸ δὲ "ἔνθετο θυμῷ" τὸ παιδευτικὸν ὅτι οὐ χρὴ εἴργειν τὴν τῶν λόγων δύναμιν. H.Q.R.

361. μῦθον] γρ. λόγον. P.S. 20

364. βλεφάρεις] βλέφαρον παρὰ τὸ αἱρεσθαι ἐν τῷ βλέπειν. S.

365. ὁμάδησαν] ἐθορύβησαν κοινολογούμενοι περὶ τῆς Πηνελόπης, ὅτι συνετὴ γυνή, ὅτι εὔμορφος· ὅθεν Τηλέμαχος μὴ ἐνεγκὼν ἐξή-

2. ἐν τῇ ζ' τῆς Ἰλιάδος om. M. In H. hoc scholion textui superscriptum.

4. τινὲς—ἦσαν om. Q.R. Scripsi autem οὐδ' ἦσαν pro οὐκ ἦσαν. Nam sic loquuntur scholiastæ, ubi ἀθετήσεις aliorum librorum auctoritate confirmant. Vid. ad schol. α, 97.

6. σύ γ' εἰσελθοῦσα] σύ γε ἐλθοῦσα M.

7. καὶ ἡ μὲν θαμβήσασα πάλιν ego correxi. καὶ πάλιν ἡ μὲν θαμβήσασα πάλιν H.R. καὶ πάλιν θαμβήσασα E.Q. Nihil præter πάλιν est in M.

λέγοντες ὡς ληρῶδες M. ἀγνοοῦντες ὡς ληρῶδες H.R. ἀγνοοῦντες ὡς σκληρῶδες E.Q.

8. προστάσσεσθαι H.R. προτάσσεσθαι ceteri.

9. ἀγνοοῦσιν M. ἀγνοοῦντες ceteri.

τὸν οἶκον post ποτὲ μὲν R.

μὲν om. H.

12. Ἀρίσταρχος—μνηστήρων om. E. Conf. schol. Il. ζ, 490.

17. παιδὸς—λόγων δύναμιν] παιδὸς, ἤγουν διὰ τὴν τοῦ Τηλεμάχου φρόνησιν. (et ad v. 362.) οὐκ ἀπέβαλε τὸ παιδευτικὸν, ὅτι οὐ χρὴ εἰς τὴν τῶν λόγων δύναμιν S.

18. εἴργειν Buttm. Libri εἰς.

20. γρ. λόγον] Posui hoc, ut appareat in hoc etiam codice interdum glossas introduci cum sigla γρ. Vid. et ε, 267. et cf. not. ad β, 334. BUTTM.

23. εὔμορφος] ὡραία S.

λεγξε τὴν ὕβριν. E.Q.S. ἐθορύβησαν· ὅμαδος γὰρ ὁ θροῦς. γίνεται δὲ ἀπὸ τοῦ ὁμοῦ ᾄδειν. B. διὰ τὴν Πηνελόπην ἐθορύβησαν οἱ μνηστῆρες, ὅτι συνετὴ γυνὴ καὶ φρόνιμος. P.

ἀνὰ μέγαρα σκιόεντα] τὰ μεγάλην ἀποτελοῦντα σκιὰν διὰ τὸ ὕψος. ἢ τὰ σκιώδη, τὰ κωλυτικὰ καύσωνος καὶ χειμῶνος, πρὸς ἀντι- 5 διαστολὴν τῶν ὑπαίθρων οἰκημάτων, οἷα τῶν ἀσκεπῶν ἡλιακῶν. E.

366. κλιθῆναι] ἤτοι μετὰ ταῦτα τοῦ κοιμηθῆναι ηὔξαντο, ἐπεὶ ἐθαύμασαν αὐτὴν ἰδόντες. B.

370. καλὸν ἀκουέμεν ἐστὶν ἀοιδοῦ] μικρὸν ἀνῆκεν ὁ ἀοιδὸς καὶ εὐθέως πᾶσα ἀκοσμία. ἄμεινον οὖν ἡγεῖται τοῦ ἀοιδοῦ ἀκούειν αὐτοὺς 10 ἢ παρέχειν αὐτοῖς σχολήν. E.Q.

371. τοιοῦδ' οἷος] τοῦτο κατὰ τὸν Πυθαγόρου λόγον. ἐκεῖνος γάρ φησιν ὡς ἔξω γενόμενος τοῦ σώματος ἀκήκοα ἐμμελοῦς ἁρμονίας. E.

θεοῖς ἐναλίγκιος] ἢ ταῖς μούσαις, ἢ ταῖς τῶν ἀστέρων ἀπηχήσεσι. P. 15

373. ἀπηλεγέως] ἀποτόμως, ἀπαγορευτικῶς, ἀφροντίστως. ἀπὸ τοῦ ἀπό καὶ τοῦ ἀλέγω τὸ φροντίζω. E.

374. ἐξιέναι μεγάρων] προλέγων πολλάκις ἀναπολόγητον αὐτοῖς παρίστησι τὴν κατηγορίαν, ὡς καὶ τῷ Αἰγίσθῳ. E.Q.

375. ἀμειβόμενοι] ἐρχόμενοι κατὰ διαδοχὰς ἀλλήλων. H. ἐξ 20 ἀναδοχῆς ἀλλήλους καὶ ἀμοιβῆς ὑποδεχόμενοι καὶ ἐσθίοντες. S. ἐκ διαδοχῆς ἀλλήλους καὶ ἀμοιβῆς ἀποδεχόμενοι εἰς τοὺς οἰκείους οἴκους, οὐκ εἰς τὸν ἐμόν. B. ἤγουν κατ' ἀμοιβὴν ἀποδεχόμενοι καθ' ἑκάστην ταῖς ἰδίαις κατασκηνώσεσι. P.

378. κείρετ'] ἐκ μεταφορᾶς τῶν ἵππων τῶν ἀπελθόντων ἐν χωρα- 25 φίῳ καὶ κατανεμομένων τὰ ἐν αὐτῷ. E.

ἐπιβώσομαι] ἐπιβοήσομαι, κατὰ τροπὴν τοῦ ο καὶ η εἰς ω μέγα· ἐπιμαρτύρομαι, ἐπικαλέσομαι. E.

379. αἴκε πόθι Ζεὺς] διχῶς, αἴκε καὶ εἴκε. αἱ δὲ χαριέστεραι διὰ τοῦ α. M. 30

1. ὕβριν] ὑβρισθεῖσαν S.
2. ἐθορύβησαν] ἐθορυβήθησαν P. Correctum ex scholio præcedente.
4. μεγάλην—χειμῶνος] μεγάλα τὰ —χιόνος E. Correctum ex Eustathio.
5. ὕψος] πολὺ τοῦ ὕψους Eustath.
9. ἀοιδὸς] κιθαρῳδὸς Q.
12. τὸν Buttm. pro τοῦ.
13. ἐμμελοῦς Maius pro ἐμμελῶς.
17. ἀλέγω Eustath. λέγω E.
23. ἀποδεχόμενοι correctum ex schol. præcedente pro ἀπερχόμενοι.
25. χωραφίῳ] χωράφιον, prædium, ager cultus. Vid. Ducangium. BUTTM.
30. διὰ addidit Cobetus.

δῶσι] ὡς "δῶσι πόλιν Τροίην" (Il. α, 129.) M. διαμερίζεται δῶ· τὸ δὲ σι κατ' ἐπέκτασιν. B.

παλίντιτα] παλίντροπα, παλιντιμώρητα, τὰ εἰς τιμωρίαν ἀντιστρόφως εἰσπραττόμενα. S. ὑπὲρ ὧν ἐξ ἑτέρου τιμωρία γίνεται. V.

380. νήποινοι] πολύποινοι· ἐκτὸς ἐκδικήσεως· ἤτοι ἀβοήθητοι, εἰρωνικῶς. E. 5

381. ὀδὰξ] μετὰ τῶν ὀδόντων· ἀπὸ τοῦ δήκω, δήξω, δήξ καὶ δάξ, καὶ πλεονασμῷ τοῦ ο, ὀδάξ, ἤτοι δακόντες τὰ χείλη. E.

383. Ἀντίνοος] πρῶτος τῶν μνηστήρων. B.

385. ὑψαγόρην] μεγαλορρήμονα, ἐν τῷ λέγειν ὑπερήφανον. S. ἀπὸ 10 τοῦ ὑψηλῶς ἀγορεύειν.

386. ἀμφιάλῳ] περιρρεομένῃ πανταχόθεν ὑπὸ θαλάσσης. M. τῇ ἀμφοτέρωθεν ῥεομένῃ ἐν θαλάσσῃ. B.

389. εἴπερ μοι καὶ ἀγάσσεαι] ἐν ἐνίοις γρ. νεμεσήσεαι. εἰ καὶ μέλλεις θαυμάζειν. M. 15

Ἀντίνοε] πῶς Ἀντινόου εἰπόντος "μή σέ γ' ἐν ἀμφιάλῳ Ἰθάκῃ βασιλῆα Κρονίων ποιήσειεν, ὅ τοι γενεῇ πατρώϊόν ἐστιν," ὁ Τηλέμαχος ὥσπερ τοὐναντίον ἀκούσας φησὶ "καί κεν τοῦτ' ἐθέλοιμι Διός γε διδόντος ἀρέσθαι;" εἰ μὲν γὰρ εἰρήκασι, βασιλῆά σε ποιήσειαν οἱ θεοί, ἀκόλουθον ἦν φάναι, "καί κεν τοῦτ' ἐθέλοιμι," ὡς καὶ αὐτοῦ 20 ἐθέλοντος τὸν Δία δῆθεν πιστεῦσαι αὐτῷ τὴν βασιλείαν καὶ συνευχομένου· τῷ φαμένῳ δὲ, μὴ ποιήσειέ σε μηδὲ δοίη σοι ὁ θεὸς τὴν βασιλείαν, * * * * ἀλλ' οὐ τοὐναντίον ὅτι βασιλεῦσαι εὔχεται, ᾧπερ τί παραστῆσαι βούλεται ὁ Τηλέμαχος; ῥητέον οὖν ὅτι ἐστὶ

1. Τροίην] τρωΐην M.

3. παλίντιτα] Conf. schol. ad 394.

5. ἐκδικήσεως] Sic corrigendum erat quod in E. est διοικήσεως, non δικήσεως, quod voluit Buttm. Quod vocabulum affertur quidem ex Sirac. 47, 29. ἕως δίκησις ἔλθῃ ἐπ' αὐτούς, sed hic quoque corruptum est ex ἐκδίκησις, quod legitur eodem in libro 7, 17. et 12, 6.

12. περιρρεομένῃ—θαλάσσης] Hæc in M. scholio ad v. 320. sunt inserta.

14. νεμεσήσεαι] Eadem scripturæ diversitas annotata in H., qui in textu habet εἴπερ μοι καὶ ἀγάσσεαι, sed literis περ μοι καὶ ex correctione positis. In marg. ἐν ἐνίοις νεμέσσηαι, in alio scholio εἰ καί μοι νεμεσσήσεαι, quod εἰ καί μοι νεμεσήσεαι scribendum, ut legitur apud Eustathium p. 1425, 17.

18. Διός γε] θεοῦ E.

19. ἀρέσθαι] εὑρέσθαι H.

23. Post βασιλείαν indicavi lacunam. Sensus verborum quæ exciderunt fuit ἀκόλουθον ἦν φάναι, οὐκ ἂν τοῦτ' ἐθέλοιμι.

24. ᾧπερ H. ὥσπερ E., quod in ὥστε mutari volebat Buttm.

τὸ "τοῦτο" δεικτικὸν, καὶ οὐ κοινῶς ἐπὶ τὸ προειρημένον ὑπὸ τοῦ Ἀντινόου ἀναφέρεται, ἀλλ' ὅτι ἡ περίοδος τοῦ λόγου ἀνέστραπται. ἔστι γὰρ αὕτη "οὐ μὲν γάρ τι κακὸν βασιλευέμεν, αἶψά τέ οἱ δῶ ἀφνειὸν πέλεται καὶ τιμηέστερος αὐτός· καί κεν τοῦτ' ἐθέλοιμι Διός γε διδόντος ἀρέσθαι" ἢ σύ γε τοῦτο νενόμικας ἐν ἀνθρώποισι κάκιστον τετύχθαι, οὐδὲν ἦν ἄτοπον. οὕτω καὶ νῦν τοῦτον ἐχόντων τὸν τρόπον τῶν ἐπῶν, ἀνεστραμμένης τῆς περιόδου ἀκουστέον 5

καί κεν τοῦτ' ἐθέλοιμι Διός γε διδόντος ἀρέσθαι·
ἢ φὴς τοῦτο κάκιστον ἐν ἀνθρώποισι τετύχθαι;

ἐπεὶ γὰρ ὡς ἐν εὐχῇ προήγαγε τὸν λόγον Ἀντίνους 10

μὴ σέ γ' ἐν ἀμφιάλῳ Ἰθάκῃ βασιλῆα Κρονίων
ποιήσειεν,

ἀπευχόμενος διὰ τὸ μῖσος τὴν τεῦξιν τῆς ἀρχῆς, Τηλέμαχος οὐχ ὡς ἐχθροῦ προσποιεῖται τὴν ἀπευχὴν τοῦ ἀγαθοῦ, ἀλλ' ὡς φίλου ὄντος ἀπευχὴν τινὸς κακοῦ, οὐκ ἐλέγχων ὅτι ἐξ ἀπεχθείας πεποίηται τὴν 15 τοῦ ἀγαθοῦ ἀπευχὴν ὁ Ἀντίνους, προσποιούμενος δὲ ὡς ἀπὸ φίλου γενέσθαι κακοῦ παραίτησιν δι' εὐχῆς διορθοῦσθαι προσποιεῖται, ὅτι δὲ μὴν τοῦτο θέλει Διός γε διδόντος ἀρέσθαι, τὸ βασιλεῦσαι δηλονότι, ὃ σύ μοι ἀπηύξω κηδόμενος ἴσως ἐμοῦ· ἐπερωτᾷ δὲ,

ἢ φὴς τοῦτο κάκιστον ἐν ἀνθρώποισι τετύχθαι; 20

καὶ ἐπάγει, καὶ μὴν οὐκ ἔστι κακόν·

οὐ μὲν γάρ τι κακὸν βασιλευέμεν.

διὰ τί δέ; αἶψά τέ οἱ δῶ, καὶ τὰ ἑξῆς. εἶτα περὶ μὲν τῆς βασιλείας φησὶ μὴ ἀμφισβητεῖν, περὶ μέντοι τοῦ κρατεῖν τοῦ ἑαυτοῦ οἴκου. ἀλλ' ἤτοι βασιλῆες Ἀχαιῶν εἰσι καὶ ἄλλοι 25

πολλοὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ νέοι ἠδὲ παλαιοὶ,
τῶν κέν τις τόδ' ἔχῃσιν, ἐπεὶ θάνε δῖος Ὀδυσσεὺς

1. τὸ τοῦτο H. τοῦτο τὸ E.
οὐ κοινῶς om. H., ἐπὶ om. E.
2. τοῦ λόγου om. H.
ἀνέστραπται] ἀντέστραπται E.
3. μὲν] μὴν H.
4. τιμηέστερος] τιμιέστερος H.
5—22. ἢ σύ γε—βασιλευέμεν H. In E. nihil præter ἢ φὴς τοῦτο κάκιστον ἐν ἀνθρώποισι τετύχθαι; καὶ ἐπάγει, καὶ μὴν οὐκ ἔστι κακόν· οὐ μὲν γάρ τι κακὸν βασιλευέμεν.
6. οὐδὲν ἦν ἄτοπον] Hæc verba nec cum antecedentibus cohærent, nisi ἢ σύ γε in εἰ σύ γε mutetur, nec cum sequentibus: ut aliquid excidisse videatur.
8. τοῦτ' ἐθέλοιμι — ἔσεσθαι] τοῦτο θέλοιμι—ἔσεσθαι H.
13. Delevi δὲ post Τηλέμαχος lectum.
17. ὅτι δὲ μὴν] δὲ aut delendum aut saltem in καὶ mutandum.
21. οὐκ ἔστι] οὐκέτι H.
23. δέ om. H.
25. Ἀ. εἰσι] εἰσὶν ἀ. E.
26. πολλοὶ—Ὀδυσ.] καὶ τὰ ἑξῆς E.

ὡς τῆς βασιλείας μετὰ τὸ ἀποθανεῖν τὸν βασιλέα ἐπὶ τῇ τύχῃ κειμένης, τῶν δὲ κτημάτων ὧν δέδωκεν ὁ βασιλεὺς ὀφείλοντα κύριον εἶναι ᾧ δέδωκε. πᾶς οὖν ὁ λόγος ῥητορικὸς καὶ ἐνθυμηματικός. διὸ καὶ τῆς περιόδου ἀνεστραμμένης προενήνεκται. E.H.

Ἄλλως. ὁ μὲν ηὔχετο μὴ τυχεῖν αὐτὸν τιμῆς, ὁ δὲ σαρκάζων αὐτόν φησι, βούλομαι βασιλεύειν, καὶ εἰ διδάσιν οἱ θεοὶ, λάβοιμι ἄν· ἀλλ' ἐπειδή εἰσιν ἐπιτήδειοι εἰς βασιλείαν ἕτεροι, αὔταρκες ἐμοὶ τῶν ἐμῶν ἄρχειν. ἠρέμα δέ πως παραδηλοῖ τῷ Ἀντινόῳ ὅτι, κἂν αὐτὸς ἐκβληθῇ τῆς τιμῆς, οὐκ ἀπονητὶ κρατήσει ὁ Ἀντίνοος ἢ ἕτερός τις τῶν μνηστήρων· εἶναι γὰρ καὶ ἄλλους ἐπιτηδείους εἰς τὸ ἄρχειν. E.H.Q.

καί κεν τοῦτ' ἐθέλοιμι] τὸ ἰδιωτεύειν Διὸς βουλομένου· οὐδὲ γάρ ἐστι πάνυ κακόν. M.V.

394. ἀλλ' ἤτοι βασιλῆες] ὃ λέγει τοιοῦτόν ἐστι· βασιλεῖς εἰσι πολλοὶ ἐν τῇ ἀμφιάλῳ Ἰθάκῃ, ἤτοι ἐπιτήδειοι εἰς τὸ ἄρχειν· ἀφ' ὧν τίς τὸ βασιλεύειν ἔχει ἐν τῷ οἴκῳ τοῦ ἐμοῦ πατρὸς Ὀδυσσέως, διὰ τὸ θανεῖν ἐκεῖνον; ἐὰν ἡμῖν ὁ Ζεὺς δώσει ἔργα παλίντροπα, ἤτοι ἐναντία τῶν πράξεων τῶν μνηστήρων, καὶ βοηθήσῃ, ἐγὼ ἔσομαι ἄναξ τοῦ ἐμοῦ οἴκου καὶ οὐχ ὑμεῖς. H.Q.

398. λῃΐσατο] ἀπὸ λείας πολεμικῆς ἐκτήσατο. λεία γὰρ κυρίως ἡ τῶν πολεμικῶν λαφύρων συναγωγή. P.V.

403. μὴ γὰρ ὅδ' ἔλθοι ἀνὴρ] οἱ μὲν λόγοι μέτριοι, τὰ δὲ ἔργα μαχόμενα. S.

βίηφι] γρ. βίηται. P.

404. ναιεταώσης] τὸ ἐνεργητικὸν ἀντὶ παθητικοῦ, ᾠκισμένης οὔσης, ἤτοι ἡμῶν ζώντων. B.

405. ἐρέσθαι] περὶ τοῦ ξένου, ἤτοι Ἀθηνᾶς τῆς μεταβληθείσης εἰς τὸ εἶδος τοῦ Μέντου. Q.

2. ὧν] ἐξ ὧν H.
ὀφείλοντα] ὀφειλόντων H.
3. ᾧ Buttm. ὧν H. ὃν E.
4. ἀνεστραμμένης H. ἀνηραμμένης E.
προενήνεκται Buttm. προσεινήνεκται H. προσήνεκται E.
5. τυχεῖν] κατέχειν H.
6. βούλομαι] ὅτι βουλόμενος H.
καὶ εἰ] καὶ om. H.
7. ἐπειδή] ἐπεί H.

12. 13. Hoc scholion in M. legi ad v. 320. supra dixi.
12. οὐδὲ] οὐδὲν M.
16. ἔχει] ἕξει Buttm.
17. δώσει] Aut δῷ scribere debebat, aut, qua forma scholiastæ interdum utuntur, δώσῃ, nisi Homericum δῷσι servare vellet, quod legitur v. 379. Ibidem non παλίντροπα est, sed παλίντιτα.
18. βοηθήσῃ H. βοηθήσει Q.

406. εἶναι] ἀντὶ τοῦ ἰέναι, ὡς Ἡσίοδος "καὶ τῷ προσιόντι προσεῖναι," ἐπείτοιγε διισσολογία εὑρίσκεται. Q.R.S.

408. πατρὸς φέρει ἐρχομένοιο] τινὲς γράφουσιν, οἰχομένοιο. ἄμεινον δὲ εὐφημίζεσθαι τὴν ἄφιξιν τὸν Εὐρύμαχον ὑποθωπεύοντα Τηλέμαχον πρὸς τὸ μαθεῖν περὶ τοῦ ξένου. E.Q.R.S. 5

409. τόδ' ἱκάνει] τὸ τόδε ἀντὶ τοῦ τῇδε, ὅ ἐστιν ἐνταῦθα ἀντὶ τοῦ αὐτόθι. H.S.

411. γνώμεναι] ὥστε γνωρισθῆναι παρ' ἡμῶν. S.

ἐῴκει] οὐ γὰρ κατὰ τὴν πρόσοψιν ὅμοιος ἦν τῷ κακῷ. S.

413. Εὐρύμαχ', ἤτοι] ἡ μὲν ἐρώτησις ἁπλῆ περὶ τοῦ ξένου εἴ τι 10 ἀγγέλλει· ὁ δὲ ἐν κεφαλαίῳ δηλώσας τὸ κεχαρισμένον Εὐρυμάχῳ ταῦτα ἐπάγει, οἷον, ἐάν τις ἔλθῃ ἐφ' ἡμᾶς ἀγγελία ἢ μαντεία· αὐτὸς δὲ προσέχειν οὐδενί φησι. διόλου οὖν ἔργον ἐστὶ Τηλεμάχῳ ἐν ῥαθυμίᾳ αὐτοὺς διαφυλάσσειν. E.H.Q.S.

ἤτοι νόστος] ἡ μὲν οἴκαδε ἐπάνοδος καὶ ὑποστροφὴ τοῦ ἐμοῦ πα- 15 τρός. S.

ἐμοῖο] ἀγνοοῦντές τινες "ἐμεῖο" γράφουσιν· ὁμοίως ἐν Ἰλιάδι, "μνῆσαι πατρὸς σεῖο" (ω, 486.), δέον κτητικῶς. H.M.S.

414. ἔτι πείθομαι] γρ. ἐπιπείθομαι. M. a m. rec.

415. ἐμπάζομαι] διὰ φροντίδος ἔχω, ἀντιποιοῦμαι. S. 20

ἥντινα μήτηρ] τινὲς ψιλοῦσι τὸ "ἥντινα μήτηρ," ἵν' ᾖ, εἴτινα. ἄμεινον δέ ἐστι δασύνειν. ἐξεφαύλισεν ὡς γυναικεῖον ὂν ταῖς τοιαύταις μαντείαις πιστεύειν. E.Q.S.

416. ἐς μέγαρον] δεόντως περὶ τοῦ προσώπου τἀληθῆ λέγει εἰς τὸ τὴν ὑποψίαν ἀνελεῖν τοῦ πεποίθεσθαι παρ' αὐτοῖς περὶ Ὀδυσσέως. 25 H.Q.

1. Ἡσίοδος] Op. 351.

3. τινὲς γράφουσιν οἰχομένοιο] In H. est γρ. πρὸς οἰχομένοι (sic) φέρει.

6. τὸ τόδε—αὐτόθι] τόδε ἀντὶ τοῦ δέ, ὅ ἐστιν ἐνταῦθα· τὸ δὲ τόθι ἀντὶ τοῦ αὐτόθι. S.

11. ἀγγέλλει S. ἀγγείλοι E.Q. ἀγγείλῃ H.

12. ταῦτα Buttm. pro πάντα.

ταῦτα—μαντεία] πάντα ἐποίει. οὕτω μέν τις ἐλπὶς ἐφ' ἡμᾶς ἀγγέλλουσα μαντείας S.

ἐάν] ἄν H.

ἔλθῃ—ἀγγελία ἢ μαντεία correxi pro ἐλπὶς—ἀγγελοῦσα μαντείας, quod est in E.H.Q.

13. διόλου—διαφυλάσσειν om. S.

17. τινες] Intelligendus Zenodotus: v. Wolf. Proleg. p. 209. et Heyn. ad Il. ω, 486. vol. 8. p. 696.

ἐν om. H.

18. κτητικῶς] ἀτικῶς H.S.

21. τινὲς—εἴτινα est etiam in H.

τινὲς ψιλοῦσι post ἥντινα S.

22. ἐστι δασύνειν] εἰς τὴν S.

ὂν Struvius pro ἐν, quod om. S.

25. τοῦ πεποίθεσθαι παρ' αὐτοῖς] An τοῦ πεπύσθαι παρ' αὐτῶν? sc. τῶν μάν-

καλέσασα θεοπρόπον] τοῦτο δὲ λέγει ἐπεὶ ἡ Πηνελόπη τοὺς μάντεις καλοῦσα ἠρώτα περὶ τοῦ Ὀδυσσέως. B.

θεοπρόπον] τὸ ἐκ θεοῦ λεγόμενον, ἐξ οὗ καὶ θεοπρόπος ὁ τὰ τοῦ θεοῦ λέγων. S.

417. ἐκ Τάφου] πόλις μία τῶν Ἐχινάδων. S. Τάφος σημαίνει τέσσαρα· τὴν νῆσον, ὡς τὸ "Ταφίοισι φιληρέτμοισιν ἀνάσσει·" τάφος ἡ ἔκπληξις, ὡς τὸ "ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεύς" (Il. ι, 193.)· τάφος ὁ ἐπιτάφιος δεῖπνος, ὡς τὸ "δαίνυ τάφον Ἀργείοισι" (Od. γ, 309.)· τάφος καὶ τὸ μνημεῖον. E.

418. δαΐφρονος] τοῦ πολεμικὸν φρόνημα ἔχοντος. S.

420. ἔγνω] ἔγνω καὶ ἐβουλεύσατο μὴ εἰπεῖν αὐτοῖς τὴν βουλὴν ἣν συνέθετο αὐτῷ ὁ Μέντης. P.

421. ἱμερόεσσαν] τὰς πίστεις πρὸς τὴν ἐπιθυμίαν λαμβάνουσιν· ἐμφρόνων δὲ ἦν τὸ μὴ πιστεύειν ἐχθρῷ. E.Q.

422. ἐπὶ ἕσπερον] οὕτως εἶπε τὴν ἑσπέραν. ἄκρως δὲ κατηγορεῖ τῆς τῶν ἀργῶν ἀπραξίας. ὑπὸ γὰρ ἀργίας προσδέχονται πότε νὺξ ἐπιγένηται. E.Q.S.

423. ἕσπερος] μετέπλασε τὴν ἑσπέραν εἰς τὸ ἑσπερινὸν δεῖπνον. S.V.

424. δὴ τότε κακκείοντες] κατακοιμηθησόμενοι, ἔφεσιν ἔχοντες κοιμηθῆναι. E.Q.

ἔνιοι "δὴ τότε κοιμήσαντο καὶ ὕπνου δῶρον ἕλοντο." μεταποιηθῆναι δέ φασιν ὑπὸ Ἀριστοφάνους τὸν στίχον. ἐν δὲ τῇ Ἀργολικῇ προστέθειται. E.H.M.Q.R.

425. θάλαμος] ὁ κοιτών, ὁ ἐνδότατος οἶκος, παρὰ τὸ θάλλειν ἅμα. S.

426. περισκέπτῳ] ὑψηλῷ, ὅθεν ἔστι περισκέψασθαι, ἢ πανταχόθεν ὁρωμένῳ, τῷ μεσαιτάτῳ. E. ἐν τῷ περισκέπτῳ τῆς αὐλῆς, ὅ ἐστιν ἐν τῷ μεσαιτάτῳ καὶ πανταχόθεν ἐκ τῆς αὐλῆς σκοπουμένῳ. Q.S.

τεων. An παρ' αὐτοῦ sc. τοῦ Μέντου. Nam videtur mihi hoc scholium spectare potius ad v. 417. BUTTM.

8. δαίνυ] δαίνυν E. Conf. schol. ad γ, 309.

15. οὕτως S. ὅπως E.Q.

16. πότε νὺξ ἐπιγένηται] τότε νὺξ ἐπιγενέσθαι. ἕσπερον δὲ εἶπε τὴν ἑσπέραν. S.

22—24. Hoc scholion est etiam in cod. Paris. 2404. CRAMER.

23. Ἀργολικῇ] ἀργολογικῇ H.M. et Paris. 2404.

24. προστέθειται] Quid? Videtur aliquid excidisse.

27. περισκέπτῳ] Cf. sch. ad ξ, 5.

28. ἐστιν — πανταχόθεν] ἐστι τῷ πανταχόθεν S.

427. μερμηρίζων] εἰς πολλὰ μέρη μερίζων τὴν ψυχὴν, καὶ ἐνθυμούμενος περὶ τῆς ἐσομένης ἐκκλησίας. E.Q.S. διανοούμενος, μεριμνῶν, εἰς πολλὰ μέρη διαιρῶν τὴν ψυχήν. V.

428. δαΐδας] δαΐς ὀξυτόνως ἡ λαμπὰς, δάϊς δὲ βαρυτόνως ἡ μάχη. S.

κέδν' εἰδυῖα] προσφιλῆ, συνετὰ φρονοῦσα. S. 5

429. Εὐρύκλει', Ὦπος] ἀκριβῶς διέξεισι τὰ περὶ αὐτῆς, ἐπεὶ πολλὰ μέλλει δι' αὐτῆς γίνεσθαι. Q. Ὦπος προπερισπαστέον, διὰ τὴν ἀντέκφρασιν πρὸς τὸν ὀφθαλμόν. V. πεπλασμένα εἰσὶ τὰ παρόντα ὀνόματα. Εὐρύκλεια ἡ εὐρὺ καὶ μέγα κλέος ἔχουσα, ἡ θυγάτηρ τοῦ Ὦπος, τοῦ περιβλέπτου, ἀπὸ τοῦ ὦψ ὁ ὀφθαλμὸς, τοῦ υἱοῦ τοῦ 10 Πεισήνορος, ἤγουν τοῦ ἰσχυροῦ, τοῦ τοὺς ἄνδρας πείθοντος, ἢ τοὺς ἀνδρείους, ἀπὸ τοῦ πείθειν τὴν ἠνορέην. P.

430. κτεάτεσσιν] ἐκ τῶν ἰδίων κτημάτων. S.

431. ἑεικοσάβοια] εἴκοσι νομίσματα ἐγκεχαραγμένους ἔχοντα βοῦς· ἢ εἴκοσι βοῶν τιμήν. E. vel Q. 15

433. ἀλέεινε γυναικός] τοῦτο πρὸς τὸ δεῖξαι τὸ σῶφρον ἐκ γένους. ἅμα δὲ στοχάζεται τῶν πολλῶν ὁ Ὅμηρος, τίνας ποτὲ ἔχουσιν ὑποψίας. E.Q.

436. πύκα] πυκνῶς, καλῶς κατεσκευασμένου. S.

438. γρηός] γρ. γραίης. 20

πυκιμηδέος] τῆς συνετὰ βουλεύματα εἰδυίας. S. καὶ τοῦτο πεπλασμένον . . . τῆς, ἤγουν τῆς πυκνὰ καὶ συνετὰ μήδεα ἐχούσης. P.

440. τρητοῖσι] τορνευτοῖς, ἱμαντοδέτοις. Q.

441. ἐπέρυσσε κορώνῃ] ἐπεσπάσατο τῷ κόρακι λεγομένῳ. E.V.

κορώνη τὸ ἄκρον τοῦ τόξου, εἰς ὃ ἡ νευρὰ τίθεται. λέγεται δὲ καὶ 25 ὁ κρίκος τῆς θύρας· καὶ τὸ ζῷον· καὶ ὄρνεον ἄλλο θαλάσσιον, ὃ καλεῖται αἴθυια, λάρος· καὶ εἶδος στεφάνου τὸ ἐκ τῶν ἴων πεπλεγμένον· καὶ ὁ κόραξ. τῷ κρικίῳ, ᾧ ἐπισπώμεθα τὴν θύραν, ἤτοι τῷ λεγομένῳ κόρακι, καὶ τῷ ἐπισπάστρῳ τῆς θύρας. Q.

1. εἰς] καὶ εἰς E.Q.
μέρη μερίζων S. μερμηρίζων E.Q.
12. ἠνορέην Buttm. pro ὀρέην.
16. τὸ σῶφρον] Telemachi scilicet. BUTTM.
17. ἔχουσιν ὑποψίας] ὑπονοίας ἔχουσιν Q.
21. Quæ punctis notavi legere non potui: sed videtur esse ἐστὶν, ut vox τῆς sit delenda. BUTTMANN. Fort. συνετῆς.
22. ἐχούσης] εἰδούση P.
24. κορώνη] Conf. schol. ad η, 90.
27. λάρος] Vid. schol. ad ε, 66. BUTTM.
τὸ Buttm. pro ὁ.
29. ἐπισπάστρῳ] ἐπισπάστῳ Q., in quo consentit V. Correxi ex Eustathio.

442. ἐτάνυσσεν ἱμάντι] τὸ λεγόμενον ὑφ' ἡμῶν κλεῖθρον. δύο δὲ εἶχεν ἱμάντας ἐξηρτημένους διά τινων τρήσεων, ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ ἀριστερῶν, εἰς τὸ δύνασθαι καὶ ἀνοῖξαι καὶ κλεῖσαι. νῦν οὖν τὸ κλεῖθρον παρέτεινε καὶ παρήγαγε τῷ ἱμάντι. κλεῖθρον δέ ἐστιν ἔξωθεν ἐφελκόμενον διὰ τοῦ ἱμάντος, ὃς συνέχει τὴν θύραν, ἀνοίγει δὲ μονοβάλανος κλεὶς καθιεμένη καὶ εἰς τὸ ἕτερον μέρος ἀποδιωθοῦσα τὸ κλεῖθρον, ὥστε κλεισθὲν μηδένα ἔσωθεν ἀνοίγειν. E.H.M.Q.S.V.

Ἄλλως. ὡς ἐνημμένου τινὸς ἱμάντος τῷ κλείθρῳ πρὸς τὸ παρολισθεῖν αὐτὸν ἀπὸ τοῦ ἔξωθεν ἐπικλείοντος. E.

ἐτάνυσσεν] ἤγουν ἐκρέμασεν τὴν κληῖδα τῷ χώρῳ. P.

443. οἰὸς ἀώτῳ] τῷ ἄνθει τῆς οἰός, ὅ ἐστι τῇ σισύρᾳ, ἤγουν τῷ ἐξ ἁπαλῶν ἐρίων γεγονότι περιβολαίῳ. H. τῷ ἄνθει καὶ τῷ καλλίστῳ τοῦ προβάτου. λέγει δὲ τῶν ἐξ ἁπαλῶν ἐρίων γεγονότων περίβολαίων. V. ἤγουν τοῖς πέπλοις τοῖς ἀπὸ τῶν ἀπανθισμάτων τῶν μαλλίων τῶν προβάτων κατεσκευασμένοις. P.

444. πέφραδ' Ἀθήνη] ἐβουλεύσατο, εἶπεν, ἐσήμανεν αὐτῷ. S.

B.

ΥΠΟΘΕΣΙΣ.

Συναγαγὼν ἐκκλησίαν Τηλέμαχος παραγγέλλει τοῖς μνηστῆρσιν ἐξιέναι τῆς οἰκίας τοῦ Ὀδυσσέως. καὶ λαβὼν παρὰ μὲν Εὐρυκλείας τὰ πρὸς τὴν ἀποδημίαν ἐπιτήδεια, παρὰ δὲ τῆς Ἀθηνᾶς ἑταίρους τε καὶ ναῦν, εἰς πλοῦν ἀνάγεται ἡλίου δύναντος. E.H.M.P.Q.S.V.

1. ὑφ' ἡμῶν H. ἐφ' ἡμῶν V. ἐφ' ἡμῖν S. παρ' ἡμῖν E.Q.
2. εἶχε] τόδε ἔχει S.
ἱμάντας S. τοὺς ἱμάντας ceteri.
ὃν—ὃν] ἓν—ἓν Maii editio.
3. καὶ ἀνοῖξαι] καὶ om. S.
τὸ κλεῖθρον] τῷ κλείθρῳ S.
νῦν οὖν] νῦν μὲν E.Q.
4. κλεῖθρον δὲ—ἱμάντος solus habet S.
5. ὃς συνέχει—ἔσωθεν ἀνοίγειν] Hæc soli habent M.S. Post ἀνοίγειν pergit S. ἱμάντες, τοῖς ἱμαντοδέτοις δὲ ὧν ἐκτετρημένων ἢ τῶν ἱμάντων, δηλαδὴ τῶν ἐνηλάτων, ἔκτασις γίνεται τῷ κρικίῳ, ᾧ ἐπισπώμεθα τὴν θύραν, τῷ λεγομένῳ κόρακι, τῷ ἐπισπάστῳ τῆς θύρας. Quæ partim supra leguntur in scholio ad v. 441.
15. μαλλίων] μαλλίον, sic duplici λλ scribenda videtur hæc vox ubicunque *vellus* et *floccos* significat, ut infra ad δ, 135. ubi vel ex accentu patet pro μαλίον scribendum esse μαλλίον. Contra μάλιον uno λ et proparoxytone nonnisi de *capillis* in usu fuisse videtur: cf. Schneid. et Ducangium. BUTTM.
18—22. Hoc argumentum apud Eustathium p. 1429.
20 et 21. τοῦ et τῆς habent M. et Eustathius, om. ceteri.
20. καὶ λαβὼν] λαβὼν δὲ S.
21. ἑταίρους] ἑτέρους S.
22. Post δύναντος H. add. περὶ τοῦ μὴ εἶναι εἱμαρμένην καὶ τύχην καὶ

ΑΛΛΗ ΥΠΟΘΕΣΙΣ.

Ἅμα ἕω Τηλέμαχος συναγαγὼν εἰς ἐκκλησίαν τοὺς Ἰθακησίους κελεύει τοὺς μνηστῆρας ἀπαλλάττεσθαι τῆς οἰκίας, καὶ ναῦν αἰτήσας παρ᾽ αὐτῶν, ὅπως εἰς Πύλον καὶ Σπάρτην πορευθῇ, ἀποτυγχάνει. παρὰ δὲ Νοήμονος λαβὼν καὶ ἐφόδια παρὰ Εὐρυκλείας τῆς τροφοῦ αὐτοῦ λάθρα τῆς μητρὸς ἀποπλεῖ. H.M.S. et MS. Barnes.

---

1. Τὸ ἦμος τροχαϊκόν ἐστι καὶ διὰ τοῦτο ψιλοῦται. ἀπὸ μέρους καλὴ ἠριγένεια, ἢ ἡ τῷ ἦρι γεννωμένη, τουτέστι τῷ ὄρθρῳ, ἢ ἡ τὸ ἦρ γεννῶσα, τουτέστι τὴν πρωΐαν. E.

ἠριγένεια] ἦρ γεννῶσα, τουτέστι τὴν πρωΐαν, ἢ ἐν τῷ ἦρι γεννωμένη, ὅπερ ἐστὶν ὄρθρος. Q.V. ῥοδοδάκτυλος δὲ ἀπὸ τῆς πρωϊνῆς ἀνατολῆς καὶ τοῦ χρώματος τοῦ περὶ τὸ διάστημα τὸ πρωϊνὸν τὴν ἡμέραν δι᾽ ἐπιθέτου κεκόσμηκεν. V.

ῥοδοδάκτυλος ἠὼς] ἤτοι ῥοδόχρους. ἀπὸ μέρους καλή, ἀπὸ τῆς πρωϊνῆς ἀνατολῆς. S. ἠὼς διάφορα σημαίνει· τήν τε σωματοειδῆ θεὸν διὰ τοῦ φάναι τὸν ποιητὴν "ἠὼς δ᾽ ἐκ λεχέων παρ᾽ ἀγαυοῦ Τιθωνοῖο ὤρνυθ᾽, ἵν᾽ ἀθανάτοισι φόως φέροι ἠδὲ βροτοῖσι" (Il. λ, 1.) καὶ τὸν ὄρθρον φερωνύμως κληθέντα ἀπὸ τοῦ ὀρθοῦσθαι ἡμᾶς ἀπὸ τῆς κοίτης καὶ περὶ τὰ οἰκεῖα τρέπεσθαι ἔργα, ὡς ὅταν φησὶν "ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ᾽ αἶαν" (Il. θ, 1.)· καὶ τὸ ἀπὸ πρωΐας μέχρις ὥρας ἕκτης διάστημα, ὡς τὸ "ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ" (Il. θ, 66.)· καὶ τὴν ὅλην ἡμέραν, καθ᾽ ὃ σημαινόμενον ἡμέρα νοεῖται ὁ ἀπὸ ἀνατολῆς τοῦ ἡλίου δρόμος μέχρι δύσεως, ὁπότε τὴν ὑπὲρ ἡμᾶς ποιεῖται φορὰν ὁ θεὸς οὗτος, τὸ παρ᾽ ἡμᾶς διεξιὼν ἡμισφαίριον, ὡς τὸ "οἵ ῥ᾽ ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοὶ ἠοῖ

γένεσιν κατὰ τοὺς ἄφρονας Ἕλληνας, καὶ αὐτὸς ὁ μέγιστος ποιητὴς αὐτῶν Ὅμηρος μάρτυς. πεποίηται γὰρ οὕτως ἐν τοῖς ἔπεσιν αὐτοῦ ὁ Ζεὺς διαλεγόμενος πρὸς τοὺς ὁμοίους αὐτῷ δαίμονας περὶ τῆς Αἰγίσθου μοιχείας, καὶ τῆς ἐπὶ τῷδε ποινῆς "ὦ πόποι, οἷον δή νυ θεοὺς αἰτιόωνται, ἐξ ἡμέων γάρ φασι" καὶ τὰ ἑξῆς. ἕως τοῦ "ἄλγε᾽ ἔχουσιν" — quæ ad α, 32–35 spectant. CRAMER.

1. Ἄλλη ὑπόθεσις addidi ex H. In M.S. est Ἄλλως.

3. τοὺς μ. ἀ. τῆς οἰκίας M.S. τῆς οἰκίας μ. ἀ. ceteri.

6. αὐτοῦ addidi ex M.S.

ἀποπλεῖ M.S. ἐκπλεῖ ceteri.

8 — 9. ἠριγένεια] ἐστὶν, ἡ ἦρ γεννῶσα, τουτέστι τὴν πρωΐαν, ἢ τὴν ἐν τῷ ἦρι γεννῶσαν, ἤτοι τῷ ὄρθρῳ S.

17. ὤρνυθ᾽—βροτοῖσι addidi ex H. M.

23. ὁπότε—ἡμισφαίριον habent M. V., om ceteri.

25. ἀμοιβοὶ] ἀμοιβὴ H.P.

τῇ προτέρῃ, τότε δὲ Ζεὺς ὦρσε μάχεσθαι." (Il. ν, 793.)· καὶ "ἤματι τῷ προτέρῳ, ὅτ' ἐμαίνετο φαίδιμος Ἕκτωρ" (Il. φ, 5.)· καὶ τὸ συναμφότερον ἡμέραν τε καὶ νύκτα. καθ' ὃ σημαινόμενον καὶ παρὰ τοῖς μαθηματικοῖς νοεῖται, ὡς τὸ "ἠὼς δέ μοί ἐστιν ἥδε δυωδεκάτη ὅτ' ἐς Ἴλιον εἰλήλουθα" (Il. φ, 80.)· καὶ τὴν ἡλίου πάροδον, καὶ τὸν τόπον ὅθεν ἀνατέλλει ὁ ἥλιος κατὰ Ἀρίσταρχον· "ὦ φίλοι, οὐ γὰρ ἴδμεν ὅπῃ ζόφος, οὐδ' ὅπῃ ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ γαῖαν, οὐδ' ὅπῃ ἀνεῖται" (Od. κ, 190.)· νῦν γάρ, καθά φησιν ὁ Κράτης, τῶν τεσσάρων τοῦ κόσμου μέμνηται μερῶν, ἄρκτου, μεσημβρίας, ἀνατολῆς καὶ δύσεως, ἅπερ ἀλλήλοις ἐξ ἀντιθέτου ἀντίκειται, ἡ μὲν ἄρκτος τῇ μεσημβρίᾳ, ἡ δὲ ἀνατολὴ τῇ δύσει. E.H.M.P.Q.V.

εἴπωμεν δὲ καὶ τί τὸ διάφορον τῆς ῥοδοδακτύλου πρὸς τὴν κροκόπεπλον. διὰ μὲν τοῦ κρόκου τὸ πολὺ τῆς νυκτὸς, ὀλίγον δὲ τῆς ἡμέρας δηλοῖ, ἐν οἷς καὶ μετὰ τὸν ἑωσφόρον αὐτὴν ἀνατέλλειν φησὶν, "ὅντε μέτα κροκόπεπλος" (Il. ψ, 227.). διὰ δὲ τοῦ ῥόδου τὸ πολὺ μὲν τῆς ἡμέρας, ὀλίγον δὲ τῆς νυκτὸς δηλοῖ, ἐν οἷς τῷ ὄρθρῳ αὐτὴν ἐπάγει, "ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς·" καὶ τὸ "ἦμος δ' ἑωσφόρος εἶσι φόως ἐρέων ἐπὶ γαῖαν, ὅντε μέτα κροκόπεπλος ὑπεὶρ ἅλα κίδνατο ἠώς" (Il. ψ, 226.)· γεννήσας δὲ ἐκ τῆς κροκοπέπλου τὸν ὄρθρον ἐπάγει τὴν ῥοδοδάκτυλον. ἐν δὲ τῷ "ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν" τὸ ἐκίδνατο παράτασιν ἔχει, οὐ συντέλειαν. ἐπεὶ γὰρ σφαιροειδοῦς ὄντος τοῦ κόσμου καὶ τῆς γῆς οὐχ ἅμα πᾶσι κατὰ τὸ αὐτὸ ὁ ἥλιος ἀνατέλλει οὐδὲ κατὰ τὴν αὐτὴν ὥραν ἡμῖν ἐνίσταται, εἰκότως τὸ ἐκίδνατο ἔφη, τὴν ἐν παρατάσει ἄλλοτε πρὸς ἄλλους ἐπιβολὴν παριστὰς τῆς πορείας. καὶ ὅτι σὺν τῷ ἀποτε-

1. τότε—μάχεσθαι habent M.P., om. ceteri.

Ζεὺς] ὁ ζεὺς T.

ὦρσε M. ἦρχε P.

3. παρὰ om. ed. Mediol.

6. οὐ γάρ ποι ἴδμεν ὅπῃ ζόφος] Sic E.P.Q., nisi quod P. habet οὐ γάρ πῃ. Schol. vulg. integriori sermone οὐ γάρ πῃ ἴδμεν ζόφος, οὐδ' ὅπῃ ἠώς, οὐδ' ὅπῃ ἠέλιος: quæ omnia fortasse non negligenda sunt, ob digamma læsum in vulgata apud Homerum, οὐ γάρ τ' ἴδμεν, ὅπῃ ζόφος, οὐδ' ὅπῃ ἠώς. Quamvis enim facillimum sit τε omittere, ex illis tamen indiciis fortasse colligas lectum etiam olim fuisse

ὦ φίλοι, οὐ γάρ πω ἴδμεν ζόφος οὐδ' ὅπῃ ἠώς·

eo sensu formulæ οὔπω, qui est μ, 208. ὦ φίλοι, οὐ γάρ πώ τι κακῶν ἀδαήμονές εἰμεν, et alibi. BUTTM. Scripsi οὐ γὰρ ἴδμεν ex M., qui πῃ super γάρ scriptum habet. οὐ γάρ πῃ ἴδμεν H.

8. Κράτης] σωκράτης E.P.Q. σοκράτης H.

9. καὶ δύσεως] καὶ om. M.

λέσματι καὶ τὸν κύριον τοῦ ἀποτελουμένου εἶναι βούλεται ἡ μὲν γὰρ θεὸς κροκόπεπλος, ὡς ἂν οὖσα ἔννους τε καὶ ἔμψυχος καὶ ἐν σώματι· τὸ δὲ ἀπ' αὐτῆς φῶς σκεδάννυτο περὶ τὴν γῆν. ὁ δὲ λαβὼν τὴν σωματοειδῆ θεὸν ἐν τῷ κροκόπεπλος συνήντησεν αὐτὴν τῷ σκεδαννυμένῳ ἀπ' αὐτῆς φωτὶ, εἰπὼν αὐτὴν, ἀλλ' οὐχὶ τὸ ἀπ' αὐτῆς φῶς σκεδάννυσθαι. ἔνθα δήπου ἡ σωματοειδὴς ἐπεπόρευτο, ἀλλ' οὐ τὸ ἀπ' αὐτῆς φῶς ἡμερινόν. ἀλλ' οἶδεν, ὅπου τὸ ἀποτέλεσμα, ἐκεῖ καὶ τὸ ἀποτελοῦν. E.Q.

2. ὤρνυτ' ἄρ'] τὸ διὰ τῆς προτροπῆς τῆς θεοῦ πρόθυμον τοῦ νέου διὰ τοῦ ὤρνυτο ἐσήμανε. M.Q.S. ὤρνυτο, ὡς τὸ "ὤχθησαν δ' ἀνὰ δῶμα" (Il. α, 570.). σπανίως γὰρ ὁ ποιητὴς αὔξει τὴν ἄρχουσαν, εἰ μή που διὰ τὸ μέτρον. M.S.

3. εἵματα ἐσσάμενος] λιτὴν τῆς πρόοδου τὴν ἀφήγησιν ἐκ τοῦ κοιτῶνος πεποίηται, οἰκείως τῇ ὀρφανίᾳ καὶ τῷ πένθει τοῦ πατρός· οὐχ οἷός ἐστιν Ἀγαμέμνων προϊὼν εἰς ἐκκλησίαν "μαλακὸν δ' ἔνδυνε χιτῶνα, περὶ δὲ μέγα βάλλετο φᾶρος" (Il. β. 42.). B.H.M.Q.

περὶ δὲ ξίφος] σημαίνει ὅτι τὸ παλαιὸν ὤμοις τὰ ξίφη περιεβάλλοντο καὶ ὡς ἐν Ἰλιάδι φησὶν ὁ ποιητὴς "τῇ ῥα δύο τελαμῶνε περὶ στήθεσσι τετάσθην, ἤτοι ὁ μὲν σάκεος, ὁ δὲ φασγάνου ἀργυροήλου" (Il. ξ, 404.). E.

4. λιπαροῖσιν] λιπαροῖς καὶ πλουσίοις, μεταφορικῶς. S.

5. βῆ δ' ἴμεν] διὰ τοῦτο φοβερὸς μέν ἐστι τοῖς ἐχθροῖς, προσφιλὴς δὲ τοῖς πολίταις. H.

6. αἶψα] ταχέως. S.

αἶψα δὲ] ὁ δέ ποτὲ μὲν παραπληρωματικὸς, ἔστι δ' ὅτε καὶ ἀντὶ τοῦ γάρ αἰτιολογικῶς λαμβάνεται. M.S.

κηρύκεσσι] φύσει μακρὸν τὸ ρυ, κῆρυξ δὲ θέσει. S.

λιγυφθόγγοις] ἡδυφώνοις. S.

κέλευσε] παρεκελεύσατο. S.

1. ἡ μὲν Buttm. pro εἰ μὲν.
6. ἀλλ' οὐ τὸ Buttm. pro ἀλλὰ τὸ.
10. ὤρνυτο—ὤχθησαν—που] ὄρνυτο—ὤχθισαν—πω M.
13. πρόοδου Buttm. pro προσόδου.
ἐκ] Legebatur ὡς καὶ, nisi quod καὶ om. M.
14. κοιτῶνος M. κοίτου ceteri.
ὀρφανίᾳ H.M. ὀρφανείᾳ B.Q.
πένθει τοῦ πατρὸς M. πατρὸς πένθει ceteri.
15. εἰς ἐκκλησίαν om. B.Q.
μαλακὸν δ'] μαλακὸν γάρ φησιν H.
25. 26. Hoc scholion in S. refertur ad ἀγορήνδε v. 7.
26. αἰτιολογικῶς S. αἰτιολογικοῦ M.

7. κηρύσσειν] οὐδὲν μὲν ἀντιπράττουσιν οἱ στίχοι πρὸς τὴν παροῦσαν ὑπόθεσιν, οἰκειότεροι δὲ μᾶλλόν εἰσιν ἐν Ἰλιάδι (β, 51.). M.Q.S.

8. οἱ μὲν ἐκήρυσσον] οὗτοι μὲν οἱ κήρυκες κηρύσσοντες ἐκάλουν, οἱ Ἀχαιοὶ δὲ συνηθροίζοντο πάντες ταχέως. S.

9. αὐτὰρ ἐπεί ῥ' ἤγερθεν] οὐ γὰρ ἔδει προφθάνειν αὐτὸν τὴν σύνοδον τῶν πολιτῶν, συνειλεγμένων δὲ αὐτῶν ἀπιέναι. E.M. μετὰ ταῦτα ἀφ' οὗ δὴ συνήχθησαν, ὁμοῦ δὲ κατὰ ταυτὸν ἐγένοντο. S.

10. βῆ ῥ' ἴμεν] τὸ ἑξῆς βῆ ῥ' ἴμεν εἰς ἀγορὴν οὐκ οἶος· τὰ δὲ ἄλλα διὰ μέσου διορθωτέον. M.S. ὁρμήσας ἐπορεύθη εἰς δημηγορίαν αὐτός. S.

παλάμῃ δ' ἔχε χάλκεον ἔγχος] ὡς κυνηγὸς πρόεισιν ὁ νέος οὐκ ἄποθεν τῶν τοῦ πατρὸς ἐπιτηδευμάτων. καὶ γὰρ ἐκεῖνος περὶ τὸν Ἄργον ἐσπουδακὼς φαίνεται (Od. ρ, 291.), καὶ τὸ σύμβολον τοῦ σώματος ἀπὸ κυνηγεσίων οὐλὴν ἔσχε καὶ ἐν τῇ χλανίδι αὐτοῦ "ἐν προτέροισι πόδεσσι κύων ἔχε ποικίλον ἔλλὸν ἀσπαίροντα λάων" (Od. τ, 228.). οὕτω γὰρ οἱ εὐγενεῖς τῶν νέων ἐπαιδεύοντο. καὶ ὁ Μένανδρος, "ἐλεύθερόν τι τολμήσει πονεῖν, θηρᾶν λέοντας, ὅπλα βαστάζειν." ἢ ἀντὶ τοῦ μὲν σκήπτρου τὸ δόρυ κατέχει ὡς οὐ συγχωρούμενος εἶναι βασιλεύς, κύνας δὲ ἔχει ἑπομένους, δηλονότι διὰ τὴν ἐπιβουλὴν τῶν μνηστήρων, οὐδὲ ἀκολούθους ἔχει θεράποντας. E.H.M. Q.R.

11. ἅμα τῷγε δύω κύνες] τοῦτό τινες σημειοῦνται πρὸς τὸν ἄγροικον τῶν παλαιῶν βίον. ἢ ὡς φιλακόλουθον τὸ ζῷον ἕπεται οὐ κατὰ προαίρεσιν αὐτοῦ. E.M.Q. ἢ ἔθος ἦν τοῖς ἀρχαίοις ἕνα κύνα

1. μὲν om. Q.
2. οἰκειότεροι] οἰκειότερον M.
εἰσὶν ἐν] εἰσὶ τῇ S.
7. σύνοδον—ἀπιέναι] σύνοδον, ἀλλὰ συνειλεγμένων τῶν πολιτῶν ἀπιέναι E.
12. κυνηγὸς] κυναγὸς H.
13. ἄποθεν] ἄπωθεν R.
14. σύμβολον] συμβάλλον R.
15. οὐλὴν additum ex Eustath. p. 1430, 53. a quo ἡ ἀπὸ τοῦ κυνηγεσίου οὐλὴ dicitur σύμβολον σώματος εἰς ἀναγνωρισμόν.
καὶ om. E.Q. In R. est δὲ, interpunctione ante ἔσχε posita.
18. τι] τε M.
τολμήσει Buttm. pro τόλμης εἶ (εἰ M.).
πονεῖν] ποιεῖν H.R. ποεῖν M.
θηρᾶν λέοντας Buttm. pro θήραν λέγοντας.
20. κύνας δὲ] δὲ in libris post συγχωρούμενος lectum huc transposuit Buttm. In V. breve ex hoc scholio excerptum est, Ἀντὶ σκήπτρου τὸ δόρυ κατεῖχεν ὡς οὐ συγχωρούμενος εἶναι βασιλεύς.
23. σημειοῦνται addidit Cobetus.
24. τῶν παλαιῶν M. παλαιὸν E.Q.

κομεῖν πρὸς φυλακὴν, ὡς καὶ Ἡσίοδος. ὁ δὲ Τηλέμαχος διὰ τὸ ἀσφαλέστερον καὶ τὴν ἐπήρειαν τῶν ἐχθρῶν δύο ἐκέκτητο. M.

14. θώκῳ] τοῦτον οἱ Ἀττικοὶ θᾶκον καλοῦσιν. ἔστι δὲ καθέδρα. H.M.

γέροντες] γέροντας νῦν τοὺς πρεσβυτέρους ἀκουστέον, ὧν ἂν εἴη καὶ ὁ διαλεγόμενος νῦν. τοῦτο δὲ εἰς ἔλεγχον τῶν μνηστήρων. ἤτοι ὂν ἐτίμων οἱ γέροντες διὰ τὸ γένος, τοῦτον ὕβριζον αὐτοὶ καὶ ἀπηξίουν βασιλέα εἶναι ἑαυτῶν. E.H.M.Q.

15. τοῖσι δ' ἔπειθ'] εἰκότως δημηγορεῖ. δέδιε γὰρ ἄμφω τῶν παίδων, τοῦ μὲν τῇ ἀπουσίᾳ, τοῦ δὲ τῇ ἀταξίᾳ. ἅμα δὲ τῷ γέροντι τοῦ δημηγορεῖν ὁ Τηλέμαχος ἤρξατο. καὶ οὐκ ἐπαίρεται τῇ τιμῇ τῶν γερόντων ὁ νέος, ἀλλὰ μιμεῖται τὸ ἠθικὸν τοῦ πατρός. τοιοῦτος γὰρ καὶ ὁ Ὀδυσσεὺς ἐν τῷ λέγειν, οὐ ταχέως ἀρχόμενος, ἀλλὰ "στάσκεν, ὑπαὶ δὲ ἴδεσκε κατὰ χθονὸς ὄμματα πήξας" (Il. γ, 217.) E.H. M.Q.

16. καὶ μυρία ᾔδη] ἐπειδὴ ὑπὸ τοῦ γήρως κυφοὶ γίνονται καὶ οἱ τυχόντες, καὶ οὐ διὰ τὸ γῆρας δεῖ θρασύνεσθαι, πρόσκειται "καὶ μυρία ᾔδη." E.S.

18. εὔπωλον] καλοῖς ἵπποις χρωμένην· ἢ ἐν ᾗ καλῶς ἀναστρέφεταί τις. P.Q. τὴν εὖ οἰκουμένην, τὴν καλοὺς ἵππους ἔχουσαν. S.

20. πύματον] ἤτοι προφαγὼν ἄλλους ἐν πρώτοις ὕστατον ἔφαγεν αὐτόν. B.

ὅτι τάχα ἐτιμωρήθη ὑπὸ τοῦ Ὀδυσσέως καὶ οὐκέτι ἄνθρωπον ἔφαγεν. ἢ τὸν ἐν τάξει ἔσχατον. ἢ ἐπιφωνῶν τοῦτο εἴρηκεν. H.M.Q. ἤτοι τὸν ἐν τάξει ἔσχατον. ἢ ἐπιφωνῶν τοῦτο εἴρηκεν, ὄντως πύματον καὶ ἔσχατον, διὰ τὸ τιμωρηθῆναι αὐτὸν ὑπὸ Ὀδυσσέως. ἢ πύματον

1. Ἡσίοδος] Op. 602.

3. καλοῦσιν] λέγουσιν H., qui hoc scholion supra versum habet a m. sec., omissis verbis ἔστι δὲ καθέδρα.

5. γέροντας—διαλεγόμενος νῦν et δὲ post τοῦτο om. E.Q.

6. τοῦτο δὲ—ἑαυτῶν om. H.

8. ἑαυτῶν M. αὐτόν ceteri.

10. ἀταξίᾳ H.M. ἀξίᾳ E.Q. τοῦ δ.] τῷ δ. H.

11. ἐπαίρεται] ἐπήρτηται H. Fort. ἐπῆρται.

17. πρόσκειται Buttm. pro πρόκειται.

25. ἐπιφωνῶν τοῦτο] ἐπιφανῶν τοῦτον Q.

26. ἐπιφωνῶν] ἐπηφρωνέον V. In MSS. ἐπιφρονέων, ἐπὶ φονέων; unde Barnesius fecit ἐπιφωνέων; rectius ἐπιφωνῶν hic et in scholio Q. Confer ἀναφωνεῖν et προαναφωνεῖν in schol. α, 154. β, 127. 284. 367. BUTTMANN.

τῶν ἕξ· ἢ δόρπον πίματον· οὐκέτι γὰρ ὁ Κύκλωψ ἔφαγε, συναποβαλὼν τῷ φωτὶ καὶ τὸ ζῆν, ὡς λέγεται. V.

δόρπον] τὸ καθ' ἡμᾶς δεῖπνον. τρισὶ δὲ τροφαῖς ἐχρῶντο. καὶ τὴν μὲν πρώτην ἐκάλουν ἄριστον, ἣν ἐλάμβανον πρωΐας σχεδὸν ἔτι σκοτίας οὔσης· καὶ ὠνομάσθη ἄριστον ἢ παρὰ τὸ τοὺς λαμβάνοντας εἰς ἀριστείαν ἔρχεσθαι, ἢ ἀπὸ τοῦ προσφέρεσθαι ταύτην πρώτην τροφήν, παρὰ τὸ ἄειρε ὠνομασμένης τῆς λέξεως· "μή μοι οἶνον ἄειρε μελίφρονα, πότνια μῆτερ" (Il. ζ, 264.) τὴν δὲ δευτέραν δεῖπνον. τὸ καθ' ἡμᾶς λεγόμενον ἄριστον, καὶ ἔστι κατὰ τὸ ἔτυμον δεῖπνον. μεθ' ὃ δεῖ πονεῖν, ὅπερ ἐστὶν ἐνεργεῖν· λαμβάνοντες γὰρ ταύτην τὴν τροφὴν πάλιν περὶ τὰ πολεμικὰ ἔργα ἐπόνουν. τὴν δὲ τρίτην δόρπον, τὸ καθ' ἡμᾶς λεγόμενον δεῖπνον, καὶ ἔστι κατὰ τὸ ἔτυμον ἰαύερπον, ὅταν εἰς τὸ ἰαύειν πορευώμεθα, ὅπερ ἐστὶ κοιμᾶσθαι. Αἰσχύλος δὲ καὶ τῆς τάξεως τῶν ὀνομάτων μάρτυς ἐστὶ λέγων "ἄριστα, δεῖπνα, δόρπα θ' αἱρεῖσθαι τρίτα." E.H.M.T.V.

22. δύο δ' αἰὲν ἔχον] διχῶς Ἀρίσταρχος, "δύο δ' ἄλλοι ἔχον" καὶ "δύο δ' αἰὲν ἔχον." H.

23. ἀλλ' οὐδ' ὣς] περισπαστέον τὸ ὥς. H.

ἀλλ' οὐδ' ὣς τοῦ λήθετο] τὸ συμβαῖνον εἰς τοὺς γονέας παρεφύλαξεν. οὐ γὰρ οὕτως ἡ τῶν ζώντων παρουσία εὐφραίνει ὡς ἡ τοῦ ἑνὸς ἀπώλεια λυπεῖ. οὗτος οὖν τρεῖς ἔχων οὐ παύεται τὸν ἀπολωλότα ὀδυρόμενος. E.H.M.Q.S.

24. τοῖς ὅγε] τινὲς, τοὺς ὅγε. H. τοῦ ὅγε] ὑπὲρ τούτου. M.

26. οὔτε ποθ'] Ἀρίσταρχος "οὔτε πω." τοῦτο δὲ εἰς τὴν ἀναρχίαν, ὅθεν καὶ ἐθρασύνθη τὰ μειράκια, μηδενὸς ἐπιπλήσσοντος ἐκείνοις. H.M.S.

28. νῦν δὲ τίς] τὸ τίς πυσματικὸν ἐνθάδε τυγχάνον φυλάσσει τὸν ἴδιον τόνον. H.M.Q.S.

1. ἢ πίματον τῶν ἕξ·—ὡς λέγεται] Hæc ex Eustathio interpolata.

3. τὸ (sic etiam T.)—τρισὶ M. Legebatur τὸν—τρισσαῖς.

6. ἀριστείαν ἔρχεσθαι] τὴν ἀριστεία προέρχεσθαι V.

9. μεθ' ὃ] καθὸ T.

12. ἰαύερπον] Hoc ineptissimum utique etymon plane non assequaris nisi rationem habeas cognationis quæ est inter Græcum δ et litteram *i* vel *j* (*dj*). BUTTM.

13. Αἰσχύλος] Fragm. 181.

14. ἐστὶ addidi ex H.

15. θ' addidi ex Eustathio, qui sua debet Athenæo 1. p. 11.

19. γονέας H. γονεῖς ceteri.

21. ἑνὸς H.M.S. ἀπελθόντος E.Q.

24. οὔτε πω Cobetus pro οὔτε πέπωκας, quod habet M. et omisso οὔτε S. In H. est οὔτε πέπτωκας.

27. ἐνθάδε] καὶ ἐνθάδε Q.

28. ἴδιον om. S.

29. ἠὲ νέων ἀνδρῶν ἢ] οὗτοι μὲν ἐγκλίνονται διαζευκτικοὶ ὄντες, οἱ δὲ ἑξῆς περισπῶνται· ἐρωτηματικοὶ γάρ. H.S.

30. ἔκλυεν] τινὲς, πολεμίων στρατοῦ· ἄμεινον δὲ, τοῦ ἐπὶ Ἴλιον στρατεύσαντος. οὗτος γὰρ ἅμα μὲν ὡς περὶ δημοσίων πραγμάτων ἐρωτᾷ, ἅμα δὲ καὶ τὰ αὐτῷ διαφέροντα πολυπραγμονεῖ. H.Q.S. 5

31. ἡμῖν] ἀπολύτως ἡ ἀντωνυμία, διὸ τὴν προτέραν ὀξυντέον. H.S.

ὅτε] γρ. καὶ, ὅτι. ὅτε] ὅστις. ἐπίρρημα ἀντὶ τοῦ ἡνίκα. Ἄλλως. τὸ ὅτε ἀντὶ τοῦ ἡνίκα· κρεῖττον τὸ ὅστις. H.

32. ἠέ ἀντὶ τοῦ η. H.S. 10

33. ἐσθλός μοι δοκεῖ εἶναι] ἕως τοῦ εἶναι ἡ στιγμή. τὸ δὲ ὀνήμενος ἠθικῶς ἀναπεφώνηται, ἄξιος ὀνήσεως. H.Q.S. εἰς τὸ ὀνήμενος λείπει τὸ εἴη, ἀντὶ τοῦ, εἴη ὀνηθησόμενος. ἡ δὲ στιγμὴ εἰς τὸ εἶναι. τὸ δὲ ὀνήμενος ἠθικῶς ἀναπεφώνηται. B. ἀντὶ τοῦ ὠφελῶν αὐτὸς ἑαυτὸν εἴη καὶ ὄνησιν αὐτοῦ λάβοι. E. 15

οἱ] ἀπολύτως ἡ οἱ. H.

34. μενοινᾷ] κατὰ διάνοιαν ἐνθυμεῖται, μεριμνᾷ, λογίζεται. H.

35. φήμῃ] τῇ κληδόνι, τῇ μαντείᾳ. λέγει δὲ τὸν λόγον τοῦ Αἰγυπτίου, ὃν ὡς μαντείαν ἐκδεξάμενος ὁ Τηλέμαχος ἐχάρη οἰωνιζόμενος ἐκ τούτου ὅτι τὰ κατὰ σκοπὸν αὐτῷ πάντα εἰς τέλος ἀχθήσεται. E. 20

37. μέσῃ ἀγορῇ] μέσον τῶν συνειλεγμένων. S.

στῆ δὲ μέσῃ ἀγορῇ] ὅτι δι' ἑκατέρας τῆς ποιήσεως Ὁμηρικὸν ὂν τὸ ἔθος τετήρηται. H.S.

39. ἔπειτα γέροντα καθαπτόμενος προσέειπε] ἤτοι τὸν λόγον πρὸς αὐτὸν ποιούμενος ἢ καταπραΰνων καὶ προσαγόμενος. H.S. τὴν ἀπότασιν τῶν λόγων ποιούμενος. S. 25

καθαπτόμενος] πρὸς ἐκεῖνον τὸν λόγον ἀποτεινόμενος. τὸ γὰρ καθάπτομαι ἐπὶ δύο λαμβάνεται, ἐπὶ καλοῦ τε καὶ κακοῦ, ἐπὶ καλοῦ μὲν ἀντὶ τοῦ πρὸς σὲ ποιοῦμαι τὸν λόγον· ἐπὶ κακοῦ δὲ ἀντὶ τοῦ ὑβριστικῶς διατίθεμαι, ὅπερ καὶ γενικῇ συντάσσεται. B. 30

40. ὦ γέρον] ἀπὸ τοῦ καιροῦ πεποίηται τὴν . . . . ὡς Ὀδυσσεὺς ἐν τῇ τ καὶ Διομήδης ἐν τῇ ξ. H.M.S.

6. Hujus scholii prima tantum verba in M. supersunt ἀπολύτως ἡ ἀντωνυμία, reliquis abscissis.

12. ὀνήσεως] ἔσται addit S.

20. σκοπὸν Buttm. pro σκοπῶν.

32. πεποίηται τὴν . . . . . ὡς] πεποίηται ὡς H. τὴν habet S., sed sine lacuna.

τάχα εἴσεαι] γρ. τάχα μαθήσῃ. H.

41. ἤγειρα] Ζηνόδοτος γρ. ἤγειρε. ἐλέγχεται δὲ διὰ τοῦ "μάλιστα δ' ἐμέ·" ἐχρῆν γὰρ εἶναι αὐτόν. H.M.

42. ἔκλυον] γελοίως γράφει Ζηνόδοτος, ἤϊον, ἀπὸ τοῦ ἀΐειν, ὅ ἐστιν ἀκούειν. H.M. τηρητέον ὅτι πρὸς τὸ πρῶτον τῇ τάξει πρῶ- 5
τον ἀπήντησεν, ὅπερ σπανίως ποιεῖ. M.

45. ὅ μοι κακὸν ἔμπεσεν οἴκῳ] μετὰ τοῦτο ὑποστικτέον. S.V.

ὅ μοι κακὸν ἔμπεσεν] Ἀριστοφάνης, ὅ μοι κακὰ ἔμπεσε. τὸ δὲ, ὅ μοι, ἀντὶ τοῦ, ὅτι μοι. B.H.M. κῆδος λέγει οὕτως, ὅ μοι κακὸν ἔμπεσε κῆδος. M. ἐπειδὴ εἶπε κακὸν ἑνικῶς, ὡς λαμβανόμενος 10
ἑαυτοῦ ἐπάγει, οὐχ ἓν κακὸν, ἀλλὰ δύο. M.

46. δοιά] ὁ μὲν Ἀριστοφάνης κακά πληθυντικῶς γράφει· ὁ δὲ Ἀρίσταρχος τὸ δοιά ἀντὶ τοῦ διχῶς ἀκούει. E.

Ἀρίσταρχος τὸ δοιά ἀντὶ τοῦ διχῶς. συναπτέον αὐτὸ τοῖς ἄνω καὶ στικτέον. H. 15

47. πατὴρ δ' ὡς ἤπιος ἦεν] οἱ ἀρχαῖοι τὴν βασιλείαν ἐμέριζον εἰς τρία ἐπίθετα. τὸν μὲν πρᾶον βασιλέα ὠνόμαζον πατέρα, τὸν ἀπηνῆ καὶ θυμώδη, δεσπότην τὸν φειδωλὸν καὶ φιλόχρυσον κάπηλον. B.

48. νῦν δ' αὖ] οὐχ ὡς προκρίνων τοῦ πατρὸς τὴν οὐσίαν, ἀλλὰ τὴν 20
κατηγορίαν αὔξων τῶν νέων. ἄλλως τε τοῦτο μὲν ἀμφίβολον, ἐκεῖνο δὲ πρόδηλον. M.Q.

1. τάχα μαθήσῃ] Est glossema.

2. Prima tantum verba Z. γράφει ἤγειρεν habet S.

3. εἶναι M. εἰπεῖν H.

4. γελοίως] γελοῖος H.

γράφει om. M.

ἤϊον M. quod Zenodotus pro ἔκλυον sive posuit sive scriptum in libro corrupto invenit ἠΐονα H., quod substantivum esse videbatur Porsono ab Zenodoto pro ἀγγελίην illatum. Illud autem ἤϊον scholiasta *ridiculum* vocat propterea quod verbi ἀΐειν imperfectum ἤϊον inauditum est. Nam ἤϊον ubi apud Epicos legitur est ab verbo εἶμι. Nihilo melior altera scriptura ἠϊόν' (nam hoc accentu id scribendum foret), inaudita *nuntii* significatione. Nam ἠϊών de litore dicitur.

6. πρῶτον—ὅπερ Cobetus. πρώτην —προεῖπε M.

7. κακὰ H. κακῶ (sic) M. κακὸν B. et ἔκπεσε pro ἔμπεσε.

9. Post ὅτι μοι in H. est τινὲς δὲ ἄνα (sic, sine accentu) οἴκῳ, post quæ finis scholii indicatur duobus punctis cum lineola (:—). Idem signum mox post ἔμπεσε κῆδος.

10. λαμβανόμενος ἑαυτοῦ] *Se ipsum reprehendens*, i. e. *corrigens*. Vid. ad schol. Demosth. vol. 8. p. 89, 7. Idem p. 211, 15. αὐτὸς ἑαυτοῦ ἐλάβετο. ἐπιδιόρθωσιν dicit Eustath. p. 1433, 52.

12. κακὰ] κακῶς E.

13. ἀκούει Buttm. pro ἀνύει.

20. προκρίνων M. πρὸ ἐκείνων Q.

50. ἐπέχραον] Ἀριστοφάνης, ἐπέχρων. H. ἐπῆλθον μετὰ βλάβης καὶ ἐπηρείας ἐπηρεάζοντες. S. ὡς πολλάκις Τελχῖνες. M.

51. τῶν ἀνδρῶν φίλοι υἷες] τουτέστι τῶν ἐνθάδε ἀρίστων υἱοί. B.H. καὶ μὴν δώδεκα μόνοι ἦσαν ἀπὸ τῆς Ἰθάκης· ἀλλ' ἐκείνων ἔδει μάλιστα κατηγορεῖν, οὓς ἔστι συλλαμβάνεσθαι τῷ πολίτῃ βιαζομένῳ ἄλλως τε καὶ τῶν ἄλλων μείζονες ἦσαν, ὡς αὐτός φησιν

ἐκ δ' αὐτῆς Ἰθάκης δυοκαίδεκα πάντες ἄριστοι·

ἴδιον οὖν τὸ ἀδίκημα ἐποίησεν, ὡς καὶ τῶν ἄλλων τούτοις ἀκολουθησάντων ὡς ἂν ἡγεμόσι καὶ ἀριστέων παισίν. ἐν πᾶσι γὰρ τὸ ἡγεμονικὸν ὀλιγώτερον τῶν ἀρχομένων, καὶ τῷ ἡγεμονοῦντι, κἂν ὀλίγον ᾖ, πείθεται τὸ ἡγεμονούμενον πλῆθος. H.M. Καὶ ἄλλως. Ἀριστοφάνης προστίθησιν

ἄλλοι θ' οἳ νήσοισιν ἐπικρατέουσιν ἄριστοι
Δουλιχίῳ τε Σάμῃ τε καὶ ὑλήεντι Ζακύνθῳ,

οὐκ ὀρθῶς· περὶ γὰρ τῶν ἐν Ἰθάκῃ φροντίζει μόνων, οὓς ἀπελάσας, οὐκ ἂν ἐφρόντισε τῶν λοιπῶν. H.M.

ἑκατὸν δέκα καὶ ὀκτὼ σχεδὸν τῶν ἁπάντων ὄντων μνηστήρων, ἀπὸ τούτων δὲ ἐκ τῆς Ἰθάκης "δυοκαίδεκα πάντες ἄριστοι" (π, 251.) ῥηθέντων, ζητεῖ Ἡρακλείδης πῶς ὁ Τηλέμαχος κατασμικρύνει ἐν τῇ δημηγορίᾳ συστέλλων τὸ πλῆθος εἰς μόνους τοὺς Ἰθακησίους. τί γὰρ ἔφη "μητέρι μνηστῆρες ἐπέχραον οὐκ ἐθελούσῃ, τῶν ἀνδρῶν φίλοι υἷες, οἳ ἐνθάδε γ' εἰσὶν ἄριστοι;" τὸ γὰρ πολὺ φορτίον τῆς μνηστείας περιῄρηκε συστείλας τὸ πλῆθος εἰς τοὺς ἐνθάδε, τοὺς ὄντας ἐλάχιστον μέρος τοῦ παντὸς πλήθους. φαίη δ' ἄν τις ἐν Ἰθάκῃ δημηγοροῦντα τὸν Τηλέμαχον τῶν ἐξ Ἰθάκης εἰκότως κατηγορεῖν. ῥη-

2. ὡς πολλάκις] μητέρι μὲν ὡς πολλάκις M. Delevi μητέρι μὲν, quæ verba lemma scholii sunt ex μητέρι μοι corruptum.

3. ἀρίστων H. ἄριστοι B.

4. καὶ μὴν—βιαζομένῳ] Hæc verba sunt etiam in B.

5. ἔδει—σ. τῷ ποιητῇ] δεῖ—σ. μᾶλλον τῷ ποιητῇ S.

9. ἀριστέων] ἀρίστων M., sed superscripto εω.

παισίν M. πᾶσιν H.

10. ὀλίγον M. ὀλιγοστὸν H. In scholio proximo est ὀλίγιστον.

11. καὶ ἄλλως om. M.

13. ἄλλοι—Ζακύνθῳ] Ex Od. α, 245. ubi legitur ὅσσοι γὰρ νήσοισιν etc.

14. Δουλιχίῳ] δουλιχίῃ M.

Σάμῃ] σάμῳ H.

15. μόνων] μόνον M.

ἀπελάσας] ἀπώλεσας M.

16. τῶν λοιπῶν] τὸ λοιπόν M.

17. τῶν ἁ. ὄντων H.R. ὄντων τῶν ἁ. Q.

19. ῥηθέντων H. ῥηθεν^τι R. ῥηθέντες Q.

κατασμικρύνει] σμικρύνει Q.

21. ἔφη] φησι R.

24. μέρος R. Legebatur μετά.

θέντων δὲ καὶ ὑπὲρ τῶν ἄλλων ἀπολογία μᾶλλον ἦν τοῖς πατράσι τῶν Ἰθακησίων, ὅτι οὐχ οἱ ἡμέτεροι μόνον, ἀλλὰ καὶ ἄλλοι, καὶ δεῖ πρότερον ἐκείνους κωλύειν πλείους ὄντας· τοῖς γὰρ πολλοῖς ἀκολουθήσειν καὶ τοὺς ἐλάττους. εἰ γὰρ ἁπλῶς ἔφη "μητέρι μοι μνηστῆρες ἐπέχραον οὐκ ἐθελούσῃ," κοινῶς ἂν κατηγόρησεν ἀλλοδαπῶν καὶ ξένων ἐν ἀλλοτρίοις ἀκροαταῖς. ἡ δὲ ἐπαγωγὴ ἡ "τῶν ἀνδρῶν φίλοι υἷες οἳ ἐνθάδε γ' εἰσὶν ἄριστοι" ἴδιον τὸ ἀδίκημα ἐποίησεν, ὡς καὶ τῶν ἄλλων τούτοις ἀκολουθησάντων, ὅτι τῶν ἀρίστων ἐν Ἰθάκῃ ἦσαν παῖδες οἱ Ἰθακήσιοι μνηστῆρες. ὡς ἂν οὖν ἡγεμόσιν οἱ ἄλλοι εἵποντο. ἐν πᾶσι γὰρ τὸ ἡγεμονοῦν ὀλιγώτερον τῶν ἀρχομένων, καὶ τῷ ἡγεμονοῦντι, κἂν τὸ ὀλίγιστον ᾖ, πείθεται τὸ ἄλλο πλῆθος εἴς τε τὰς ἐπιθέσεις καὶ τὰς ἀποχὰς τῶν πραττομένων. H.M.Q.R.

52. οἳ πατρὸς μὲν] διαβάλλει τὴν μνηστείαν ὡς πρόφασιν οὖσαν τῆς ἁρπαγῆς τῶν χρημάτων. ἐξὸν γὰρ κατὰ νόμους μνηστεύεσθαι παρανόμως ἡμῖν ἐνοχλοῦσιν. H.Q. δῆλον ἐκ τούτων ὅτι ὁ Ἰκάριος Ἰθακήσιος ἦν. ἔφη γοῦν "εἰς οἶκον." εἰ δὲ ἦν ξένος, ἔφη ἂν ποτὶ ἄστυ ἢ πρὸς τὴν γαῖαν. εἰ δὲ ἦν Σπαρτιάτης, πῶς εἰς Σπάρτην ἐλθὼν Τηλέμαχος οὐ συνέτυχεν αὐτῷ; πῶς τε ὁ φιλοδέσποτος Εὔμαιος κατηρᾶτο τῇ δεσποίνῃ λέγων "ὡς ὤφελλ' Ἑλένης ἀπὸ φῦλον ὀλέσθαι πρόχυν" (ξ, 68.); Ἰκάριος γὰρ καὶ Τυνδάρεως ἀδελφοί, καὶ περιείχετο τῇ κατάρᾳ ἡ Πηνελόπη, ὡς θυγάτηρ ἐκείνου τοῦ Ἰκαρίου. πῶς τε Ἀθηνᾶ ἐν Σπάρτῃ ὄντι τῷ Τηλεμάχῳ φησὶν "ἤδη γάρ ῥα πατήρ τε κασίγνητοί τε κέλονται Εὐρυμάχῳ γήμασθαι" (ο, 16.); ὡς γὰρ ἐν Ἰθάκῃ οἰκούντων ποιεῖται τὸν λόγον. H.M.Q.

53. ὥς κ' αὐτὸς] γρ. ὅς. P. ὅς] γρ. ὥς. H.

ἑεδνώσαιτο] ἕδνα ἐπιδώσει, ἀποπροικίσει, χρήματα δώσει· καὶ κυρίως μὲν ἕδνα ἐστὶ τὰ διδόμενα ὑπὸ τοῦ γαμοῦντος τῇ γαμουμένῃ·

15. παρανόμως H. παρανόμοι Q. δῆλον ἐκ τούτων] ἐκ τούτου δῆλον S. ὁ addidi ex M.S.

16. ἦν] μὲν M.

ἔφη γοῦν] φ^α γοῦν M. i. e. φασὶ γοῦν, quod est in S.

εἰ δὲ—ποτὶ S. Legebatur εἰ γὰρ—πρὸς τό. Quæ post ἄστυ leguntur usque ad finem scholii non habet S.

17. πῶς εἰς Σπάρτην—] De hac quæstione vid. schol. ad δ, 1.

19. κατηρᾶτο correxi pro κατηγορᾶτο, quod est in H. κατηγορεῖτο Q. διατερεῖτο M.

25. ὡς θ. ἐνείνου τοῦ ἰκαρίου M. εἴπερ ἐκείνη τοῦ ἰκαρίου ἦν θ. H.Q.

26. ἀποπροικίσει, χρήματα δώσει addidi ex S.

27. ὑπὸ P. ἀπὸ ceteri.

νῦν δὲ καταχρηστικῶς κεῖται ἡ λέξις ἀντὶ τοῦ χρήματα ἐπιδοίη. H.P.Q.S.V.

55. οἱ δ' εἰς ἡμετέρου] ἀπὸ κοινοῦ τὸ πατρός· ἢ ἀντὶ τοῦ εἰς ἡμέτερον Ἀττικῶς, ὡς "ἀλλ' ἄγ', ὀΐστευσον Μενελάου" (Il. δ, 100.) ἀντὶ τοῦ Μενέλαον. M. λείπει τοῦ πατρὸς οἶκον. Gl. M.

56. βοῦς ἱερεύοντες καὶ ὄϊς] πάντα πληθυντικῶς λέγει, αὔξων τὴν κατηγορίαν, καίτοι μίαν βοῦν ἔθυον. "ἵρευον δὲ σύας σιάλους καὶ βοῦν ἀγελαίην" (Od. ρ, 181.) M.S.

57. εἰλαπινάζουσι] κατὰ συστροφὰς πίνουσιν, ἐν ἀθροίσματι εὐωχοῦνται, ἑορτάζουσι. S.

58. τὰ δὲ] τὰ ἐπὶ συντριβῇ ἡμετέρᾳ θελήματα τούτων. B.

τὰ δὲ πολλὰ κατάνεται] ταῦτα δὲ πολλὰ ὄντα καταναλίσκεται. S.

κατάνεται] τελειοῦται. ἀπὸ τοῦ ἀνύω, ἄνω, ῥῆμα. B.

59. οἷος Ὀδυσσεὺς] οὐκ ἐσμὲν τοιοῦτοι οἷος ἦν ὁ Ὀδυσσεύς. ἐὰν ἐπιχειρήσωμεν, ὀλοθρευθείημεν ἄν. Q.

ἔσκεν] ὑπῆρχεν. S.

ἀρὴν ἀπὸ οἴκου ἀμῦναι] βλάβην ἀποσοβῆσαι. S.

60. ἡμεῖς δ' οὔ νύ τι] ἐλεγχθείημεν ἂν ἀσθενεῖς ὄντες καὶ ἄποροι δυνάμεως καὶ ἐπιχειρήσαντες ἀνελεῖν αὐτοὺς τάχα ἀναιρεθησόμεθα. Q.

ἡμεῖς δ' οὔ νύ τι] οὐχ οἷοί τε ἐσμέν. S.

ἀμυνέμεν] ὥστε βοηθεῖν. S.

ἦ καὶ ἔπειτα] οἱ μὲν γράφουσι περισπωμένως, οἱ δὲ ὀξυτόνως· καλῶς δὲ ἔχουσι καὶ τὰ δύο. H. ὄντως γὰρ καὶ μετὰ τὸ ἐπιχειρῆσαι. S.

61. λευγαλέοι] ἀσθενεῖς, ἀδύνατοι, πικροὶ ἑαυτοῖς ὑπάρξομεν. S.

1. ἐπιδοίη] ἐπιδώσει S. In H. post ἐπιδοίη legi dicitur ἕδνα λαβὼν δώσει τὴν θυτὴν θυγατέρα.

3. οἱ δ' εἰς ἡμετέρου] Sic M. etiam in textu. Etiam alibi in hoc codice εἰς ἡμετέρου pro εἰς ἡμέτερον reperi. COBET. ἡμετέρου H. in textu, et sic ter repetitur in scholiis, bis diserte. Vid. Herod. 1, 35. 7, 8, 4. et Wesselingium ad priorem locum. PORSON. Vid. et schol. η, 301. et Bekkeri cens. Homeri Wolfiani p. 159. BUTTM.

τὸ] τοῦ M.

4. ἀλλ' ἄγ', ὀΐστευσον] ἀλλά γ' ὀΐστευσεν M. Inepte autem scholiasta exemplum comparat plane diversum.

7. ἵρευον—ἀγελαίην] ἱέρευον δὲ θυσίας σιάλους καὶ βοῦν ἀγγελίην M. Verba poetæ omittit S.

καὶ οὐ δεδαηκότες ἀλκὴν] καὶ εἰδότες, μεμαθηκότες. ἐπιστάμεθα τὸν τρόπον τῆς βοηθείας, τῆς δυνάμεως. S.

63. οὐ γὰρ ἔτ' ἀνσχετὰ] εὔθετα, καὶ πλεονάζει ἡ ἀνά στέρησις, ἵν' ᾖ σχετά. S. αἰτιᾶται ὁ Ἡρακλείδης καὶ τὸ τῆς Τηλεμάχου δημηγορίας ἀνοικονόμητον. δέον γάρ, φησίν, ἀξιοῦν καὶ ἱκετεύειν 5 συνάρασθαι αὐτῷ πρὸς τὴν τῶν μνηστήρων τοῦ οἴκου ἀπαλλαγήν, ὁ δὲ ἐπιπλήσσει λέγων "οὐ γὰρ ἔτ' ἀνσχετὰ ἔργα τετεύχαται, οὐδ' ἔτι καλῶς οἶκος ἐμὸς διόλωλε." καὶ τὸ ὅτι, εἰ μὴ πάρεστιν ὁ πατήρ, ταῦτα πάσχειν ἐπανατεινόμενος, "οὐ γὰρ ἔπ' ἀνὴρ οἷος Ὀδυσσεὺς ἔσκεν ἀρὴν ἀπὸ οἴκου ἀμῦναι· ἡμεῖς δ' οὔ νύ τι τοῖοι ἀμυνέμεν" (58 10 —60.). καὶ ἔτι πικροτέρου πρὸς τοὺς Ἰθακησίους ὄντος τοῦ λόγου, καὶ τὴν ἀπειλὴν "ἄλλους τ' αἰδέσθητε" φησὶ "περικτίονας ἀνθρώπους, θεῶν δ' ὑποδείσατε μῆνιν." ἀγνοεῖ δὲ ὁ κατήγορος τὴν δύναμιν τῆς δημηγορίας. συμπλέκεται γὰρ βασιλικὸν φρόνημα δεήσει καὶ ἱκεσίᾳ. καὶ ἔστιν οὐχ ἁπλῶς ὁ λόγος ἀτυχοῦντος, ἵνα δέησις ᾖ μόνη, ἀλλὰ 15 βασιλέως ἀτυχοῦντός τε ἅμα καὶ ἀδικουμένου ὑφ' ὧν ἥκιστα ἐχρῆν· ὁ δὲ λόγος πρὸς τοὺς ἀδικοῦντας. διὸ ἡ μὲν παρρησία τῆς ἐπιπλήξεως βασιλικὴ, ἡ δὲ δέησις (παραμέμικται γὰρ καὶ δέησις) οἰκεία τῷ δυστυχοῦντι, "λίσσομαι ἠμὲν Ζηνὸς Ὀλυμπίου ἠδὲ Θέμιστος." H.Q.R. 20

64. νεμεσσήθητε] μεμπτὸν ἡγήσασθε. S.

65. ἄλλους τ' αἰδέσθητε] ἐλέγχει τὸ πλῆθος, ὅτι ἐχρῆν καὶ αὐτὸ τῶν παρ' αὐτοῦ λόγων πάσχοντος διακωλῦσαι τὰ τολμώμενα. πάντη δὲ προβάλλεται τὸν ἔλεον καὶ τὴν πρὸς τοὺς ἔξω αἰδῶ. Q. ἄμφω γὰρ ταῦτα συνίστησι τὸν βίον, ὡς Ἡσίοδος 25

5. φησὶν R. ἔφη ceteri.
7. ἀνσχετὰ] ἀνάσχετα R.
οὐδ' ἔτι καλῶς] οὐδέ τι καλὸς R.
8. καὶ τὸ ὅτι, εἰ—] Deleta particula εἰ scribendum videtur, καὶ τὸ, ὅτι μὴ πάρεστιν ὁ πατὴρ, ταῦτα πάσχειν ἐπανατεινάμενος, quod participium pendet adhuc a verbo ἐπιπλήσσει jungendumque est ita: καὶ ἐπανατεινάμενος τὸ ταῦτα πάσχειν ὅτι μὴ πάρεστιν ὁ πατήρ: h. e. illud maxime urgens atque ostendens se hæc pati propter absentiam patris. BUTTM.
9. ἐπανατεινόμενος R. ἐπανατεινάμενος H.Q.
ἔπ'] ἔστ' R. ἐστιν H.Q.
10. οἴκου—τι] Legebatur τοῦ οἴκου —τοι.
ἀμυνέμεν] ἀμύναιμεν Q.
12. ἀπειλὴν Cobetus pro πάλην.
φησὶ R. ἔφη ceteri.
15. ἀτυχοῦντος Buttm. pro ἀδικοῦντος.
18. βασιλικὴ R. Legebatur βασιλικῆς.
παραμέμικται] παραμεμίγνυται Q.
24. καὶ τὴν Buttm. Aberat καί.
25. Ἡσίοδος] Op. 195. Conf. Eustath. p. 1434, 33.

καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθόνος ἴτην
Αἰδὼς καὶ Νέμεσις, τὰ δὲ λείψεται ἄλγεα λυγρὰ
θνητοῖς ἀνθρώποις. H.

περικτίονας] γείτονας· ἀπὸ τοῦ πέριξ, τὸ πλησίον, ἤτοι τοὺς περὶ ἐκείνους ὄντας, πλησιαστὰς, πέριξ κατοικοῦντας. B.E. 5

67. ἀγασσάμενοι] ἀπὸ τοῦ ἀγῶ γίνεται ἄγαμαι, ὃ σημαίνει δύο, τὸ θαυμάζω καὶ τὸ μέμφομαι. ὡσαύτως καὶ τὸ θαυμάζω δύο σημαίνει, τὸ κατηγορῶ καὶ τὸ ἐπαινῶ. B.

τινὲς τὸ ἀγασσάμενοι ἀντὶ τοῦ μεμψάμενοι ἐκλαμβάνουσιν. οὐκ ἔστι δὲ, ἀλλὰ σημαίνει τὸ ἐκπλαγέντες, ὡς ἐπὶ τινὶ μεγάλῳ παρανο- 10 μήματι δηλονότι. E.

ἀγασσάμενοι κακὰ ἔργα] θαυμάσαντες τὰ κακὰ ἔργα, τῶν ἀδικούντων τὴν τόλμαν. ἢ νεμεσήσαντες ἐπὶ τοῖς κακῶς πραττομένοις, μὴ μεταβάλωσι τὰ πράγματα. S.

68. λίσσομαι ἠμὲν Ζηνὸς] ἱκετεύω ὑμᾶς καὶ διὰ τοῦ Διὸς οὐρα- 15 νόν. S.

λίσσομαι] καὶ τοῦτο ἐκ τοῦ καιροῦ. τὴν γὰρ προεστηκυῖαν τῶν ἐκκλησιῶν θεὰν ἐπικαλεῖται. τινὲς δὲ ᾠήθησαν Θέμιδος ἄγαλμα εἰσφέρεσθαι εἰς τὰς ἐκκλησίας. παρατηρητέον δὲ ὅτι καὶ ἐν Ἰλιάδι (υ, 4.) παρὰ Διὸς ἔχει γέρας τοῦτο Θέμις H.M.Q. 20

Θέμιστος] Αἰολικῶς, τῆς Θέμιδος. V.

69. λύει ἠδὲ καθίζει] διαλύει καὶ συνίστασθαι ποιεῖ. S.

70. σχέσθε, φίλοι] βαρύτης γὰρ ὀνειδίζειν μὲν ἃ πάσχει, ἱκετεύειν δὲ συγχωρεῖσθαι αὐτῷ τὸν πατέρα, ὃν πάντας μὲν ἔδει ποθοῦντας δακρύειν, αὐτὸς δὲ ἐν ἱκετηρίᾳ τίθεται τὸ κἂν μόνῳ αὐτῷ συγ- 25 χωρηθῆναι τὸ πένθος. καὶ εὐθὺς ἀπολογισμὸς περίδοξος ἐφ' οἷς δρῶσι παράδοξα,

εἰ μή πού τι πατὴρ ἐμὸς ἐσθλὸς Ὀδυσσεὺς
δυσμενέων κάκ' ἔρεξεν ἐϋκνήμιδας Ἀχαιούς

6. ἀγῶ Lobeck. Rhemat. p. 49. ἄγω B. ἀγῶ per καταπλήττομαι explicat Arcad. p. 151, 17.

11. δηλονότι Buttm. pro δῆλον.

12. ἔργα] ὅρα S.

17. καὶ τοῦτο om. Q.

18. εἰσφέρεσθαι] ἐκφέρεσθαι Q. Verbum simplex est in scholio S.

19. ἐν Ἰλιάδι] εὔκλεια Q., εὔκλειαν ex H. affert Cramerus.

20. γέρας τοῦτο] τοῦτο γέρας Q.

21. Θέμιστος] Αἰολικῶς τῆς Θέμιδος, καὶ διὰ τοῦ νόμου. τινὲς ᾠήθησαν εἰς τὴν ἐκκλησίαν φέρεσθαι Θέμιδος ἄγαλμα S.

23. Hoc scholion H. habet a m. sec., sub qua manus antiquioris vestigia apparent.

πάσχει] πάσχειν H.

καὶ ἐχθρὸν τιμωρούμενοι ἐμὲ δι' ἐκεῖνον ἀμύνεσθε. συμπλέκει δὲ τοὺς Ἰθακησίους τῇ ἀδικίᾳ τῶν μνηστήρων, καίπερ κατ' ἀρχὰς χωρίσας τοὺς μνηστῆρας ἀπ' αὐτῶν, κατ' ἰδίαν τούτων κατηγορῶν, "μητέρι μοι μνηστῆρες ἐπέχραον, τῶν ἀνδρῶν φίλοι μοι υἷες, οἳ πατρὸς μὲν ἐς οἶκον ἀπερρίγασι νέεσθαι, οἳ δ' εἰς ἡμετέρου πωλεύμενοι" (50.). ἐκθεὶς γὰρ ταῦτα περὶ ἐκείνων, μετὰ τὴν διήγησιν καὶ ἐπίδειξιν τοῦ ὅτι παῖδές εἰσι τῶν ἐν Ἰθάκῃ ἀρίστων, ἀκόλουθον τὸ τῆς κοινοποιίας ἐπήγαγε "νεμεσσήθητε καὶ αὐτοί, ἄλλους τ' αἰδέσθητε, θεῶν δ' ὑποδείσατε μῆνιν, σχέσθε, φίλοι." τίς οὖν ἡ τούτων ἀδικία; οὐ μόνον ὅτι οὐκ ἀμύνονται τούτους ὀτρύνοντες· πῶς οὖν ὀτρύνουσιν; ὅτι εἰ παῖδας ὄντας αὐτῶν οὐκ ἐπέχουσιν· οὓς γὰρ αὐτός τις κωλύειν δυνάμενος, διὰ τὸ εἶναι κύριος, ἐᾷ πλημμελεῖν, αὐτὸς ἂν εἴη ὁ δοὺς τὴν ἐξουσίαν τῆς ἀδικίας. καὶ πάλιν χωρίσας ἀπ' αὐτῶν τοὺς μνηστῆρας "ἐμοὶ δέ κε κέρδιον εἴη," φησίν, "ὑμᾶς ἐσθέμεναι· παρ' ὑμῶν μὲν γὰρ ἔστιν ἀπολαβεῖν, παρὰ δὲ τούτων οὐκέτι. εἶτα πάλιν κοινῇ

νῦν δέ μοι ἀπρήκτους ὀδύνας ἐμβάλλετε θυμῷ·

τῷ μεταξὺ διαιρεῖν τε καὶ κοινοποιεῖν τὸ ἀδίκημα καὶ παρρησίᾳ κέχρηται βασιλικῇ καὶ δεήσει πάλιν ταπεινὰ πράττοντος, καὶ ποτὲ μὲν τὸ δίκαιον ὑπομιμνήσκει καὶ νέμεσιν, ποτὲ δ' αὖ καὶ αἰσχύνην τῶν ἄλλων ἀνθρώπων, καὶ τὴν παρὰ θεῶν μῆνιν, καὶ τοὺς πατέρας ὑπομιμνήσκει. διὰ πάντων γοῦν τούτων μικτήν τε ὁμοῦ καὶ ποικιλίας πλήρη ποιήσας τὴν δημηγορίαν δεινοῦ ῥήτορος δυνάμει κεχρημένος φαίνεται. H. πῶς τοὺς μνηστῆρας φίλους καλεῖ; ἢ ὁ λόγος πρὸς τοὺς Ἰθακησίους, οἷον ἀντίσχεσθέ μου. διὸ καὶ Ἀριστοφάνης γράφει "μή μ' οἷον ἐάσατε," ὅ ἐστι καὶ ὑμεῖς συμπενθήσατε. Ἀρίσταρχος δὲ τὴν μὲν γραφὴν οὐκ ἀμείβει, τὸ δὲ οἷον ἀκούει πρὸς τὸ πένθος τοῦ πατρός· ἐπιτρέψατέ μοι μόνον ἐν τῷ πένθει εἶναι, καὶ μὴ ἄλλα ἐπισωρεύετε κακά. ἢ καὶ ἐφ' ἑαυτοῦ φησιν, ἐμὲ μόνον ἐάσατε σχολάζειν τῷ πένθει καὶ μὴ ἐπιφύεσθε. πάνδεινον γὰρ τὸ μηδὲ πενθεῖν ἐξουσίαν ἔχειν. H.M.Q.R.T. ἐπιφθόνως λίαν ἐν μέρει χάριτος αἰτεῖται τὴν ἐξουσίαν τοῦ πένθους, ὃν ἔδει πάντας δακρύειν αἰτῶν κἂν

20. 22. ὑπομιμνήσκει] ὑπομνήσκειν H.

26. συμπενθήσατε M. ὑποσυμπαθήσατε ceteri.

29. ἐφ'] ἀφ' Q.

ἐάσατε] φησὶ addit R.

30. ἐπιφύεσθε] ἐπιφύεσθαι M.: unde correxi ἐπιφύεσθε. ἐπιφέρεσθαι R. ἐπιφέρεσθε ceteri.

μηδὲ M. μὴ ceteri.

μόνος; πενθεῖν ἀδεῶς. M.T. ἀνάσχετε ἀπὸ τῆς ἀδικίας ταύτης. S. βοηθήσατε. τὸ γὰρ φίλοι ἀνάρμοστον κατὰ τῶν μνηστήρων, ἵν' ᾖ ἀπόσχεσθε. S.T.V.

πρὸς τοὺς Ἰθακησίους ὅλους· ἐὰν ὁ πατήρ μου δυσμενέων καὶ ἐχθραινόμενος ὑμῖν ἦν, ἐάσατέ με πάσχειν. τὸ δὲ μή παρέλκον. B. 5

72. δυσμενέων κάκ' ἔρεζεν] ἐκακοποίει. Gl. M. τὸ ἔρεζεν διὰ τοῦ ζ καὶ τὸ δυσμενέων μετοχή. πεφεισμένως δὲ τῷ λόγῳ χρῆται οὐκ ἄντικρυς εὐεργέτην καλῶν τὸν πατέρα. M.Q.

73. τῶν μ' ἀποτινύμενοι] ὑπὲρ ὧν καὶ ἕνεκα τούτων με τιμωρούμενοι πράττονται, δυσχεραίνοντες, ἐχθρωδῶς διακείμενοι. S. 10

74. τούτους ὀτρύνοντες] οὐχ ὅτι ὤτρυνον αὐτοὺς εἰς τὸ φανερὸν ἐκεῖνοι, τοῦτο ἐγκαλεῖ Τηλέμαχος, ἀλλ' ὅτι παῖδας ὄντας αὐτῶν τοὺς μνηστῆρας οὐκ ἐπεῖχον. οὓς γάρ τις κωλύειν δυνάμενος, διὰ τὸ εἶναι κύριος αὐτῶν, ἐᾷ πλημμελεῖν, οὗτος ἂν εἴη ἄντικρυς ὁ τὴν τῆς ἀδικίας ἐξουσίαν αὐτοῖς δεδωκώς. E. 15

75. ὑμέας] ἀντικειμένου λύσις. τῷ γὰρ "τούτους ὀτρύνοντες" ῥᾴδιον ἀπαντῆσαι ὅτι οὐκ ὀτρύνομεν οὐδὲ κοινωνοῦμεν τῆς εὐωχίας. πολλῷ οἶν, φησίν, αἱρετώτερον ὑμᾶς ἐσθίειν ἤπερ τοῖς μνηστῆρσιν ἐπιτρέπειν. Q. οἱ γὰρ μὴ ἐνιστάμενοι τῇ βίᾳ τῶν μειρακίων σχεδὸν ἐπιτρέπουσι καὶ ἐπὶ τὰ ἁμαρτήματα προκαλοῦνται. P.Q. 20

πρόβασιν] τὴν κτῆσιν τῶν τετραπόδων, ἀφ' ἧς προβαίνει ἡ οὐσία. τὰ κτήματα καὶ τὴν πρόσοδον. E. περιουσίαν, πρόσοδον, ἀπὸ τοῦ προβαίνειν ἐκ τούτου τὴν οὐσίαν. S.

77. ποτιπτυσσοίμεθα] προστερνιζοίμεθα, παραβάλοιμεν· ἢ ἀχώριστοι γινοίμεθα φιλοφρονούμενοι καὶ προσπλεκόμενοι. B. προσλα- 25 λοίμεθα, φιλοφρόνως ἀπαιτοῖμεν, παρακαλοῖμεν, προσομιλοῖμεν. E.

προτιπτυσσοίμεθα, φιλοφρόνως ἀπαιτοῖμεν, μετὰ τοῦ ρ. δηλοῖ δὲ τὸ στερνιζοίμεθα, ἢ ἀχώριστοι γενοίμεθα. καὶ ἔδει μὲν ἡμᾶς ὑποστίζειν εἰς αὐτό, τὸ δὲ μύθῳ τοῖς ἑξῆς ἀποδιδόναι. ἀλλ' οὐδέποτε ὁ εἰκοστὸς χρόνος τοῦ ἡρωϊκοῦ στιγμὴν ἐπιδέχεται. H.M.Q. 30

6. διὰ τοῦ ζ addidi ex M., qui ἔρεζεν in textu, sed ξ a m. sec. adscripto.

7. πεφεισμένως—ἄντικρυς M. πεφασμένον—ἄντικρυ Q., si recte legit Maius.

27. προτιπτυσσοίμεθα H.M. etiam in textu.

28. στερνιζοίμεθα] προστερνιζοίμεθα, ut in scholio superiore, Buttm.

30. στιγμὴν ἐπιδέχεται] Conf. hanc notam cum regula a Bentleio tradita ad Lucan. 1, 231. PORSON. Et Friedlaender. Nican. p. 128.

79. ἀπρήκτους] πρὸς ἃς οὐδὲν ἔστι πράξασθαι. B.E.M.Q. ἀπράκτους ὀδύνας, ἢ πρὸς ἃς οὐκ ἔστι τι πρᾶξαι. S. νῦν δὲ ἐῶντες ἑτέρους φθείρειν ταῦτα ἐμβάλλετέ μοι ὀδύνας. οὐ γὰρ δυνήσομαι καταπρᾶξαι ἐπὶ τῷ ταῦτα ἀναλαβεῖν. E.

81. ἀναπρήσας] ἀντὶ τοῦ ἀνομβρήσας καὶ δακρύων πλῆθος προέμενος. Ζηνόδοτος δὲ γράφων "δάκρυα θερμὰ χέων" ἐκλέλυκε τὴν μεγαλειότητα τοῦ στίχου. H.M.Q.R. δακρύων πλῆθος προέμενος, ἢ πληρώσας δακρύων τοὺς ὀφθαλμούς. S. δαιμονίως ἑαυτῷ ἐπιμαρτυρεῖ ὁ ποιητὴς ὅτι πρὸς τὸ οἰκτρότατον προῆκε τὸν λόγον. M.Q.R.

82. ἀκὴν ἔσαν] ἥσυχοι ἦσαν σιωπῶντες. S.

οὐδέ τις ἔτλη] οὐδεὶς δὲ ἐτόλμα. S.

85. Τηλέμαχ' ὑψαγόρη] μεγάλῃ κατηγορίᾳ προδιαβάλλει τὸν λόγον ὡς συκοφάντην καὶ δεινὸν εἰπεῖν ἀποφαίνων τὸν Τηλέμαχον. M.Q.

μένος ἄσχετε] ἀκατάσχετε τῇ δυνάμει· εἰρωνικῶς ἀντὶ τοῦ ἀδύνατε. B.E.P.Q.V.

86. μῶμον ἀνάψαι] περιποιῆσαι, περιθεῖναι ἡμῖν. S.

87. μνηστῆρες Ἀχαιῶν] γρ. καὶ ἀχέων, ἤγουν τῶν θλίψεων. ἡ ὀξεῖα παρὰ τῷ ποιητῇ ἐκτείνει. M.

88. ἀλλὰ φίλη μήτηρ] τὸ μὲν πρῶτον ἔγκλημα "μητέρι μοι μνηστῆρες ἐπέχραον οὐκ ἐθελούσῃ" ἑκὼν παρῆκεν· οὐ γὰρ ἦν τοῦτο λῦσαι· ὡς νομίμης δὲ γενομένης τῆς μνηστείας, τὴν ἐξαπατῶσαν αὐτοὺς αἰτίαν φησὶν εἶναι. λέληθε δὲ αὐτῶν ὁμολογῶν τὴν βίαν· ἀπὸ γὰρ τῆς ὑπερθέσεως φανερὰ ἡ τῆς γυναικὸς προαίρεσις. H. M.Q.

περὶ κέρδεα] οὐκ ἀναστρεπτέον τὴν περί· ἔστι γὰρ περίοιδεν. M.

1. ἃς] οὓς M.
2. ἃς] οὓς S.
5. προέμενος correxi ex scholio proximo. προϊέμενος M. προϊείς Q.R.
6. γράφων] γράψας Q. γράφει R.
7. στίχου] στοιχείου R.
9. προῆκε] προῆξε M.
12. προδιαβάλλει—συκοφάντην M. προδιαβάλλων—συκοφαντικὸν Q.
20. πρῶτον] γὰρ M.
μοι om. H.Q.
21. τοῦτο λῦσαι] τούτους λύσις M., recte, si τούτου λύσις scribatur.
22. νομίμης H. νομίμως M. νομίμου Q.
δὲ] καὶ M.
τῆς addidi ex M.
23. αὐτοὺς M. αὐτὸν H.Q.
αὐτῶν] αὐτὸν H.M.
24. ἀπὸ] ἐπεὶ Q.
προαίρεσις] πρόφασις Q.
26. περίοιδεν] περὶ οἶδεν M. περίοιδε per περισσῶς οἶδε explicat Eustath. p. 801, 41.

89. τάχα δ' εἶσι τέταρτον] ἡ διπλῆ πρὸς τὸ ἑξῆς δοκοῦν ἀσυμφώνως λέγεσθαι "ὣς τρίετες μὲν ἔληθε δόλῳ, ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος" (106.)· διὸ καί τινες μετεποίησαν "ὣς δίετες μὲν ἔληθε δόλῳ· ἀλλ' ὅτε δὴ τρίτον ἦλθεν ἔτος·" οὐδὲν δὲ ἐναντίον ἔχει τὰ ἔπη. τὸ γὰρ τάχα ἀντὶ τοῦ ταχέως, τὸ δὲ εἶσιν ἀντὶ τοῦ δίεισι καὶ τὸ τέταρτον. H.M.

τάχα δ' εἶσι] προπερισπαστέον τὸ εἶσι· σημαίνει γὰρ τὸ διελεύσεται, πληρωθήσεται. τὸ δὲ τάχα ἀντὶ τοῦ ταχέως. M. κυρίως τὸ τάχα. ἔστι γὰρ τοῦ ἀπεγνωκότος περιγενέσθαι τῆς Πηνελόπης. M.Q.

90. ἐξ οὗ ἀτέμβει] ἀφ' οὗ στερίσκει, λυπεῖ, ξηραίνει ἐπιθυμίαν. S.

91. πάντας μέν ῥ' ἔλπει] ὑπὲρ τοῦ διαφυγεῖν τὸν παρόντα ἔλεγχον τῆς μητρὸς κατηγορεῖ. M.S.

ἔλπει] ἐλπίζειν ποιεῖ, ἢ ἀντὶ τοῦ ἐλπίδας ὑπισχνεῖται, ὁμολογεῖ. S.

92. ἀγγελίας προϊεῖσα] ἀπαγγελίας προπέμπουσα. S.

93. ἡ δὲ δόλον] διόλου σχεδὸν ὁμολογεῖ τὴν βίαν. S.

ἐνὶ φρεσὶ μερμήριξε] ἐμφαντικῶς τὸ ὅλον, ὡς καὶ τὰ πρῶτα δολίως ἀπατώσης αὐτούς. M.

94. μέγαν ἱστὸν ἐνὶ μεγάροισιν] οὐ ποιητικῶς κόσμου χάριν προσέρριπται τὸ μέγαν, ἀλλὰ πρὸς τὸ πολυχρόνιον τῆς τοῦ ἔργου κατασκευῆς. καὶ τὸ ἄφαρ νῦν ἀντὶ τοῦ ἐξαίφνης. H.M.Q.S.

1—6. Eadem fere in schol. ad 107. Conf. etiam schol. ad ν, 377.

1. ἑξῆς—λέγεσθαι M. εἶσι δοκοῦν εἶναι ἀσύμφωνον λέγεται H.

2. τρίετες] τρίτον ἔτος H.

ἀλλ' ὅτε] ἀλλ' ὅτε δὴ H. ἄλλοι δὲ M.

τέτρατον] τέταρτον H.M.

3. διὸ καί τινες μετεποίησαν] Zenodotus, ut conjicit Osann. Anecd. p. 130: de quo non infrequens in scholiis verbum est μεταποιεῖν vel μεταγράφειν. Idem tamen etiam de Aristophane dicitur, velut ad α, 424.

4. ἔχει om. M.

5. εἶσιν ἀντὶ τοῦ δίεισιν M. εἶσιν διέρχεται H.

8. κυρίως—πηνελόπης M. κυρίως—πηνελόπης. τὸ δὲ εἶσι προπερισπαστέον· σημαίνει γὰρ ὃ ἐπελεύσεται, πληρωθήσεται Q.

14. μητρὸς correxi pro μηρούσης, quod est in M. Nam in S. verba τῆς μ. κ. desunt.

18. ὁμολογεῖ τὴν βίαν] Conf. schol. ad 88.

19. 20. Scholion simile in S. ὡς καὶ τὰ πρῶτα δολίως ἀπατῶσα αὐτοὺς ἐβουλεύσατο, omissis ἐμφ. τὸ ὅλον.

22. ἀλλὰ—τοῦ ἔργου] ἀλλ' ὡς παρέκτασις μᾶλλον ἀπὸ τῆς πολυχρονίου τοῦ ἔργου S.

23. καὶ τὸ] καὶ ὁ Q.

νῦν om. Q.

95. λεπτὸν καὶ περίμετρον] ὁ λεπτοϋφὴς καὶ ὑπέρμετρος, εἰκότως, ἵνα δυστήρητον ἔχῃ τὴν τοῦ ἔργου προκοπήν. H.M.S. Ἄλλως. πολὺν, μέγαν, περισσὸν μέτρον ἔχοντα. S.V.

96. κοῦροι] διὰ τὸ κοῦροι ὀνειδίζει αὐτοὺς, ὡς οὐ δέον ταύτην τὴν ἡλικίαν τὴν μὴ προσήκουσαν μνᾶσθαι. Ἄλλως. Διονύσιος ὁ Θρᾷξ ἰδίᾳ μὲν τὸ κοῦροι, ἰδίᾳ δὲ τὸ "ἐμοὶ μνηστῆρες" διαστέλλει. καὶ ἡμῖν δὲ οὕτω δοκεῖ, ἵν' ᾖ, ὦ νέοι, ἐμοὶ μνηστῆρες. Δημήτριος δὲ ὁ Ἰξίων μετὰ τὴν ἀντωνυμίαν ἔστιξεν, ἵνα, φησὶ, τὸ ἀπρεπὲς αὐτῶν ὀνειδίζηται. M.Q.R.

ἐπεὶ θάνε] τὸ μὴ διηγήσασθαι τὴν ἀπάτην, ἀλλὰ καὶ τὰς φωνὰς αὐτὰς θεῖναι ἐξ ὧν ἠπάτησεν, φαντασίαν ἔχει τῆς ἀληθείας. H.

97. μίμνετ'] τὸ ἑξῆς, μίμνετε εἰσόκε φᾶρος ἐκτελέσω Λαέρτῃ ἥρωϊ ταφήϊον. τὸ δὲ "μή μοι μεταμώλια νήματ' ὄληται" διὰ μέσου. M. φησὶ δὲ μὴ ἐξεῖναι μνηστεύεσθαι ἱστοῦ ἑστῶτος. E.

φᾶρος] ἱμάτιον. S.

98. μεταμάνια] γρ. μεταμώλια ἢ μεταμώνια. P.

μεταμώνια] μή πώς μοι ἠμελημένα. S.

99. Λαέρτῃ ἥρωϊ] ἔμφυτόν πώς ἐστι ταῖς γυναιξὶ πρὸς τοὺς γονεῖς τῶν ἀνδρῶν ἀπεχθῶς ἔχειν. δείκνυσιν οὖν λεληθότως τὴν πρὸς Ὀδυσσέα φιλοστοργίαν, ὃς ταυτὸ παρῄνει μεμνῆσθαι πατρὸς καὶ μητρός. M.S.

100. μοῖρ' ὀλοὴ καθέλῃσι] μερὶς ὀλεθρία καταλάβῃ. S.

τανηλεγέος θανάτοιο] μακροχρονίου, ἐκ τοῦ λέγω τὸ κοιμῶμαι. S. τοῦ μακρὰν ἀφροντισίαν παρέχοντος. ἢ τοῦ μακροκοιμήτου, ἀπὸ τοῦ ταναὸν τὸ μακρὸν καὶ τοῦ λέγω τὸ κοιμῶμαι. B.E.

101. κτεατίσσας] προικοδοτήσας. S.

102. ἄτερ σπείρου] ὡς ἀξίου ἱματίου σπανίζοντος· οὐ γὰρ παν-

1. ὁ λεπτοϋφὴς καὶ ὑπέρμετρος] λεπτοϋφῆ καὶ ὑπέρμετρον H.

3. πολὺν om. V.

4. διὰ τὸ—μνᾶσθαι] Hæc sunt etiam in S.

7. νέοι addidi ex M.

15. In V. hæc adjecta sunt scholio ad 95. sic scripta, φασὶ δὲ μὴ μν. ἱστοῦ ἑστῶτος. Gnomen hæc verba sapiunt sic fortasse conceptam: ἱστοῦ δ' ἑστῶτος μὴ μνηστεύεσθαι ἄμεινον. BUTTM.

17. μεταμάνια] Sic P. in textu.

19. ἔμφυτον] καὶ μὴν ἔμφυτον M. πρὸς] ἀπὸ M.

21. ὃς—μητρός] ὃ—μητέρος M.

25. ἀφροντισίαν] Hæc forma legebatur apud Themist. orat. p. 230, 2. cui ἀφροντιστία restitui ex cod. Ambros.

τελῶς ἐσπάνιζε. γίνεται δὲ ἀπὸ τοῦ ἐνσπείρεσθαι καὶ ἐγκεῖσθαι τοῖς μέλεσιν, ὡς Ὅμηρος ἁπανταχοῦ φησιν. E.Q.

103. ἀγήνωρ] ὁ ἄγαν ἀνδρεῖος. S.

104. ἠματίη] δι' ὅλης τῆς ἡμέρας. S.

105. νύκτας] γρ. νύκτωρ. H.P.

ἀλλύεσκεν] ἀνέλυεν. S.

δαΐδας παραθεῖτο] δᾷδας, φῶτα παρατιθέμενος. S.

106. τρίετες] ὁ μὲν χρόνος βαρέως, τὸ δὲ μετεσχηκὸς τοῦ χρόνου ὀξυτόνως. E.V. τρίετες προπαροξυτόνως. H.

107. ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος] πῶς οὖν ἄνωθεν ἔλεγεν "τάχα δ' εἶσι τέταρτον"; ταῦτα δὲ πρὸς τὰ μικρῷ πρόσθεν εἰρημένα περὶ τῆς ἀσυμφωνίας. εἶπε γὰρ ἔμπροσθεν "ἤδη γὰρ τρίτον ἐστίν" διὸ καί τινες μετεποίησαν "ὣς δίετες μὲν ἔληθε δόλῳ· ἀλλ' ὅτε δὴ τρίτον ἦλθεν ἔτος." οὐδὲν δὲ ἐναντίον ἔχει τὰ ἔπη. τὸ γὰρ τάχα ἐκεῖ ἀντὶ τοῦ ταχέως, τὸ δὲ εἶσιν ἀντὶ τοῦ διέρχεται καὶ τὸ τέταρτον. E.M.Q.

καὶ ἐπήλυθον ὧραι] αἱ ὧραι τοῦ τετάρτου ἔτους. πῶς οὖν ἔμπροσθεν ἔλεγε "τάχα δ' εἶσι τέταρτον"; οἷον τελειωθήσεται. H.V.

108. καὶ τότε δή . . .] προοικονομία εἰς τὰ ἑξῆς, ἵνα καὶ τὴν τῶν θεραπαινῶν ἀναίρεσιν ἑτοίμως παραδεξώμεθα. E.H.M.Q.V.

1. ἀπὸ] ἀντὶ E. Q. Correctum ex H. in quo annotatum κοινότερον Ὅμηρος πᾶν εἶμα σπεῖρον λέγει ἀπὸ τοῦ ἐνσπείρεσθαι.

2. μέλεσιν] μέλεσιν ἱματίου E.Q. Delevi ἱματίου ex superioribus verbis repetitum. Ceterum conf. schol. ad δ, 244.

5. γρ. νύκτωρ] Non est varia lectio, sed glossema: conf. ad 334. et ad α, 361. BUTTM.

8. τρίετες] Conf. Ammon. in v. BUTTM. Vid. Lehrs. Quæst. Ep. p. 136.

11. Delevi verba οἷον τελειωθήσεται post τέταρτον addita, de quibus Buttm. "Verba, οἷον τελειωθήσεται, glossa sunt præpostere huc intrusa. Solvunt enim quæstionem quæ in proximis expenditur adhuc. Illis igitur seclusis interrogationis signum post τέταρτον ponendum. Ad rem conf. schol. ν, 377." Recte leguntur in scholio proximo.

δὲ om. M.

12—15. εἶπε—τέταρτον om. M.

12. ἔμπροσθεν] V. 89. ubi vid. schol.

13. δὴ—ἦλθεν] δὲ—ἤλυθεν E.Q.

17. αἱ ὧραι H. αἱ om. V.

πῶς οὖν ἔμπροσθεν] ὡς συνέμπροσθεν V.

18. τελειωθήσεται] ταῦτα δὲ πρὸς τὰ μικρῷ πρόσθεν εἰρημένα περὶ τῆς ἀσυμφωνίας addit H. Quæ leguntur in scholio præcedente.

19. προοικονομία] ποιητικὴ οἰκονομία V. Brevius scholion in S. προοικονομία εἰς τὰ ἑξῆς, ἵνα καὶ τὴν τῶν θεραπαινῶν ἀναίρεσιν συντόμως προδηλώσῃ.

20. παραδεξώμεθα H.V. ἐδεξώμεθα M. ὑποδεξόμεθα E.Q. δηλοῦται δὲ ἡ δουλικὴ ἀπιστία addit V. ex Eustath. p. 1437, 14.

111. ὧδε] τὸ ὧδε ἀντὶ τοῦ οὕτως· τὸ δὲ ὑποκρίνονται ἀντὶ τοῦ ἀποκρίνονται. B.

114. τῷ ὅτεῳ] περὶ τῆς γνώμης Ἰκαρίου δεδήλωται καὶ ἐν ἄλλοις "ἤδη γάρ ῥα πατήρ τε κασίγνητοί τε κέλονται Εὐρυμάχῳ γήμασθαι." (Od. ο, 16.) H.M. ὅτεῳ] ὡς Πηνέλεῳ. τὸ γὰρ τῷ μετὰ τὸ γενέσθαι ὅτῳ διῃρέθη, ὡς τὸ ὅτου ὅτεο, καὶ ἐν πλεονασμῷ τοῦ τ "εἰρήσεται ὅττεό σε χρή" (Od. α, 124.). E.M.Q.

καὶ ἀνδάνει] καὶ ἀρέσκει. S.

115. εἰ δ' ἔτ' ἀνιήσει] γράφεται καὶ, εἰ δέ τ' ἀνίησιν, ἀντὶ τοῦ ἀναπείθει ἢ λυπεῖ. E.

εἰ δ' ἔτ' ἀνιήσει γε πολὺν χρόνον υἷας Ἀχαιῶν, ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα πάρος γ' ἴμεν (127.). οὕτως τὸ ἑξῆς. τὰ δὲ λοιπὰ διὰ μέσου. δυνατὸν δὲ καὶ Ὁμηρικῷ ἔθει αὐτὸ ἀπολύσασθαι. εἴωθε γὰρ ὁ ποιητὴς τῷ εἰ μηδὲν ἀνταποδιδόναι, οἷον "ἀλλ' εἰ μὲν δώσουσι γέρας" (Il. α, 135.). H.M.Q.

116. τὰ φρονέουσ' ἀνὰ θυμὸν] ταῦτα λογιζομένη κατὰ τὴν ψυχήν. S.

ἅ οἱ] τινὲς, ὅ οἱ αὐτῇ. H.

118. κέρδεα] τὰ πανουργεύματα, οὐχ ὡς ἡμεῖς τὴν φιλοχρηματίαν. ἀπὸ κοινοῦ δὲ τὸ ἐπίστασθαι. H.M.S.

119. τάων αἳ πάρος ἦσαν] ἐπανέλαβε τὸν λόγον, ἐπεὶ μεταξυλογίᾳ ἐχρήσατο. "τάων," ἐκείνων τῶν γυναικῶν. M.S.

αἳ πάρος ἦσαν] πρὸ ἡμῶν ὑπῆρχον. S.

ἐϋπλοκάμιδες Ἀχαιαὶ] εὔκομοι θυγατέρες τῶν Ἑλλήνων. S.

120. Τυρὼ] Σαλμωνέως θυγάτηρ. ἔσχε δὲ παῖδας ἐκ Ποσειδῶνος Νηλέα καὶ Πελίαν. Ἀλκμήνη Ἠλεκτρύωνος θυγάτηρ. Μυκήνη Ἰνάχου θυγάτηρ καὶ Μελίας τῆς Ὠκεανοῦ, ἧς καὶ Ἀρέστορος Ἄργος, ὡς ἐν τῷ Κύκλῳ φέρεται. B.E.H.Q.

ἐϋπλόκαμος] γρ. ἐϋστέφανος. H.M.

6. διῃρέθη] διεκρίθη Q.

ὡς τὸ—τοῦ τ] εἰς τὸ ὅτου καὶ ὅτεω καὶ ἔμπαλιν ἐν τούτῳ M.

7. εἰρήσεται] Legitur μυθήσεαι.

12. τὸ ἑξῆς] τὰ ἑξῆς M.

13. δυνατὸν δὲ καὶ] Sic correxi. δυνατὸν ς καὶ M. Legebatur λείπει καὶ.

αὐτὸ] αὐτῷ M.

ὁ ποιητὴς τῷ] ὁ ποιτῶν M.

14. εἰ (οἱ Q.) μηδὲν] εἰ μηδὲ M.

17. τινὲς, ὅ οἱ αὐτῇ] Absurde. αὐτῇ videtur glossema esse ad οἱ adscriptum.

19. ἀπὸ—ἐπίστασθαι om. H.

21. τάων—γυναικῶν om. M.

24. παῖδας om. H.

25. θυγάτηρ addidi ex H.

26. Ἀρέστορος Buttm. pro ἀριστερός.

28. ἐϋστέφανος] Sic Apollon. Lex. s. v. στεφάνη.

εὐστέφανος] καλὴν στεφάνην ἔχουσα. στεφάνη δὲ κόσμος γυναικεῖος. Ε.

121. ὁμοῖα] πικρῶς καθαψάμενος τῆς Πηνελόπης διαχέαι αὐτὴν βούλεται τοῖς ἐγκωμίοις. ἅμα δὲ καὶ τὴν μνηστείαν εὔλογόν φησι περὶ ἐναρέτου γυναικὸς γινομένην. Ε. 5

122. τοῦτό γ' ἐναίσιμον οὐκ ἐνόησε] τοῦτο δὲ οὐ πρεπόντως οὐδὲ προσηκόντως ἐβουλεύσατο. S.

ἤδη] πάντα μὲν ἠπίστατο, τοῦτο δὲ μόνον ἠγνόει, ὅτι μέλλομεν κατεσθίειν τὸν σὸν οἶκον. Β.

123. τόφρα] ἐπὶ τοσοῦτον. S. μέχρι τοσούτου. Q. Ἀριστοφάνης, τε τέ ἤοι μνηστῆρες ἔδονται. M. Ἀριστοφάνης, βίοτός τε τεὸς ἢ οἱ μνηστῆρες ἔδονται. Q. 10

124. ὄφρα κε κείνη] καὶ μὴν προτρέπεται ὁ λόγος ἐπὶ πλέον σωφρονεῖν τὴν Πηνελόπην. ἀλλ' οὐχ οὗτος ὁ νοῦς, ἀλλ' ἐρεθίζει τὸν Τηλέμαχον ἀπώσασθαι τὴν μητέρα, εἰ διὰ τὸ ἰδίᾳ συμφέρον παρορᾷ τὰ τοῦ Τηλεμάχου. Ε.Μ. 15

ὅντινά οἱ νῦν] κατ' εἰρωνείαν τοῦτο λέγει. S.

126. ποιεῖται] ἀντὶ τοῦ γίνεται. Β. περιποιεῖται. S.

ποθὴν] ἐπιθυμίαν. S.

127. ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα] τοῦτο πρὸς κακοῦ τοῖς μνηστῆρσιν. ἐξὸν σωθῆναι ἄλλην τραπομένους ὅμως πάνυ ὁμοῦ εὑρεθέντες πανωλε- 20

1. στεφάνην] κεφαλὴν Ε.

10. Ἀριστοφάνης, τε—οἱ μνηστῆρες ἔδονται] Exhibui corruptas codicum scripturas, quarum altera sola usus Buttm. hæc annotavit "Porsonus ex scholio Harl. sibi ut videtur non intellecto hoc tantum refert 'Aristophanes videtur legisse μνηστῆρες ἔδονται.' Simul monet in textu codicis supra τεόν scriptum esse τὸν σόν. Hinc colligo grammaticos offendisse in verbo ἔδονται sine subjecto posito, ejusque rei binas attulisse medelas. Quarum lenissima videbatur ut scriberetur βίοτός τε τεός, et forma ἔδονται, lingua scilicet antiqua, passive acciperetur: altera audacior, qua pro verbis καὶ κτήματ' propinabant nominativum μνηστῆρες præcedentibus jungendum aut sic, βίοτον τεὸν οἱ μνηστῆρες, aut sic, βίοτον τὸν σὸν μνηστῆρες." Recte, ut videtur, conjicit lectionem propterea mutatam esse quod subjectum verbi ἔδονται desideraretur, sed in reliquis ab vero aberrat. Quod in M. est τέ ἤοι significat τεὸς ἢ τεοί. Aristophanes fortasse scripserat τόφρα γὰρ οὖν βιότοιο τεοῦ μνηστῆρες ἔδονται (ut Aristoph. comicus Nub. 121. dixit οὐκ ἄρα—τῶν ἐμῶν ἔδει). Alia tentavit Nauck. Aristoph. p. 39.

13. ὄφρα—ἀλλ' οὐχ M. τιθεῖσι θεοί: φρονεῖν τὴν πηνελόπην φησίν. ἀλλ' οὐχ Ε.

15. εἰ διὰ τὸ—παρορᾷ τὰ τοῦ] εἰ δὲ τὸ—προορᾷ τοῦ M.

θρίαν ἔπαθον. καὶ εἴη ἂν ὁ τελευταῖος οὗτος τοῦ Ἀντινόου λόγος ὡς οἷά τις κατὰ τῶν μνηστήρων προεκθετικὴ ἀναφώνησις. V.

130. δόμων ἀέκουσαν ἀπῶσαι] καὶ οὗτος τεχνικῶς ἄγαν τὴν ἀντίρρησιν ποιεῖται. περὶ γὰρ τῆς ἀπάτης καὶ τῆς ὑποσχέσεως σιωπᾷ. παρατηρήσας δὲ ὅπη μάλιστα ἀπερυθριάσει Ἀντίνοος πρὸς τοῦτο τὴν ἀντίρρησιν ποιεῖται. ἔστι γὰρ πρόσφορον ἐν πλήθει τὸν ὑπὲρ τῆς φύσεως λόγον ἀντικαταστῆσαι. ὅρα δὲ καὶ τὴν ὑπαλλαγὴν τοῦ ῥήματος· ὁ μὲν γὰρ ψιλῶς εἶπεν ἀπόπεμψον, ὁ δὲ οὐκ ἄν φησιν ἀπώσασθαι. καὶ ὁ μὲν μητέρα, ὁ δὲ, ἥ μ' ἔτεχ', ἥ μ' ἔθρεψε. καὶ ἐπὶ τούτοις τὸ μῦθον ἐνίψω. H.Q.V.

131. ἥ μ' ἔτεχ'] διὰ τῶν ῥημάτων ἔδειξε τοὺς ἐν τῷ τίκτειν καὶ προσφέρειν κινδύνους. ἔστι δὲ κινητικὰ ταῦτα. ἐν γὰρ πρεσβυτέροις καὶ γονεῦσιν ὁ λόγος. E.H.M.

132. κακὸν δέ με πόλλ' ἀποτίνειν] καὶ στικτέον. λέγει γὰρ ὅτι κακόν ἐστι πολλοῖς ὑπέχειν τιμωρίαν ἀποπέμψαντι τὴν θυγατέρα τῷ Ἰκαρίῳ. Q. Ms. Barnes.

133. Ἰκαρίῳ] κατ' ἔνια τῶν ὑπομνημάτων ἡ τούτων ἐξήγησις ἡμάρτηται. φασὶ γὰρ, ἔθος ἦν, εἴ τις ἑκὼν ἐξ οἴκου γυναῖκα ἀπέπεμψε, χρήματα ἀποτίνειν τοῖς ταύτης συγγενέσι καὶ τῷ πατρί. φησὶν οὖν ὅτι κακόν ἐστι καὶ οἷον ἀλυσιτελὲς ἐὰν ἐκδιώξω τῶν οἴκων τὴν μητέρα· πολλὰ γὰρ ἀποτίσω τῷ Ἰκαρίῳ. ἄμεινον δὲ οὕτω διαστέλλειν, κακὸν δέ με πόλλ' ἀποτίνειν. καὶ οὐ περὶ χρημάτων φησὶν, ἀλλὰ περὶ τῶν ἐπαγομένων. ἐκ γὰρ τοῦ πατρὸς κακὰ πείσομαι, ἄλλα δὲ δαίμων δώσει. εἶτα καθ' ὑπερβατὸν, αἴκ' αὐτὸς ἑκὼν Ἰκαρίῳ ἀποπέμψω τὴν μητέρα. ἐπεὶ εἰ περὶ χρημάτων ἔλεγε, σμικρολόγος ἂν ἐφαίνετο. B.M.V. ἑκών] γρ. ἐγών. H.

134. ἐκ γὰρ τοῦ πατρὸς κακὰ πείσομαι] εἰ ἐπανέλθοι ὁ Ὀδυσσεύς. οὐ γὰρ ἀπεγνώκει αὐτὸν παντελῶς. τινὲς δὲ, ἐκ γὰρ τοῦ πατρὸς, τοῦ αὐτῆς πατρός· καὶ στίζουσι τῷ Ἰκαρίῳ. B.E.H.Q.

3. οὗτος (οὕτως Q.) τεχνικῶς ἄγαν τὴν] οὗτος τεχνικὴν ἄγαν μερικὴν V.
5. ὅπη] ὅτι H.Q.
ἀπερυθριάσει H. ἀπερεθριώσει Q. ἀπηριθριώση (sic) V.
10. μῦθον om. Q.V.
11. διὰ Buttm. ἴδια E. ἰδία H. ἴδια M.
ῥημάτων M. χρημάτων E.
12. γὰρ H.M. τοῖς E.
16. Ἰκαρίῳ] μῦθον ἐνίψω (ex 137.) addit Q.
20. ἐὰν] εἰ V.
ἐκδιώξω] διώξω B.
27—29. In H., qui hoc scholion a m. sec. habet, hic ordo verborum, ἐκ γὰρ τοῦ πατρός: τινὲς ἐκ γὰρ τοῦ πατρὸς, τὸν αὐτῆς πατρὸς, καὶ στίζουσι

τοῦ πατρὸς] τὸ δὲ τοῦ πατρός οὐ περὶ Τυνδάρεω, ἀλλὰ περὶ Ὀδυσσέως· οὐ γὰρ ἀπεγνώκει αὐτὸν, ἐπειδή φησιν "ὀσσόμενος πατέρ' ἐσθλὸν ἐνὶ φρεσίν" (α, 115.). ἄλλως τε κατὰ Καλλίμαχον "χαλεπὴ μῆνις ἐπιχθονίων." διὸ Ἀρίσταρχος ἀθετεῖ τὸν "ἔσσεται, ὡς οὐ τοῦτον ἐγώ ποτε μῦθον ἐνίψω." περισσὸς γάρ ἐστι πρὸς ταύ- 5 την τὴν ἀπόδοσιν. M.V.

135. ἀρήσετ' Ἐριννῦς] ἐπικαλέσεται. S.

137. ἔσσεται] ἀθετεῖται μὲν ὑπὸ Ἀριστάρχου, στικτέον δὲ ὅμως μετὰ τὸ ἔσσεται, ἵνα τὸ ὥς κέηται ἀντὶ τοῦ οὕτως. H.M.

ἐγώ ποτε μῦθον ἐνίψω] μετὰ ἀπειλῆς ἐπιπλήξω, λοιδορήσω. εἴπω 10 μετὰ ἐπιπλήξεως. ἐνιπὴ ἡ ἐπίπληξις. S.

139. ἕξιτε] ἐξέλθετε, ἐξέρχεσθε. S.

δαῖτας] ἀπὸ τοῦ δαῖς δαιτός προπερισπωμένως, εἴτε ἀπὸ τοῦ δαίτη δαίτης παροξυτόνως. S.

140. ὑμὰ κτήματα] τὴν ὑμετέραν κτῆσιν. S. 15

ἀμειβόμενοι] ἐξ ἀμοιβῆς εἰς ἑνὸς ἑκάστου οἶκον πορευόμενοι. E. ἐναλλάσσονται κατὰ διαδοχήν. S.

142. νήποινον] ἀνεκδίκητον. S.

143. κείρετ'] φθείρετε. S.

ἐπιβώσομαι] ἐπιβοήσομαι, ἐπικαλέσομαι, ὡς τὸ ὀγδώκοντα τὰ 20 ὀγδοήκοντα. S. ἐπικαλέσω. ἐπὶ κατάρας καὶ εὐχὰς τραπόμενος πρὸς τὰ ἑξῆς εὐκαταφρόνητος ἔσται πρὸς ἐπιβουλάς. H.Q.

αἰὲν ἐόντας] ἐπὶ τὸ ἐόντας στικτέον. ἡ γὰρ ἑξῆς περίοδος καθ' αὑτήν ἐστιν· αἴκε Ζεὺς δῷσι, νήποινοί κεν ἔπειτα. Q.

144. αἴ κε] ἢ ἀντὶ τοῦ εἴθε ἢ ἀντὶ τοῦ ἐάν. M. αἴκε ποτὲ Ζεὺς 25 δῷσι] γρ. ποθί. H.

παλίντιτα] παλιντιμώρητα. S.

τῷ Ἰκαρίῳ· εἰ ἐπανέλθοι ὁ πατὴρ, οὐ γὰρ ἀπεγνώκει αὐτὸν παντελῶς.

1. τὸ δὲ τοῦ—Ὀδυσσέως om. V.
3. Καλλίμαχον] Fragm. 262.
4. τὸν Buttm. pro τό.
5. ἐστι πρὸς] ἐστὶν οὐ πρὸς V.
8. ἀθετεῖται] Vid. schol. ad 134.
9. κέηται H. κεῖται M.
19. φθείρετε] φθείρει S.
22. εὐκαταφρόνητοί ἐστε Q. Suspicor scripsisse hominem εὐκαταφρόνητος ἔστι: h. e. eo quod ad preces et imprecationes descendit illud efficit Telemachus, ut eum contemnant proci, neque insidias timeant e postremis ejus verbis (πρὸς τὰ ἑξῆς), intra domum eos fortasse perituros esse. BUTTM. Correxi εὐκαταφρόνητος ἔσται ex H. Idem πρὸς τὰς ἑξῆς habere dicitur.
26. γρ. ποθί] αἴκε πόθι in textu habet M. a correctore, cum gl. εἴπως ποτέ.

145. νήποινοί κεν ἔπειτα] ἀνεκδίκητοι τὸ μετέπειτα. S.

146. τῷ δ' αἰετὼ εὐρύοπα Ζεὺς] ἡ μὲν ἐξ ὄρους ἄφιξις τὴν ἐξ ἀγρῶν ἐπάνοδον Ὀδυσσέως καὶ τοῦ παιδὸς σημαίνει· καὶ ἡ μὲν ἐν ἀρχῇ ἠρεμαία πτῆσις τὴν μετὰ ἡσυχίας κάθοδον· ὁ δὲ κατὰ τὴν ἀγορὰν αὐτῶν θόρυβος τὴν κατὰ τὴν πόλιν γενομένην ταραχήν· ὁ δὲ τιναγμὸς τῶν πτερῶν τὴν ἀποβολὴν καὶ ἐλάττωσιν τῶν κρειττόνων· τὸ δὲ καταδρύψαι τὰς παρειὰς τὸν τῶν μνηστήρων ἐσήμανε φόνον. διὰ δὲ τὸ ἀνατολικοὺς ὁρμῆσαι, ὅτι οἱ μὲν δύο νικήσουσιν, οἱ δὲ μνηστῆρες ἐν ζόφῳ γενήσονται. E.H.Q.V.

τὼ δ' αἰετὼ] τινὲς τὸ τώ περισπῶσιν ἐπὶ τοῦ Τηλεμάχου ἀκούοντες. H.Q.S.

147. ὑψόθεν ἐκ κορυφῆς] ἐξ ὕψους, ἐκ τοῦ ἀνωτέρου μέρους. S.

προέηκε] ἔπεμψε. S.

148. τὼ δ' εἴως] καὶ οὕτω οἱ δύο ἀετοί. S. τὸ εἴως ἀντὶ τοῦ τέως· διὸ οὐδὲ ὑποστιγμὴν ἀποτελεῖ, ἀλλὰ στιγμὴν τῷ "πτερύγεσσιν." H.M.S.

τὼ δ' εἴως μέν] οἱ ἀετοὶ σημαντικοὶ δεξιῶν ἤτοι ἀγαθῶν. δεξιὰ γὰρ τὰ ἀγαθὰ οἶδεν Ὅμηρος. ἀετὸς δὲ παρὰ τὸ ἐτεὸν, τὸ ἀληθές. E.

μετὰ πνοιῇς ἀνέμοιο] ὡς ἡσυχῇ τὸ ἔργον τὰ πρῶτα διαχειριζόμενοι. V.

149. πλησίω ἀλλήλοισιν] ἐπεὶ οὐκ ἀποστατοῦσιν ἀλλήλων ταῖς βουλαῖς. V.

τιταινομένω] ἐξέτεινον. S.

πτερύγεσσιν] Ἀττικὸν ἰδίωμα. S.

150. ἀλλ' ὅτε δὴ μέσην ἀγορὴν] ἀλλ' ὁπόταν μέσον τοῦ ἀθροίσματος, ἐν ᾧ πολλαὶ φῆμαί εἰσι, παρεγένοντο. S.

πολύφημον] ἐν ᾗ πολλαὶ φῆμαί εἰσιν, ἐν ᾗ πολλαὶ κληδόνες εἰσὶν, ἥτις πολλὰς φήμας περὶ τοῦ Ὀδυσσέως ἔχει. ἢ τὴν πολλὴν εὐφημίαν ἐν τοῖς λόγοις ἔχουσαν. S.

151. ἔνθ' ἐπιδινηθέντες] ἐκεῖσε δὲ ἐνταῦθα συστραφέντες ἐν τῷ καταράσσειν τὰ συνεχῆ αὐτῶν πτερά. S.

152. ἐς δ' ἱκέτην] ἀφίκοντο. M.S.

ὄσσοντο δ' ὄλεθρον] προεμαντεύοντο, προεδήλουν αὐτοῖς ἀπώλειαν. S.

6. ἀποβολὴν καὶ H. ἀπώλειαν καὶ V., om. E.Q.
κρειττόνων] ἀρχόντων V.
8. τὸ] τοὺς E.Q. Fort. τοῦ.
ἀνατολικοὺς] κατὰ ἀνατολὰς V.
15. ὑποστιγμὴν] στιγμὴν S.
στιγμὴν] στιγμὴ ἐν S.

ὄσσοντο] ἐν τῇ Ῥιανοῦ, ἔσσατο, ἀντὶ τοῦ ὄσσαν καὶ κληδόνα ἐποίουν. H.

153. δρυψαμένω δ' ὀνύχεσσι] κατασπαράξαντες, ἀποξύσαντες δὲ τοῖς ὄνυξι καὶ τοὺς αὐχένας. S.

154. δεξιὼ ἤϊξαν] ἀνατολικοί. δεξιὰ γὰρ τὰ ἀνατολικὰ λέγει ὁ Ὅμηρος· "εἴτ' ἐπιδέξι' ἴωσι πρὸς ἠώ τ' ἠέλιόν τε, εἴτ' ἐπ' ἀριστερὰ ποτὶ ζόφον ἠερόεντα." (Il. μ, 239.). E.Q.S.

αὐτῶν] Ἀριστοφάνης οὕτως γράφει, ἀντὶ τοῦ ὥσπερ ἦλθον καὶ ἀπέστησαν. H.M.

καὶ πόλιν αὐτῶν] πόλιν πλάττει ἰδίαν τοῖς ἀετοῖς ὁ Ὅμηρος. εἴποι δ' ἄν τις καὶ πόλιν αὐτῶν τὰς τῶν ὀρῶν κορυφάς. B.

156. ὥρμηναν δ' ἀνὰ θυμὸν ἅπερ τελέεσθαι ἔμελλον] οἱ γὰρ κακοὶ τὰς πράξεις κακὰς καὶ τὰς ἐλπίδας ἔχουσι. τὰ δὲ τοιαῦτα τῶν σημείων τοῖς μὲν ἀγαθοῖς τὸ θαρρεῖν, τοῖς δὲ πονηροῖς ἀποτροπὴν ποιεῖ τῶν τετολμημένων. E.H.Q.S.V. τὸ δὲ ὥρμηναν σημαίνει τὸ διενόησαν, διελογίζοντο. τὸ δὲ ἅπερ ἀντὶ τοῦ καθάπερ. H.

ἔμελλον διὰ τοῦ ο· τοῦτο γὰρ Ὁμήρῳ σύνηθες. H.M.S.

157. Ἀλιθέρσης] τὸ Ἀλιθέρσης ψιλωτέον, εἰ καὶ παρὰ τὸ ἅλς ἐγένετο, εἰς ἰδιότητα τοῦ ὀνόματος. E.M. ὁ διάπυρος ἐν τῇ ἁλί. μαρτυρεῖ δὲ αὐτῷ καὶ χρόνον καὶ φύσιν εἰς ἔπαινον. B.E.M.

158. Μαστορίδης] ὁ τοῦ Μάστορος υἱός. S.

ὁμηλικίην ἐκέκαστο] ἐκ τῶν ὁμηλίκων ἐκεκόσμητο. S.

159. ὄρνιθας γνῶναι] διὰ τῶν ὀρνίθων ἐπιγνῶναι. S.

1. ἔσσατο corruptum. ὄσσαντο Porson.

5. ἀνατολικοί] δεξιοὶ καὶ ἀνατολικοὶ S.

τὰ om. E.Q.

λέγει] καλεῖ S.

6. εἴτ' ἐπ'] εἴτε τ' E.Q.

7. ἠερόεντα om. E.Q. ἱερόεντα (quod in Odysseæ versu in textu habet M.) S. addito Ἀριστοφάνης, quod remansit ex scholio proximo.

8. αὐτῶν—ἀπέστησαν] Scholion in H.M. sine lemmate positum recte huc rettulit Cobetus. Idem οὕτως, quod ex αὕτως corruptum videri potest, recte in αὖτις mutare videtur.

12. γὰρ om. S.

15. Verba διενοήθησαν (nam sic scriptum), διελογίζοντο habet etiam S.

17. ἔμελλον] ἔμελλεν M. in textu.

18—20. Hæc in M. sic disposita, μαρτυρεῖ αὐτῷ—ἔπαινον. ψιλωτέον δὲ τὸ ἀλιθέρσης—ὀνόματος.

18. ἅλς Buttm. pro ἅλις.

19. διάπυρος Buttm. pro διὰ πυρός.

διάπυρος ἐν τῇ ἁλί] Manifestius etymon in voce θέρσος, quæ Æolica est forma pro θάρσος, et unde Thersitæ quoque nomen est audaci homini: vid. Etym. M. in v. et schol. Ven. ad Il. β, 212. BUTTM.

20. μαρτυρεῖ αὐτῷ—ἔπαινον habet etiam H.

ἐναίσιμα] μαντευτικὰ, τὰ ὑπὸ τῆς αἴσης πεπρωμένα, τὰ καθήκοντα μαντεύσασθαι. S.

160. ὅ σφιν ἐϋφρονέων] τὸ ὅ προκαταρκτικόν ἐστιν ἀντὶ τοῦ ὑποτακτικοῦ. H.M.S. ὅστις ἐν αὐτοῖς καλῶς ἐδημηγόρησε καὶ τὸ μετὰ ταῦτα εἶπε. S.

161. ὅττι κεν εἴπω] ὅπερ ἂν εἴπω καὶ λέξω. S.

162. πιφαυσκόμενος] προμηνύων, προλέγων, διαβεβαιούμενος. S.

163. τοῖσι γὰρ μέγα πῆμα κυλίνδεται] τούτοις μεγίστη βλάβη ἐπέρχεται. S.

164. δὴν ἀπάνευθε φίλων] ἐπὶ πολὺν χρόνον χωρὶς ἰδίων. S.

165. ἐγγὺς ἐὼν] ἀλλὰ μὴν ἐν Ὠγυγίᾳ ἐστὶν, ὥστε οὐκ ἐγγύς ἐστιν. λύοιτο δ' ἂν ἐκ τῆς λέξεως· τὸ γὰρ ἐγγύς καὶ ἐπὶ χρόνου καὶ ἐπὶ τόπου τάσσεται· νῦν οὖν ἐπὶ χρόνου παρείληπται. B.E.H.Q. τὸ ἐγγὺς οὐ τοπικῶς νῦν, ἀλλὰ χρονικῶς. ἐν Ὠγυγίᾳ γὰρ ἦν. H.S.

τοίσδεσσι φόνον καὶ κῆρα φυτεύει] τούτοις τὸν διὰ τοῦ φόνου θάνατον κατασκευάζει. S.

166. πολέσιν] πολλοῖς τοῖς πατράσι τῶν Ἑλλήνων δηλονότι, ἤτοι τῶν μνηστήρων. S.

167. Ἰθάκην εὐδείελον] τὴν εὖ πρὸς δείλην κειμένην· ἢ εὔσημον, εὐπεριόριστον· τοιαῦται γὰρ αἱ νῆσοι ὡς πρὸς σύγκρισιν τῶν ἠπείρων τῷ ὕδατι περιγραφόμεναι· ἢ τὴν λαμπρὰν, ἀπὸ τοῦ εὖ καὶ τοῦ ἕλη, ἡ θερμασία. B.E.Q. τὴν πρὸς δυτικὸν μέρος εὖ ἔχουσαν. ἀναλογεῖ γὰρ τὸ ἀνατολικὸν καὶ ἑῷον μέρος τοῦ κόσμου τῇ πρωΐᾳ τῆς ἡμέρας, τὸ δὲ δυτικὸν καὶ ἑσπερινὸν τῇ δείλῃ καὶ ἑσπέρᾳ. ἢ εὐδείελον τὴν εὖ ἔχουσαν τοῦ ἀέρος κατὰ τὴν δείλην μᾶλλον τῆς ἡμέρας ἢ τὴν πρωΐαν. ἢ εὐδείελον τὴν πρὸς τὸ δυτικὸν μέρος κειμένην, παρὰ τὸ ἐνδεῆ εἶναι τῆς ἕλης ἤτοι τῆς θέρμης. E. εὐπεριόριστον ἢ εὔδηλον καὶ φανεράν, καθὸ νῆσός ἐστιν. πᾶσαι δὲ αἱ νῆσοι συγκρινόμεναι ἠπείροις εὐδηλότερα ἔχουσι τὰ ὅρια. ἢ τὴν πρὸς δύσιν καὶ δείλην κειμένην (δείλη γὰρ ἡ δύσις), τουτέστιν ἑσπερίαν. H.P.Q.S. MS. Barnes.

19. εὐδείελον] Conf. schol. ι, 21.

20—30. εὐπεριόριστον—δύσις] εὐδείελον, ἤτοι εὐδιεινὴν καὶ ἀπεριόριστον. καὶ τὴν εὖ πρὸς δήλην κειμένην, ἢ εὔδηλον καὶ φανεράν, καθὸ νῆσος ἐστὶ, πᾶσαι δὲ αἱ νῆσαι συγκρινόμεναι ταῖς ἠπείροις εὐδηλότερα ἔχουσι τὰ ὅρια· ἢ τὴν εἰς τὴν δύσιν καὶ δείλην κειμένην, δείλη γὰρ ἡ δύσις S.

28. εὐδηλότερα S. εὐδηλότατα ceteri.

29. πρὸς] εὖ πρὸς Barnes.

30. τουτέστιν ἑσπερία (correxi ἑσπερίαν) habent H.S., om. ceteri.

169. καὶ γάρ σφιν] καὶ γὰρ λώϊον αὐτοῖς ἐστι τὸ ἄφαρ παύσασθαι. B.Q.S.

λωΐτερον] γρ. λώϊον. H.

170. ἀπείρητος] ἄπειρος καὶ ἀμαθής. S.

μαντεύσομαι] αἱ χαριέστεραι μαντεύομαι, ὡς συνεχῶς, ἤγουν ἄπειρος αὐτὸς μαντεύομαι. H. προλέξω. Gl.M.

172. ὥς οἱ ἐμυθέομην] συναπτέον ἕως τοῦ "πολύμητις Ὀδυσσεύς." δύναται δέ τις καὶ ἐπὶ τὸ ἐμυθεόμην στίζειν, τοῖς ἄνω αὐτὸ ἀποδιδοὺς, καὶ ἀφ' ἑτέρας ἀρχῆς ἀναγινώσκειν "ὅτε Ἴλιον ἐσανέβαινον," ἵνα ὑποστίζωμεν μετὰ τὸ Ἀργεῖοι καὶ Ὀδυσσεὺς, ἡ δὲ ἀπόδοσις, φῆν κακὰ πολλά. E.Q.S.V.

178. εἰ δ' ἄγε] τὸ εἴα καὶ ἄγε καὶ φέρε ἐπιρρήματα παρακελευσματικά. τὸ εἰ ἀντὶ τοῦ εἴα. B.

180. ἀμείνων] γράφεται, ἀμείνω, χωρὶς τοῦ ν, ὅπερ καὶ κάλλιον. H.

182. φοιτῶσ'] τινὲς πωτῶντ'. ἀκυρότερον γὰρ ἐπὶ ὀρνίθων τὸ φοιτᾶν. M.Q.S.

οὐδέ τε πάντες ἐναίσιμοι] μαντικοὶ, τὸ εἱμαρμένον σημαίνοντες· τοῦτο γὰρ τὸ ἐναίσιμοι. ὁ δὲ τε σύνδεσμος περισσός. ἐν δὲ τοῖς εἰκαιοτέροις γράφεται οὐδέ τι. H.M.S.

183. ὤλετο τῆλ'] τὸ τῆλε σημαίνει καὶ τὴν ἐν τόπῳ σχέσιν, ὥσπερ νῦν, καὶ τὴν ἐκ τόπου "τῆλ' ἐξ Ἀσκανίης" (Il. β, 863.), καὶ τὴν εἰς τόπον "τῆλέ με εἴργουσι ψυχαί" (Il. ψ, 72.). Q.

1. ἐστι om. S.

3. γρ. λώϊον] Est glossema. Vid. ad 334. BUTTM.

8. δύναται δέ S. δέ om ceteri.

14. κάλλιον] Mirum, nominativum in ω hic commendari, qui alias ut Zenodoteus longe rejicitur. Vid. schol. Il. α, 80. et al. Nam cum ταῦτα illud strui nequit. BUTTM.

16. πωτῶντο Buttm. pro ποτῶντο (ποτῶντ' M.)

ἀκυρότερον scripsi pro οὐδὲ ἀκυρότερον. οὐδέ ex verbis poetæ illatum servari potest si scribatur τινὲς "πωτῶντ'· οὐδέ."

γὰρ om. Q.

ἐπὶ ὀρνίθων] Quod addunt libri τὸ ποτῶντο mutavi in τὸ φοιτᾶν.

18. οὐδέ τε] Sic M. in textu a pr. m., οὐδέτϊ a correctore. οὐδέ τι H. in textu, sed οὐδέ τε in lemmate scholii. οὐδέ τι S.

19. τοῦτο γὰρ τὸ ἐναίσιμοι S.

ὁ δὲ — περισσός M. S. περισσὸς ὁ τε H. Ex Q. ad lemma οὐδέτι enotatum γράφε, οὐδέ τε. ἔστι δὲ ὁ τέ περισσός. ubi γράφε in γράφεται mutandum.

τοῖς εἰκαιοτέροις] Nominativum τὰ εἰκαιότερα habes infra ad τ, 83. Intelligenda τὰ ἀντίγραφα. Sic et ad ρ, 160. ἐν τοῖς χαριεστέροις et ἐν τοῖς κοινοτέροις. BUTTM.

ὡς καὶ σὺ] τὸ ὡς ἀναφορικόν ἐστι, καὶ συναπτέον αὐτὸ τοῖς ἐπάνω. ἢ ἀντὶ τοῦ εἴθε, καὶ ἀπὸ ἄλλης ἀρχῆς αὐτὸ ἀναγνωστέον. Q.V.

184. θεσπροπέων] ἐκ θεῶν μαντευόμενος. κατ' εἰρωνείαν τοῦτο. S.

185. ὧδ' ἀνιείης] ἀπὸ τοῦ ἀνίημι, ὡς τιθείης. κυνηγετικὴ ἡ λέξις. ὅτε τις κύνα τοῦ δεσμοῦ ἀνεὶς ἀφήσει κατὰ θηρός. V. ἀνέπειθες, διήγειρες. ἡ μεταφορὰ τῆς λέξεως εἴληπται ἀπὸ τῶν κυνηγετῶν τοὺς ἱμάντας ἀφιέντων τοῖς κυσί. E.R.

ἀνιείης] δασυντέον. ἔστι γὰρ ἀντὶ τοῦ ἀναπείθοις, ἀπὸ μεταφορᾶς τῶν κυνηγῶν τῶν ἐφιέντων τοὺς ἱμάντας τοῖς κυσί. ψιλοῖ δὲ Ἑλλάνικος παρὰ τὴν ἀνίαν ἐκδεχόμενος τὸ λυποίης. εἰ δὲ τοῦτο, ἐχρῆν γράφειν ἀνιῴης. τοιαύτη γὰρ ἡ δευτέρα συζυγία. H.M.Q.R.V.

186. ποτιδέγμενος] προσδεχόμενος. S.

πόρῃσιν] παράσχῃ. S.

189. παρφάμενος] παραπείσας, παραλογισάμενος, συμβουλεύσας· ἐκ τοῦ παραινῶ καὶ τοῦ φημί, ἀπὸ τῆς παρά προθέσεως καὶ τοῦ αἶνος, ὁ λόγος. E. παραπείσας, ἀπατῶν. S.

190. ἀνιηρέστερον] λυπηρότερον. Ἀττικὸν. ὡς τὸ πτωχέστερον. S.

192. θωὴν ἐπιθήσομεν] ζημίαν, ἤγουν θάνατον ἐμβαλοῦμεν. S.

σοὶ δὲ, γέρον, θωὴν ἐπιθήσομεν] ἤτοι ἐπιβαλοῦμεν θωὴν, τουτέστι ζημίαν, ἥντινα τίνων, τουτέστιν ἀποτίνων καὶ ἀποδιδοὺς, ἀσχαλεῖς ἤτοι δυσχεραινεῖς. H.Q. γρ. ἐπιθήσομαι. H.

195. μητέρα ἣν ἐς πατρὸς—οἱ δὲ γάμον τεύξουσι] τὸ σχῆμα περιττὸν, ἀπότομον. V.

μητέρα ἣν ἐς πατρὸς] ἡδέως τῷ σχήματι ἐχρήσατο· εἰπὼν γὰρ "ἐς πατρός" μετέβη εἰς πληθυντικὸν "οἱ δὲ γάμον τεύξουσι," δηλονότι οἱ μνηστῆρες, καὶ εὐτρεπίσουσιν ἔεδνα ὅσα δεῖ ἐπὶ τῇ τοιαύτῃ

5. κυνηγετικὴ—θηρός] Hæc ex Eustathio compilata videntur p. 1441, 9. unde ἀφήσει correxi pro ἀφήσῃ.

6. ἀνέπειθες, διήγειρες om. E.

7. εἴληπται om. R.

8. ἀφιέντων ante τοὺς ἱμάντας habet E., omisso τοῖς κυσί.

9. δασυντέον] Nempe in accuratis editionibus addiderant spiritum etiam in media voce, ut ἀνιείς, φιλίππους. PORSON. δασυνητέον V. Cf. ad α, 27. BUTTM. δασυντέον δὲ τοῦτο R.

10. δὲ] δὲ καὶ H.R.

Ἑλλάνικος] De Hellanico hoc grammatico, idemne sit an diversus ab historico, vide Sturzium disputantem in Comm. de Hellanico §. 10. BUTTM.

16. φημί Buttm. pro φῆς.

21. ἀσχαλεῖς Buttm. pro ἀσχάλλεις (ἀσχάλεις H.).

24. ἀπότομον Buttm. in Præfat. p. xiii. pro ἄτομον.

27. οἱ μνηστῆρες] Immo auctor pri-

παιδὶ δίδοσθαι παρὰ τῶν γαμούντων. κειμήλια δὲ τὰ παρὰ τοῦ πατρὸς τῆς νύμφης διδόμενα, ἤγουν τὰ ἐξώπροικα. E.Q.

196. οἱ δὲ γάμον] οὗτοι οἱ μνηστῆρες, οἱ ἐν τῷ δώματι τοῦ πατρός. S.

ἀρτυνέουσιν] ἑτοιμάσουσιν. S. 5

ἔεδνα] τὰ παρὰ τοῦ νυμφίου, γαμήλια δὲ τὰ παρὰ τοῦ πατρὸς τῆς νύμφης διδόμενα. M.S.V.

197. πολλὰ μάλ' ὅσσα ἔοικε φίλης] πλεῖστα πάνυ ὁπόσα καὶ ἅ ἐστι προσφιλεστάτῃ παιδὶ δίδοσθαι. S.

199. μνηστύος ἀργαλέης] ἔξωθεν ληπτέον, πρὸ τοῦ γῆμαι τὴν σὴν 10 μητέρα. B.

ἐπεὶ οὔτινα δείδιμεν] προειπὼν "ἐπεὶ οὔτινα δείδιμεν ἔμπης," οὔτε Τηλέμαχον οὔτε τὸν μάντιν οὐκέτι ἐπήγαγεν οὔτε ἄλλον τινὰ, καίτοι ὁ λόγος ἀπῄτει, ἀλλ' ἣν εἶχεν ἀπέχθειαν πρὸς τὸ πλῆθος. H.M.Q.V. 15

206. εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν] ἕνεκα τῶν ἀρετῶν αὐτῆς ἐρίζομεν. τὰ κοσμοῦντα αὐτὴν πάντως λέγει. S.

εἵνεκα τῆς ἀρετῆς] ὁ Ἀρίσταρχος λείπειν φησὶ τὸ ἄρθρον, ἵν' ᾖ, εἵνεκα τῆς ταύτης ἀρετῆς· Ἰακὸν δὲ τὸ ἔθος εἶναι. Ἀριστοφάνης δὲ ὑπώπτευε τὸν στίχον, νεωτερικὸν λέγων ὄνομα τὸ τῆς ἀρετῆς. πι- 20 θανὸν δὲ συναθετεῖν αὐτῷ καὶ τὸν πρὸ αὐτοῦ καὶ τὸν μετ' αὐτόν. H.M.Q.R.

207. ἐπιεικὲς ὀπυιέμεν] πρέπει μνηστεύεσθαι, γαμεῖν. S.

209. ἀγανοὶ] γρ. ἀγανοί. οἱ δὲ, Ἀχαιοί. H.

210. ταῦτα μὲν] λείπει ἡ εἰς πρόθεσις, ἵν' ᾖ εἰς ταῦτα. παροξυ- 25 τόνως δὲ ὑμέας ἀντωνυμία. ἔστι γὰρ ἀντιδιασταλτική. M.

ταῦτα μὲν οὐχ ὑμέας] περὶ τούτων οὐκέτι ὑμᾶς λιτανεύσω οὐδὲ δημηγορήσω. S.

morum hujus scholii verborum volebat πατὴρ καὶ ἀδελφοί. Illud tamen et in schol. Vulg. ubi leguntur verba, εἰπὼν, ἐς πατρὸς, usque ad τῶν γαμούντων. Videntur itaque jam olim excidisse quædam propter repetitionem eorundem verborum, in hunc modum: οἱ δὲ γάμον τεύξουσι, δηλονότι πατὴρ καὶ ἀδελφοί. τινὲς δὲ λαμβάνουσι τὸ, οἱ δὲ γάμον τεύξουσι, δηλονότι οἱ μνηστῆρες. BUTTM.

1. κειμήλια] Vid. ad α, 276. BUTTM.

6. γαμήλια] μείλια V.

τῆς νύμφης M.S. τῇ νύμφῃ V.

13. τὸν μάντιν M. τὴν μαντείαν ceteri. ἔμπης—μάντιν om. Q.

14. ἣν om. V.

18. ὁ] ὁ δὲ Q. Verba ὁ Ἀρίσταρχος—ταύτης ἀρετῆς habet etiam S.

19. Ἰακὸν H.R. ἰακὰ M. ἰαὴ Q.

21. αὐτόν Buttm. pro αὐτοῦ.

212. ἀλλ' ἄγε μοι δότε] τὴν ὑπόνοιαν ἀποτριβόμενος αἰτεῖται παρὰ τῶν μνηστήρων τὰ πρὸς τὴν πορείαν. πῶς γὰρ ἐδύνατο σκευωρεῖν κατ' αὐτῶν πολίτας ὀπαδοὺς ἔχων; E.H.V.

213. διαπρήσσωσι κέλευθον] τὸ πρήσσω. τὸ περῶ, γίνεται ἀπὸ τοῦ περάω περῶ, ὁ μέλλων περάσω καὶ κατὰ συγκοπὴν πράσω, καὶ πρήσω τροπῇ τοῦ α εἰς η. ἐπεὶ δὲ ὁ μέλλων θεματοποιεῖται προσλαμβάνει καὶ ἕτερον σ πρὸς ἀντιδιαστολὴν τοῦ ἀφ' οὗ γέγονε μέλλοντος. B.

214. εἶμι γὰρ εἰς Σπάρτην] πορεύσομαι εἰς τὴν Σπάρτην. S.

ἠμαθόεντα] ὡς τὸ "ὀλοόεντος ἐχίδνης," ἀντὶ τοῦ ὀλοοέσσης. E.

215. νόστον πευσόμενος] τὴν ὑποστροφὴν ἀκουσόμενος τοῦ πατρὸς τοῦ ἐπὶ πολὺν χρόνον. S.

216. ἤν τίς μοι εἴπῃσι βροτῶν] λείπει τὸ ἰδών. S.

ὄσσαν] θείαν φήμην, ἢ ἀπὸ μαντείας ἀκούσω. S.

219. ἦτ' ἂν τρυχόμενός περ] καταπονούμενος, δαμαζόμενος καρτερήσω, ὑπομείνω. S.

222. χεύω] Πτολεμαῖος ὁ τοῦ Ὀροάνδου χείω γράφει, καὶ Ἀρίσταρχος, Ἡρωδιανὸς δὲ χεύω, ἵν' ᾖ ἐνεστὼς ἀντὶ τοῦ μέλλοντος. H.M.

ἐπὶ κτέρεα] τὰ κάτω τῆς ἔρας νενομισμένα εἰς νεκρούς· ἢ ἀπὸ τοῦ ἱκετήριόν τι εἶναι. E.

226. ἐπέτρεπεν οἶκον] ἐπίτροπον, οἰκονόμον εἰς τὸν οἶκον αὐτοῦ ἐποίησε. B.

3. σκευωρεῖν H.V. σκαιωρεῖν E.

9. Versibus 214—223. adpictæ sunt in M. decem διπλαῖ, sic

> εἶμι γὰρ—
> νόστον—
> ἤν τις—etc.

Totus locus videtur spurius ac recte ab antiquis criticis ὠβελισμένος. Pro διπλαῖς aut ὀβελοὶ erant scribendi, aut saltem ἀστερίσκοι. COBET.

10. ὀλόεντος] φολόεντος Buttm. ex Nicandri Ther. 129.

10. Addidi τοῦ.

12. τοῦ] Excidit ἀπόντος.

17. Ὀροάνδου correxi ex scholio Il. α, 120. ὀροάνδρου H. ὀρεάνδρου M. χείω Porsonus. χρείω H. χρειὼ M. χείω siscripsit Ptolemæus, pro futuro habuit. Sed videndum ne χεύσω scripserit, quod M. in textu habet cum γρ. χεύω. Inter χεῦαι et χεῦσαι variatur in loco parallelo α, 291. Χεύομεν futuri significatione dictum etiam Il. η, 336. τύμβον δ' ἀμφὶ πυρὴν ἕνα χεύομεν ἐξαγαγόντες, ubi nulla in scholiis annotata est scripturæ diversitas. Verba proxima καὶ Ἀρίσταρχος, Ἡρωδιανὸς δὲ χεύω fortasse sic sunt corrigenda, Ἀρίσταρχος δὲ καὶ Ἡρωδιανὸς χεύω—.

τοῦ om. H.

20. νενομισμένα εἰς Buttm. pro νενομισμένους.

229. κέκλυτε, Ἰθακήσιοι] ὁρῶν τοὺς μνηστῆρας ἀπηρυθριακότας οὐ πρὸς αὐτοὺς ἀποτείνεται, ἀλλὰ πρὸς τὸ κοινόν. E.Q.V.

232. καὶ αἴσυλα ῥέζοι] ἀπρεπῆ. βραχὺ διασταλτέον ἐπὶ τὸ ῥέζοι· τὸ γὰρ ὡς ἀντὶ τοῦ ὅτι ἐστίν. Q.

ἢ ῥέζων. H. 5

236. κακορραφίῃσι] κακοβουλίαις, κακομηχανίαις. τινὲς δὲ κακοφραδίῃσι γράφουσι. H.M.S.

237. σφὰς γὰρ παρθέμενοι] τῶν οἰκείων καταφρονήσαντες, εἰς ἐχυρὸν θέμενοι, ἀντὶ τοῦ ὡς μὴ ἐπικείμενοι τὰς ἑαυτῶν κεφαλὰς, ἀλλὰ παραβαλόντες καὶ παρατιθέμενοι αὐτάς. S. εἰς τιμωρίαν 10 ὑποθέμενοι τὰς ἰδίας κεφαλὰς, ἢ ὡς ἐνέχυρον τιθέμενοι, ὡς μὴ ἐπικείμενοι τὰς ἑαυτῶν κεφαλὰς, ἀλλὰ παρατιθέμενοι. ὀξυτονητέον δὲ τὴν σφάς· κτητικὴ γὰρ ἀντὶ τοῦ σφετέρας. B.M.Q.S.

238. οἶκον Ὀδυσσῆος] μετωνυμικῶς τὰ ἐν τῷ οἴκῳ· τὸ δὲ ἐναντίον "μετὰ δαίμονας ἄλλους" (Il. α, 222.), τὸν τόπον τῶν θεῶν. 15 ὁμοίως καὶ τὸ "σύεσσι παρήμενον" (Od. ν, 407.). Q.S.

240. ἄνεῳ] σὺν τῷ ι τὸ ἄνεῳ. εὐθεῖά ἐστι πληθυντικὴ ἀπὸ τοῦ ἄνεως. H.M.

241. κατερύκετε] Ῥιανὸς γράφει καταπαύετε. καὶ λόγον ἔχει διὰ τὸ καὶ τὸν μάντιν εἰπεῖν "φραζώμεσθ' ὥς κεν καταπαύσομεν, οἱ 20 δὲ καὶ αὐτοὶ παυέσθων" (168.), καὶ τὸ "ἡμέας ὀτρύνων καταπαυέμεν." H.M.Q.S.

4. ὡς ἀντὶ τοῦ ὅτι] ὅτι οὕτως potius dici debuisse censet Lehrs. Aristarch. p. 162. maleque nunc scribi ὦς, recte ὡς ε, 11. ubi hæc verba repetuntur. Ego utrobique ὦς prætuli cum plena post ῥέζοι interpunctione, quam probat schol. ad ε, 11. et Friedlaender. de Nican. p. 35.

6. τινὲς δὲ κ. γ.] τινὲς δὲ γ. κ. H. τινὲς κ. γ. S.

10. εἰς τιμωρίαν — παρατιθέμενοι] Ἄλλως. τὰς ἰδίας κεφαλὰς εἰς τιμωρίαν ὑποθέμενοι. S.

12. ὀξυτονητέον δὲ τὴν σφάς M.S. τὸ δὲ σφάς ὀξυντέον B.Q.

13. κτητικὴ—σφετέρας addidi ex M.S.

14. μετωνυμικῶς] παρωνυμικῶς S.

17. τὸ om. M.

εὐθεῖα—πληθυντικὴ] εὐθείας τε πληθυντικῶν M.

19. Scholion in codicibus male ad καταπαυέμεν relatum v. 244. Animadvertit errorem Bekkerus in censura Homeri Wolfiani p. 169. 170.

γράφει (hoc etiam Porsonus) καταπαύετε Bekkerus pro γὰρ καὶ (καὶ om. S.) παύεται.

ἔχει διὰ om. Q., nisi fallit Maii editio.

20. τὸ om. H.

φραζώμεσθ'] Libri φραζώμεθ'.

καταπαύσομεν] καταπαύσωμεν M. S.

21. ἡμέας] ἡμείας M.

243. ἠλεὲ] ἠλίθιε καὶ ἀνόητε τὰς φρένας, μάταιε. S.

245. ἀνδράσι καὶ πλεόνεσσι] ἔδειξεν ὅτι γαστριμαργίας ἕνεκεν ἔπρασσε τὸ πᾶν. τινὲς γράφουσιν, ἀνδράσι καὶ παύροισιν. ἄμεινον δὲ καὶ πλεόνεσσι γράφειν, ἵν' ᾖ ἐπὶ τῶν κωλυόντων· εἰ δὲ καὶ πλείονες κωλύοιεν, φησὶ, περιέσονται εὐωχούμενοι. H.M.Q.

247. κατὰ δῶμα ἕω] τινὲς τὸ ἕω ἀντὶ τοῦ αὐτοῦ λέγουσι κακῶς. M.S.

251. εἰ πλεόνές οἱ ἕποιντο] εἰ πολλοὶ αὐτῷ ἕποιντο, ἢ εἰ πολλοὺς ὀπαδοὺς ἔχοι. τινὲς δὲ γελοίως γράφουσιν "εἰ πλεόνεσσι μάχοιτο." δύναται καὶ οὕτως νοεῖσθαι, εἰ σὺν πολλοῖς μάχοιτο. H.M.Q.

252. ἀλλ' ἄγε, λαοὶ] καὶ τοῦτο τῆς προπετείας αὐτῶν, ἀλλ' οὐ συναγαγόντως λύειν. S.

253. τούτῳ δ' ὀτρυνέει] διασυρτικῶς, ἐπειδὴ οὗτοι ἦσαν οἱ ὑπὲρ Ὀδυσσέως εἰπόντες. E.Q.S.

254. πατρώϊοι] πάτριον τὸ τῆς πατρίδος, πατρῷοι ἐπὶ φίλων ἐμψύχων, πατρικοὶ δὲ οἶκοι, κτήματα. S.

255. δηθὰ] ἐπίρρημα. τὰ δὲ ἐπιρρήματα ἀπὸ πασῶν τῶν πτώσεων γίνονται. S.

256. τελέει δ' ὁδὸν] τάχα ὡς μὴ δυναμένου τοῦ Μέντορος καὶ τοῦ Ἀλιθέρσου παρασχεῖν αὐτῷ τὰ ἐπιτήδεια πρὸς τὸ πλέειν. Q.

257. αἰψηρὴν] ἀντὶ τοῦ ταχέως, ὡς τὸ "τότε μοι χάνοι εὐρεῖα χθών" (Il. δ, 182.), ἀντὶ τοῦ εὐρέως. H.M.S. γρ. λαιψηρήν, ταχεῖαν. P.

260. ἰὼν ἐπὶ θινὶ θαλάσσης] αἰγιαλῷ. Gl. M. εἰ κατὰ δοτικὴν γρά-

2. ἔδειξεν] οὖν add. Q.
3. ἔπρασσε τὸ M. ἐπράσσετο ceteri.
4. δὲ καὶ π. M. καὶ om. ceteri.
εἰ δὲ καὶ] καὶ om. H.
6. ἕω] Sic bis uterque codex pro ἑόν.
ἀντὶ τοῦ αὐτοῦ (αὐ, i. e. αὐτῶν, M.) ante τινὲς habet S.
κακῶς] Verba ab hoc loco aliena τὰ τῆς δευτέρας συζυγίας, εἰ μὲν καθαρεύει ἢ καὶ τὸ ῥῶ ἐπάγοιτο ἐκτείνεται. εἰ δὲ τὸ λ ἐστὶ, ἕτερον τῶν συμφώνων συστέλλεται addit S.
8. εἰ πλεόνεσσιν ἕποιτο lemma scholii habent H.M., qui in textu εἰ πλεόνεσσι μάχοιτο. Scripsi cum Buttmanno εἰ πλεόνές οἱ ἕποιντο, quod postulat explicatio scholiastæ. In S. πλειόνεσσιν ἕποιτο: οἱ πολλοὶ αὐτῷ ἕποιντο. ἢ εἰ πολλοὺς ὀπαδοὺς ἔχοι. τινὲς δὲ γελοίως γράφουσι (excidit μάχοιτο) δύναται καὶ οὕτω νοεῖσθαι.
9. γράφουσι hoc loco M., post μάχοιτο H.Q.
εἰ πλεόνεσσι ego addidi.
10. καὶ M. δὲ καὶ Q.
12. συναγαγόντως] Corruptum.
13 ἐπειδὴ] ἐπειδὴ καὶ E.Q.
14. εἰπόντες] ἅπαντες Q.
21. αἰψηρὴν] λαιψηρὴν H. in scholio et ab correctore in textu.
24. εἰ—γράφεται] ἐὰν—γράφηται H.Q.R.

φεται τὸ θινὶ. βραχὺ διαστελοῦμεν ἐπὶ τὸ ἰὼν καὶ τὰ ἑξῆς συνάψομεν· εἰ δὲ διὰ τοῦ α, ὡς Δίδυμός φησι γράφειν Ἀρίσταρχον, μετὰ τὸ θαλάσσης διαστελοῦμεν. βραχὺ δὲ διασταλτέον καὶ μετὰ τὸ ἁλός. H.M.Q.R.S.

262. κλῦθί μευ] ὁ μὲν Τηλέμαχος ἁπλῶς θεὸν ἐπικαλεῖται· ἀγνοεῖ γὰρ τίς ἦν θεῶν ὁ φανεὶς αὐτῷ· ὁ δὲ ποιητὴς "εὔχετ' Ἀθηναίῃ" φησίν. B.P.Q.S.V.

263. ἠεροειδέα πόντον] μέλανα, ἢ βαθύν, ἢ ἀναπεπταμένον καὶ μέγαν. ἢ διὰ τὸ μόνον ἀέρα ὁρᾶσθαι τοῖς πλέουσιν· ἢ ἐπεὶ τὸν ἀέρα καθορᾶν ἔστιν ἐν τῷ ὕδατι. ἢ ὅτι ἀέρι ὁμοία ἡ θάλασσα τὴν χροιάν. B.E.H.Q.V.

265. διατρίβουσιν Ἀχαιοὶ] ἐκλύουσιν, ἀναβάλλονται, δαπανίζουσι. S.

267. ὣς ἔφατ' εὐχόμενος] εἰκότως ἄρα ἧκεν ἐπὶ τὴν εὐχὴν μηδὲ τὰ πρὸς τὴν ἔξοδον ἕτοιμα ἔχων ὁ νέος. Q.S.

270. Τηλέμαχε] προτρεπτικῶς, ὡς περὶ τὴν ἐκκλησίαν ἐμφρόνως διατεθειμένου· οὐδὲ ὕστερον κακὸς ἔσῃ, εἰ Ὀδυσσέως παῖς τυγχάνεις καὶ τῆς πατρῴας σπορᾶς ἔχεις τι σύμβολον. Q.V.

271. εἰ δή τοι σοῦ πατρὸς ἐνέστακται] ὁ στίχος καὶ τοῖς ἑπομένοις καὶ τοῖς ἡγουμένοις δύναται συνάπτεσθαι. M.S.

εἰ δή τοι] εἰ δὲ ἡ σὴ ψυχὴ δέδεκταί τι τῆς ἐκείνου προθυμίας δίκην σταλαγμοῦ· μέγας γὰρ ἦν ἐκεῖνος εἰπεῖν τε καὶ πρᾶξαι· τάχα καὶ τὴν προκειμένην ὁδὸν οὐχὶ ματαίως πορεύσῃ. τὸ "οἷος ἐκεῖνος" κατὰ ἀναφώνησιν εἴρηται εἰς ἔπαινον τοῦ Ὀδυσσέως τοῦ πατρὸς Τηλεμάχου. B.E.Q.

1. βραχὺ] βραχέως Q.

τὰ ἑξῆς συνάψομεν] Id est τὸ ἐπὶ θινί τοῖς ἑξῆς συνάψομεν, ut monet Friedlaender., qui de scholio hoc, quod Nicanoris esse videtur, dixit p. 106. Libri τὰ ἑξῆς συνάπτομεν.

εἰ δὲ διὰ τοῦ α] ἐὰν δὲ διὰ τοῦ ᾱ H. ἐὰν δὲ αἰτιατικὴ (-ὴν R) Q.R. In H. annotatum ἐπὶ θινί καὶ ἐπὶ θῖνα διχῶς.

2. γράφειν Ἀρίσταρχον] γρ' ἀρίσταρ̄ M. γράφει ἀρίσταρχος S.

3. δὲ om. Q.

8—11. μέλανα — χροιάν] ἡ θάλασσα γὰρ ἀέρι παρεικάζεται, ὅθεν καὶ διὰ λογίζεται (?), ἤγουν ἀεροειδής· ἐπεὶ μόνον ἀέρα ὁρῶσιν οἱ πλέοντες. Ἄλλως. τὸν μ. ἢ βαθύν. ἢ διὰ—πλέουσιν. ἢ ὅτι ἀέρι ὁ. ἡ θ. τὴν χ. S.

8. μέλανα] δίκην ἀέρος addit V. cum Eustathio.

ἢ utrumque et καὶ om. B.E.Q.

9. ἢ ἐπεὶ] ἢ om. B.E.Q.

11. τὴν χροιάν post ὁμοία B.E.Q.

16—20. προτρεπτικῶς—σύμβολον] οὐδὲ ὕστερον κακὸς ἔσῃ· οὐδὲ ὅμοιος τῷ πατρὶ παῖς τυγχάνων καὶ τῆς πατρῴας σπορᾶς ἔχεις τί σύμβολον· τὸ οὐδὲ ὄπιθεν προτρεπτικῶς, ὡς περὶ τὴν ἐκκλησίαν ἐμφρόνως διατιθεμένου. S.

22. σταλαγμοῦ Buttm. pro στηναγμοῦ.

τάχα Buttm. pro τάχιστα.

273. ἁλίῃ] ἐκ μεταφορᾶς τῶν ἀχρήστων καὶ ῥιπτομένων εἰς τὴν θάλασσαν. S.

275. οὔ σέ τ' ἔπειτα] γρ. οὐ σέ γ' ἔπειτα, χωρὶς τοῦ τέ. H.M.

276. παῦροι γάρ τοι παῖδες] τὸ αἴτιον τοῦ διστασμοῦ. V.

278. οὐδ' ἀνοήμων] ἐπὶ τὸ ἀνοήμων ὑποστικτέον, ἐπὶ δὲ τὸ προλέ- 5
λοιπεν ἢ ὑποστικτέον ἢ στικτέον. Q.

279. μῆτις Ὀδυσσῆος] τὰ μὲν περὶ τοὺς λόγους εὐδοκίμως πέπρακται τῷ Τηλεμάχῳ. ἐπαινοῦσα τὸν Ὀδυσσέα λεληθότως τὸν νεανίαν ἐπὶ τὰ ἔργα προτρέπεται. H.Q.S.

281. τῷ] γρ. καὶ τώ, μετὰ ὀξείας. H. 10

282. οὔτι νοήμονες οὐδὲ δίκαιοι] συνετοὶ, προνοητικοί. ἄκρως δογματίζει Ὅμηρος ὅτι ὁ ἄδικος καὶ ἀσύνετος. E.H.V.

287. στελέω] ἐκπλεῦσαι ἑτοιμάσω, εἰς πλοῦν εὐτρεπίσω. H.

289. ὅπλισσόν τ' ἤϊα] ἐν μὲν τῇ συνηθείᾳ ἐφόδια τὰ πρὸς τροφὴν ἐπιτήδεια ἀπὸ τῆς ὁδοῦ λέγεται, παρὰ δὲ Ὁμήρῳ ἤϊα τὰ ἐφόδια 15
οἰκείως ἀπὸ τοῦ ἰέναι εἴρηται. ὅταν δὲ λέγῃ "θῶων παρδαλίων τε λύκων τ' ἤϊα πέλονται" (Il. ν, 103.), καταχρώμενος λέγει ἀντὶ τοῦ ἑλώρια. E.H.P.Q.

Ἄλλως. τὰ εἰς τὸ ἰέναι ἐπιτήδεια ἤτοι ἐφόδια, ἰήϊα, καὶ ἀποβολῇ τοῦ πρώτου ι, ἤϊα. E.Q. νῦν τὰ ἐφόδια, παρὰ τὸ ἰέναι. ση- 20
μαίνει δὲ ἡ λέξις καὶ τὰ ἄχυρα, ἀπὸ τοῦ κινεῖσθαι τῷ ἀνέμῳ, "ἠΐων θημῶνα τινάξῃ" (Od. ε, 368.)· καὶ τὸ ἐπορευόμην "ἤϊα πολλὰ θεοὺς γουνούμενος" (Od. δ, 433.)· καὶ τὰ ἄλευρα "ἐν δὲ καὶ ἤϊα κωρύκῳ" (Od. ε, 266.). E.H.M.P.Q.S. στικτέον δὲ μετὰ τὸ ἤϊα, μετὰ δὲ τὸ πάντα βραχὺ διασταλτέον, καὶ μετὰ τὸ ἀμφιφο- 25
ρεῦσιν. M.Q.S.

ἤϊα] ἀπὸ τοῦ ἀΐσσειν δύναμαι. οἱ γὰρ ἐσθίοντες καὶ πορεύεσθαι δύνανται. S.

3. οὔ σε τ' M. in textu. οὔ σ' ἐγ' (sic) H. in textu.
γρ. οὔ σέ γ'] γ' om. M.
4. διστασμοῦ] Forma prava pro διστάγμοῦ, de qua dixi in Thesauro. Annotatio ipsa conficta haud dubie ex verbis Eustathii p. 1445, 6.
8. ἐπαινοῦσα] ἐπαινοῦσα ἐν ᾧ ἀμφοτέροις H.S.
10. καὶ τώ] καὶ τὸ τώ H.
11. ἄκρως addidi ex H.
12. δογματίζει Ὅμηρος] δόγμα ὁμήρου E.
14. τροφὴν] ὁδὸν P. cum Eustathio.
18. ἑλώρια] ἑλλώρια H.P.
20. νῦν —ἰέναι addidi ex M.S.
21. δὲ om. S. ἀπὸ—ἀνέμῳ om. M.S.
λέξις] καὶ τὰ ἄλευρα· πολλάκις δὲ addunt E.P.Q.
22. τινάξῃ] τινάξει H.

290. ἀμφιφορεῦσι] τοῖς Μεγαρικοῖς. ἄλφιτα δὲ τὰ ἄλευρα παρὰ τὸ ἀλφῶ, τὸ ψηλαφῶ. μύελον δὲ, ὡς ἰσχυροποιοῦντα τοὺς ἄνδρας. E. πᾶν δίωτον τὸ ἀπὸ δύο μερῶν βασταζόμενον εἶδος κεράμου. S.

ἄλφιτα] τὰ ἐκ κριθῶν ἄλευρα καὶ τὰ ἐκ σίτων. S.

291. πυκινοῖσι] τοῖς μὴ ἀπ' ἀλλήλων ἀραιουμένοις. S. 5

294. ἐπιόψομαι] Ἀττικὸν λίαν φησὶν ὁ Ἀριστοφάνης τὸ ἐπιόψομαι ἀντὶ τοῦ ἐποπτεύσομαι, περιβλέψω. M.Q.

297. παρέμιμνεν] ἐχρόνισε, παρέμεινε. S.

298. φίλον τετιημένος ἦτορ] οὐκ ἐσκυθρωπακὼς, ἀλλὰ καὶ φροντίζων ὡς ἀποδημεῖν μέλλων. E.S. 10

300. ἀνιεμένους, δασέως ἀπὸ τοῦ ἵημι. σημαίνει δὲ ἐκδέροντας, γυμνοῦντας· "κόλπον ἀνιεμένη, ἑτέρῃφι δὲ μαζὸν ἀνέσχε" (Il. χ, 80.). παρατηρητέον δὲ διόλου ὅτι οὔτε σπένδοντας οὔτε εὐχομένους θεοῖς πεποίηκεν αὐτοὺς, ὁπότε οὐδὲ ὁ συβώτης παρῆκε τὸ πρὸς τοὺς θεοὺς εὐσεβές. τὸ δὲ ἀνιεμένους ἐκ τῶν κάτω μερῶν ἐπὶ τὰ ἄνω 15 ἕλκοντας καὶ ἐκδέροντας κάτωθεν ἀρξαμένους. E.R.

ἀνασχίζοντας ἢ ἀνατείνοντας ἐκ τῶν κάτω μερῶν, ἔπειτα ἀνέλκοντας καὶ ἐκδέροντας κάτω ἀρξαμένους· ἢ διὰ πυρὸς ἱερωμένους. B.

ἀνιεμένους δασέως, ἀπὸ τοῦ ἵημι. Q.

σιάλους] λιπαροὺς καὶ εὐτραφεῖς χοίρους. σίαλος γὰρ ὁ σεσι- 20 τισμένος χοῖρος. B.

302. ἔν τ' ἄρα] μεγάλην ὕβριν ἐμφαίνει τὸ δεξιοῦσθαι ἐπὶ καταγέλωτι. M.S.

304. ἐν στήθεσσι] τὸ ἀπενεγκεῖν αὐτὸν αὐτοὺς εἰς δημηγορίαν αἰνίττεται. S. 25

305. ἀλλὰ μάλ' ἐσθιέμεν] ἄκρως ἀπομιμεῖται φωνὰς ἀσώτου μειρακίου. τὰ μὲν γὰρ ἄλλα πάντα ἀπορρῖψαι τῆς ψυχῆς παρακελεύεται,

1. τοῖς Μεγαρικοῖς] Sic recentiores glossatores interpretari solent vocabulum ἀμφορεύς, velut apud Aristoph. Pl. 808. ubi videnda Hemsterh. annotatio.

6. ἐποπτεύσομαι] ἐποπτεύσω Nauck. Aristoph. p. 23.

9. οὐκ ἐσκιθρωπακὼς om. S.

καὶ et ὡς addidi ex S.

10. ἀποδημεῖν] ἐνδημεῖν S.

11. δασέως ἀπὸ τοῦ ἵημι. σημαίνει δὲ om. E.

13. παρατηρητέον—] Conf. schol. υ, 250.

διόλου om. E.

εὐχομένους R. et Eustath. p. 1446, 36. εὐωχουμένους E. De impietate procorum vid. schol. υ, 250.

19. δασέως] Conf. schol. ad 185.

26. ἀπομιμεῖται] μεμίμηται H.

μόνῃ δὲ τῇ γαστρὶ σχολάσαι. τοιαῦτα δὲ τὰ τῶν παροίνων ῥήματα. E.H.Q.

ἐσθιέμεν] ἀπαρέμφατον ἀντὶ τοῦ προστακτικοῦ. B.M.S.

307. ἐξαίτους] ἐξαιρέτους, ἐκ τοῦ αἱρῶ τὸ βούλομαι καὶ προκρίνω. B. τουτέστιν ἔξω τῆς αἰτίας· ἤτοι ἐπιθυμητοὺς, οὓς ἐξήτησας. Q. 5

310. ὑπερφιάλοισι] ἔθος ἦν τοῖς παλαιοῖς ἀπὸ τοῦ αὐτοῦ μὲν φιάλου ἢ ποτηρίου πίνειν ἐν συμποσίῳ τοὺς πάντας. τοὺς δὲ ἀναισχύντως καὶ ἀπαιδεύτως ἐν τῇ φιάλῃ προσκαθημένους ὑπερφιάλους ὠνόμαζον. S.

311. δαίνυσθαι] ἔθος ἦν τοῖς παλαιοῖς, ἐπεὶ μετὰ τῶν φίλων 10 ἔφαγον, μὴ ἀδικεῖν αὐτοὺς, οἱ δὲ τοὐναντίον εἰργάσαντο. S.

ἀκέοντα] οὕτω γράφει Ῥιανός. γράφεται δὲ καὶ ἀέκοντα. M.

313. ἐγὼ δ' ἔτι νήπιος ἦα] τοῦτο σημειοῦται Ἀριστοφάνης, ὅτι ἱκανὰ ἔτη ἐγεγόνει ἀφ' οὗ οἱ μνηστῆρες συνήχθησαν. τοῦτο δὲ πρὸς τὸ ἐν τῇ Νεκυίᾳ (λ, 116.), ὅτι δεῖ εἶναι "οἵ τοι βίοτον κατέδοιεν," 15 οὐ "κατέδουσιν." E.H.M.Q.R.S.

314. νῦν δ' ὅτε] τὸ ἑξῆς, νῦν δ' ὅτε δὴ μέγας εἰμὶ, πειρήσω ὥς κ' ὔμμι. B.S.

315. πυνθάνομαι] ἀντιστροφή ἐστιν ἀντὶ τοῦ πυνθανόμενος ἀκούω. B.

ὁ μὲν θυμὸς ἀπὸ τοῦ θύειν, ὁ δὲ χόλος ἀπὸ τῆς χολῆς. θυμὸς δὲ 20 καὶ χόλος, λαβὼν τὴν ἐπὶ τὸ δρᾶσαι κακὸν ἀγανάκτησιν, χώεσθαι λέγεται, ὡς τὸ "σὺ δ' ἔνδοθι θυμὸν ἀμύξεις χωόμενος" (Il. α, 243.), ἤγουν ἀμυχὰς ποιήσεις σπαράσσων τὴν ψυχήν· καὶ "χωόμενος δ'

3. τοῦ om. S.

5. ἐξήτησας Buttm. pro ἐζήτησας.

7. φιάλου] Scribendum φιαλίου, aut, quod probabilius, τῆς αὐτῆς φιάλης.

12. ἀκέοντα] Sic M. in textu. Ex quo sequitur quod in scholio scriptum est γράφεται δὲ καὶ ἀκέοντα mutandum esse in γράφεται δὲ καὶ ἀέκοντα, ut ego feci cum Cobeto. Eadem in H. annotatio esse videtur, de quo sic refert Porsonus "ἀκέοντα ῥιανὸς γρ. ἀέκοντα, sed ἀκέοντα citatur etiam in scholiis (320.)."

13. ἐγὼ δ' ἔτι νήπιος ἦα] Hoc lemma est in M.S., in ceteris ὡς τὸ πάροιθεν.

Ἀριστοφάνης] Dubium non est quin pro Ἀριστοφάνης hic et fortasse alibi Ἀρίσταρχος sit reponendum. Nam hujus σημεῖα, non Aristophanis, in Homero sola a grammaticis cognoscebantur. COBET.

14. τοῦτο δὲ—κατέδουσιν om. E. Q.R.

πρὸς] καὶ M.S.

15. εἶναι H., si recte legit Cramerus. εἰδέναι M.S., quod in γράφειν mutabat Cobetus.

οἵ τοι] ἤτοι M.S. ἤτε H.

17. ὥς κ' ὔμμι om. B. ὥς χ' ὔμμι S.

19. ἀντὶ τοῦ π. (π. om. B.) ἀ.] Hoc etiam in V.

21. Scholion Porphyrii. COBET.

ὁ γέρων πάλιν ᾤχετο" (Il. α. 380.). δηλοῖ δὲ τὸ οὐχ ἁπλῶς ὀργιζόμενος, ἀλλὰ μετὰ ἀγανακτήσεως ἀμυντικῆς· διὸ καὶ καταρᾶται καὶ κατὰ τοῦτο ἀμύνεται. καὶ "χωόμενος κατὰ θυμὸν ἐϋζώνοιο γυναικὸς" (Il. α, 429.) Ἀχιλλεὺς τῇ ὀργῇ δηλοῦσθαι ποιεῖ τὴν τιμωρητικὴν διαγανάκτησιν· ἐπιβουλεύει γοῦν διὰ τῆς μητρὸς τοῖς Ἕλ- 5
ληνσι. ταυτὸν οὖν ἐστι θυμὸς καὶ χόλος· μῆνις δὲ καὶ μένος ὀργὴ ἐναπόθετος καὶ ἔμμονος· ζαφελὴς οὖν χόλος ἡ μῆνις, ζαφελὲς γὰρ τὸ ἀναφαίρετον. ὅτι δὲ τὸ μένος σθένος "πάντως οἷον ἐμόν γε μένος καὶ χεῖρες ἄαπτοι" (Il. θ, 450.), καὶ πρὸς τὸν Δία "εὖ νυ καὶ ἡμεῖς ἴδμεν ὅ τοι σθένος οὐκ ἐπιεικτόν" (Il. θ, 32.). ὡς οὖν παρὰ τὸ σθένος 10
μένος, οὕτω καὶ χόλος μένων μένος καὶ μῆνις. καὶ ὅτι ἐπιτηρητικὸς ὁ κότος εἰς τὸ δρᾶσαί τι πονηρὸν, Ζεὺς γὰρ "αὐτὸς ἐπισσείῃσιν ἐρεμνὴν αἰγίδα πᾶσι τῆς ἀπάτης κοτέων" (Il. δ, 167.), καὶ τὸ "ἔχει κότον ὄφρα τελέσσῃ" (Il. α, 82.). καὶ ἔστιν ἡ μὲν κατὰ κίνησιν πρόσκαιρος ὀργὴ χόλος, θυμός· ἡ δὲ κίνησις μετὰ ἀγανακτήσεως 15
καὶ δραστικῆς ἐνεργείας χώεσθαι λέγεται καὶ σκύζεσθαι. ὥστε ἀπόθετος μὲν χόλος μένος, καὶ μῆνις δὲ τὸ ἀμύνεσθαι ἐπιτηροῦσα κότον· καὶ ὅπως ὁρμὴ ἐπηρτημένη μετὰ λύπης ὀρέξεως ἡ ὀργὴ, καὶ ὅπως κατὰ αὔξησιν τοῦ θυμοῦ γίνεται. ὅπερ οὖν τὸ ἄχθεται πρὸς τὸ ἄχνυται ἔχει περιττεῦον τῇ ἀγανακτήσει, τοῦτο καὶ τὸ χώεσθαι πρὸς τὸ 20
χολοῦσθαι. E.

316. κακὰς ἐπὶ κῆρας] οὐκ ἀνέχεται τωθαζόμενος, ἀλλ' εἰς ἄπειρον ὀργὴν ἦλθεν, ὥστε καὶ γυμνοῦν τὴν ἐπιβουλήν. E.S.

318. ἁλίῃ] θαλασσία, ἢ ματαία· οὕτω γάρ ἐστι καὶ βέλτιον. H.

319. ἔμπορος] ἀντὶ ναυκλήρου δι' ὑμᾶς ἐπιβάτης ἐσόμενος τοὺς 25

6. οὖν] γοῦν E.

13. τῆς] τῆσδ' vulgo.

14 κατὰ κίνησιν Buttm. pro κατακίνησις.

15. ἀ. καὶ Buttm. Aberat καί.

16. ἀπόθετος—κότον] F. ἀπόθετος μὲν χόλος, μένος καὶ μῆνις· μῆνις δὲ τὸ ἀμύνεσθαι ἐπιτηροῦσα, κότος. Sed sequentia quoque laborant; in quibus tamen μετὰ λύπης ὀρέξεως est idem quod μετὰ ὀρέξεως τοῦ λυπεῖν. BUTTM.

22. Exciderunt quæ de versibus 316. 317. ἠθετημένοις hoc loco dicta fuisse apparet ex scholio v. 325.

ἄπειρον ὀργῆς] ἄπειρον ὀργῆς τοσοῦτον S.

23. γυμνοῦν] γυμνοῦναι (sic) S.

25. Ex scholiis de voc. ἔμπορος hæc sunt excerpta in S., τὸ ἑξῆς εἰμὶ μὲν ἔμπορος, ὅ ἐστιν ἐπιβάτης ἐπὶ νεὼς ἀλλοτρίας, μὴ ἔχων ἐμὴν ναῦν. ἔμπορος ἤγουν ἐπιβάτης ἐπὶ νηὸς ἀλλοτρίας· μετὰ ναυκλήρου φησὶ καὶ ὑμᾶς ἐπιβάτης ἐσόμενος τοὺς καταναλωκότας μου τὸν πλοῦτον, διὰ τὰ ἄνω οὐχ ἅλις ὡς τὸ πάροιθεν ἐκείρετε πολλά· ἔμπορον δὲ τὸν ἐπ' ἀλλοτρίας νηὸς πλέοντα ἐπιβάτην, ὡς καὶ ἀλλαχοῦ, "ἔμπορος εἰλήλουθας νηὸς

κατηναλωκότας μου τὸν πλοῦτον· διὰ τὰ ἄνω (312.), "ἢ οὐχ ἅλις ὡς τὸ πάροιθεν ἐκείρετε πολλά." E.Q.R. Ἄλλως. ἀλλοτρίας νηὸς ἐπιβάτης μὴ ἔχων ἰδίαν ναῦν, ὡς καὶ ἀλλαχοῦ "ἔμπορος εἰλήλουθας νηὸς ἐπ' ἀλλοτρίας" (Od. ω, 300.). οὐ γὰρ κατὰ συνήθειαν τέτακται παρ' Ὁμήρῳ, ἀλλ' ἐπὶ τῶν ἐπ' ἀλλοτρίας νηὸς παρόντων, 5 οὕσπερ συνήθως ἐπιβάτας νῦν λέγομεν. ὅπερ γὰρ παρὰ τῷ ποιητῇ τῶν ἐπὶ τοῖς ἅρμασιν οἱ μὲν μαχόμενοι παραβάται, οἱ δὲ τὰς ἡνίας ἔχοντες ἡνίοχοι, τοῦτο ἐπὶ τῶν ἐν τριήρεσιν οἱ ἐπιβάται καὶ ἐπίκωποι παρὰ τοῖς Ἀττικοῖς. ἐπίκωποι δὲ οἱ τὰς κώπας ἔχοντες καὶ τὰ πηδάλια. E. Ἄλλως. οὐ μέντοι ὁ ἔμπορος ἀπὸ τοῦ πορίζειν πεποίηται 10 παρ' Ὁμήρῳ, ἀλλ' ἀπὸ τοῦ πόρου, τουτέστι τῆς πορείας. τὸν δὲ πόρον κυρίως ἐπὶ τοῦ ὕδατος τάττει, ὡς τὸ "πόρους ἁλὸς ἐξερεείνων" (Od. μ, 259.), καὶ τὸ "Θρύον Ἀλφειοῖο πόρον" (Il. β, 592.). καὶ τὸ "ἀλλ' ὅτε δὴ πόρον ἶξον ἐϋρρεῖος ποταμοῖο" (Il. ξ, 433.), τὴν δι' ὑγροῦ διάβασιν. ὡς οὖν τὸ μὴ ἐν ἰδίῳ οἴκῳ γαμεῖν, ἀλλ' ἐν ἀλλο- 15 τρίῳ ἐγγαμεῖν λέγουσιν, οὕτως τὸ ἐπ' ἀλλοτρίας νεὼς τὸν πλοῦν ποιεῖσθαι ἐμπορεύεσθαι. καλεῖται δὲ ἔμπορος ὁ τοιοῦτος. E.H.Q.R.

ἔμπορος, οὐ γὰρ νηὸς ἐπήβολος] τὸ ἑξῆς· εἶμι μὲν ἔμπορος, ὅ ἐστιν ἐπιβάτης, ἐπὶ νηὸς ἀλλοτρίας, ἀντὶ ναυκλήρου, φησὶ, δι' ἡμᾶς ἐπιβάτης ἐσόμενος. ἐπήβολος δὲ σημαίνει, ὥς φησιν ὁ Πορφύριος, 20 ἐπιτυχῆ καὶ ἐγκρατῆ καὶ δεσπότην ἀπὸ τοῦ βάλλειν, ὅ ἐστι τοῦ σκοποῦ τυγχάνειν· ἔμπορος δὲ τὸν ἐπ' ἀλλοτρίας νεὼς πλέοντα ἐπιβάτην, ὡς καὶ ἀλλαχοῦ "ἔμπορος εἰλήλουθας νηὸς ἐπ' ἀλλοτρίας." B.Q.

ἐπ' ἀλλοτρίας." ἄλλως. ὡς τὸ μὴ ἐν ἰδίῳ οἴκῳ γαμεῖν, ἀλλ' ἐν ἀλλοτρίῳ ἐγγαμεῖν ἐστιν, οὕτως καὶ τὸ ἐπ' ἀλλοτρίας νηὸς τὸν πλοῦν ποιεῖσθαι καὶ ἐμπορεύεσθαι, τοιοῦτος ἔμπορος· "ἐπήβολος" δὲ ἐπιτυγχάνων τοῦ σκοποῦ. Et in H., ἐπιβάτης ἐπὶ νεὼς ἀλλοτρίας. ἔμπορος τὸν ἐπ' ἀλλοτρίας νεὼς πλέοντα ἐπιβάτην οὕτως εἴρηκεν—εἰλήλουθας ἀντὶ ναυκλήρου δι' ὑμᾶς ἐπιβάτης ἐσόμενος etc. In R. scholia ab his verbis incipiunt, ἔμπορον τὸν ἐπ' ἀλλοτρίας νεὼς πλέοντα ἐπιβάτην οὕτως εἴρηκεν, ὡς καὶ ἀλλαχοῦ, ἔμπορος εἰλήλουθας νηὸς ἐπ' ἀλλοτρίας: —Tum sequuntur ἀντὶ τοῦ ναυκλήρου—ἐκείρετε πολλά· οὐ μέντοι ὁ ἔμπορος—ἔμπορος ὁ τοιοῦτος.

P. 108. l. 25. ναυκλήρου—ἐσόμενος] τοῦ ναυκλήρου—γενόμενος R.

1. μου R.S. μὲν E.Q.
διὰ R.S. διὸ E.Q.

10. οὐ μέντοι ὁ ἔμπορος H.R. ὁ μέντοι ἔμπορος οὐκ E.Q.

12. τάττει] λέγει R. omissis proximis ὡς τὸ—καὶ τό.

13. Θρύον] θοὸν E. θεῖον Q.R.
καὶ τὸ "ἀλλ'] τὸ om. R.

14. τὴν δι' ὑγροῦ διάβασιν] τὴν διάβασιν τὴν διὰ τοῦ ὑγροῦ R.

16. ἐγγαμεῖν additum ex H.S., om. Maii editio fortasse typothetæ culpa. ἀλλ' ἐν ἀλλοτρίῳ ἐγγαμεῖν om. R.

17. καὶ ante ἐμπορεύεσθαι lectum post καλεῖται posuit Buttm., ego delevi, addito quod R. præbuit δὲ post καλεῖται.

οὐ γὰρ νηὸς ἐπήβολος] Ἀττικὴν εἶναι τὴν λέξιν φησὶν ὁ Πορφύριος· δηλοῖ δὲ τὸν ἐπιτυχῆ, ἀπὸ τοῦ βάλλειν, τουτέστι τοῦ σκοποῦ τυγχάνειν. ἐξ οὗ καὶ τὸ "σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι" (Il. α, 297.), τουτέστιν ἐπιτυχῶς λάμβανε. καὶ ἡ βουλὴ δὲ οἱονεὶ βολή τις οὖσα· ὅθεν ἔφη "σῇ δ' ἥλω βουλῇ πόλις Πρίαμοιο ἄνακτος" (Od. χ, 230.), ὡς εἰ ἔφη τοῖς σοῖς ὅπλοις ἢ τοῖς σοῖς τόξοις ἢ βέλεσιν. ἐκ τούτου λύσεις καὶ τὸ "ἡ δὲ Φερὰς ἐπέβαλλεν ἐπειγομένη Διὸς οὔρῳ" (Od. ο, 297.)· μετῆκται γὰρ ἀπὸ τῶν πόρρω τὴν ἐπιβολὴν ποιουμένων· ἡ ναῦς οὖν ἐπιβολὴν ἐποιεῖτο ὥστε τυχεῖν τῶν Φερῶν. χρῶνται δὲ ταύτῃ τῇ λέξει καὶ οἱ μεθ' Ὅμηρον. Ἄρχιππος "νῦν δ' ὡς ἐγενόμην χρημάτων ἐπήβολος" ἀντὶ τοῦ ἐπιτυχὴς καὶ κύριος. τί οὖν αἱ λέξεις σημαίνουσι δεδήλωται. E.Q.R.

320. τὸ, ὥς νύ που ὔμμιν ἐείσατο κέρδιον εἶναι, σὺν βαρύτητι εἴρηται, λέγοντος τοῦ Τηλεμάχου ὅτι ἐν ἀλλοτρίῃ πλευσοῦμαι νηΐ· οὐ γάρ εἰμι, φησὶν, ἐπιτυχὴς ἰδίας νεὼς οὐδὲ κέκτημαι ἰδίους ἐρέτας· τοῦτο γὰρ ὑμῖν ὠφελιμώτατον εἶναι ἐφάνη, τουτέστι τὸ ἐμὲ μὴ ἔχειν ἰδίαν ναῦν, ἀλλ' ἔμπορος πλεῖν. ἀναφέρει δὲ εἰς ἐκεῖνο ὅτι εἰς πενίαν αὐτὸν κατέστησαν. προεῖπε γὰρ "Ἀντίνοε, οὔπως ἔστιν ὑπερφιάλοισι μεθ' ὑμῖν δαίνυσθαί τ' ἀκέοντα καὶ εὐφραίνεσθαι ἔκηλον. ἢ οὐχ ἅλις ὡς τὸ πάροιθεν ἐκείρετε πολλὰ καὶ ἐσθλὰ κτήματ' ἐμὰ μνηστῆρες, ἐγὼ δ' ἔτι νήπιος ἦα;" ἔστιν οὖν δυνάμει τὸ νόημα, ἀντὶ τοῦ ναυκλήρου δι' ὑμᾶς ἐπιβάτης γέγονα τοὺς κατηναλωκότας μου τὸν πλοῦτον. H.Q.R.

321. σπάσεν] Ἀρίσταρχος, σπάσατο. H.Q.R.

322. ῥεῖα—] ὁ στίχος οὗτος ἀθετεῖται ὡς περιττός. προηθέτει δὲ καὶ Ἀριστοφάνης. M.Q.R.

323. πιθανὸν, ἵνα ἀπιστούντων καὶ κραιπαλώντων λάθῃ ἡ ἔξοδος. M.

1. Πορφύριος] Quæst. Homer. cap. 1. ἐπήβολος per εἰδὼς, γιγνώσκων, νοήμων, ἐπιτήδειος, ἐπιτιχής explicat glossator cod. Monac. 51. apud Boeckh. ad Platon. Min. p. 148. Articulum ὁ ante Π. addidi ex R.

2. τὸν ἐπιτυχῆ—οἱονεὶ] τὸ ἐπιτυχής. ἔστι δὴ ἐκ τοῦ βάλλω, τὸ ἐπιτυγχάνω, ἐξ οὗ καὶ τὸ βουλή, οἱονεὶ R.

6. βέλεσιν. ἐκ τούτου λύσεις καὶ τὸ R. βέλεσι λύσιν ἐνταῦθεν καὶ τὸ V. in excerptis ex hoc scholio. βέλεσι καὶ τὸ E.Q.

10. Ἄρχιππος] Nomen fabulæ, Πλούτῳ, addit Porphyrius.

13. τὸ] τὸ δὲ H.R.

15. ἰδίους] οἰκείους R.

17. ἔμπορος πλεῖν] ἔμπορον ἀποπλεῖν V.

20. πάροιθεν] πρόσθεν R.

22. κατην—] καταν— R. hic et p. 109, 1.

25. ὁ στίχος οὗτος om. Q.R.

περιττός] περισσός R.

προηθέτει] Vid. ad α, 185.

οἱ δ' ἐπελώβευον] ἐφύβριζον· ἀπὸ τοῦ λωβὸς ὁ τοῦ ὠτίου. οἱ γὰρ παλαιοὶ τοὺς λωβοὺς τῶν ὠτίων ἔκοπτον τοῖς ὑπ' αὐτῶν τιμωρουμένοις εἰς ἀτιμίαν αὐτῶν· ὅθεν καὶ λώβη ἡ βλάβη καὶ λωβεύω τὸ βλάπτω διὰ ὕβρεως. B.

ἐκερτόμεον] κερτομῶ τὸ ὑβρίζω, ἀπὸ τοῦ τέμνειν τὸ κῆρ. ὁ γὰρ ὑβριζόμενος λυπεῖται. B.

325. ἦ μάλα Τηλέμαχος] ὁ μὲν πρῶτος ἢ περισπᾶται, οἱ δὲ ἑξῆς ἅπαντες ἐγκλίνονται, πλὴν τοῦ δευτέρου, ὃς ὀξύνεται διὰ τὸ τινάς. M.

ἦ μάλα] βεβαιωτικὰ ταῦτα τὰ ἔπη τοῦ μὴ εἰρῆσθαι ὑπὸ Τηλεμάχου τοὺς προηθετημένους στίχους (316. 317.) "πειρήσω ὥς κ' ὕμμι κακὰς ἐπὶ κῆρας ἰήλω ἠὲ Πύλονδ' ἐλθὼν ἢ αὐτοῦ τῷδ' ἐνὶ δήμῳ." ἀποροῦντες γὰρ λέγουσιν "ἦ μάλα Τηλέμαχος," οὐκ ἂν ἀπορήσαντες οἱ προακηκοότες. E.M.

326. Πύλου ἠμαθόεντος] ἄμαθον ἔχοντος. ἰστέον ὅτι ἄμαθος ἡ ἐν τῷ πεδίῳ κόνις, ψάμαθος δὲ ἡ περὶ θάλασσαν. B.E.

328. ἠὲ καὶ εἰς Ἐφύρην] τὴν ἐν Θεσπρωτίᾳ, οὐχ, ὡς ἔνιοι, τὴν Κόρινθον· ἐκείνη γὰρ καὶ μετωνομάσθη Κίχυρος. M.

334. οὕτω κεν καὶ μᾶλλον ὀφέλλειεν πόνον] οὕτως ἂν ἡμῶν ηὔξησε τὸ κατὰ τὴν μνηστείαν ἔργον· ἢ ἐν εἰρωνείᾳ, οὕτως ἡμῖν μείζονα παρέξει κακά· μερισόμεθα γὰρ αὐτοῦ τὰ κτήματα. M. σημείωσαι ὅτι πόνον τὴν ἐνέργειαν καὶ κακοπάθειαν λέγει ὁ ποιητής, οὐδέποτε δὲ τὴν ἀλγηδόνα. ἢ πόνον τὴν περὶ τὸν γάμον σπουδήν. M.Q.

ὀφέλλειεν] γρ. ἐπαυξήσειε. H.

9. βεβαιωτικὰ M. βεβαίωται E.

10. προηθετημένους (id est supra ἠθετημένους) M. προτεθειμένους E.

κ' ὕμμι] χ' ὕμμι M. χ' ὑμῖν E.

11. κῆρας M. χεῖρας E.

ἠὲ Πύλονδ' —δήμῳ om. E., sola verba ἢ ἐς πύλον ἐλθὼν (nam sic scriptum est) habet M.

12. οὐκ ἂν—προακηκοότες om. E.

18. οὕτως ἂν—] Post hoc scholion in M. aliud brevius, οὕτως τὸν αὐτοῦ πόνον ὃν ἔχει αὐξηθήσεται ἡμῖν. In B. εἰς τὸ μερίζεσθαι τὰ κτήματα. τοῦτο δὲ ἐν εἰρωνείᾳ φησί· τινὲς δὲ τὴν περὶ τὸν γάμον σπουδήν.

20. σημείωσαι, usitato compendio Cη expressum, habet M., om. E. "Est scholion Aristonici, cui recentiores σημείωσαι adjecerunt." COBET. Pars hujus scholii est in E., τὸ περὶ τὴν μνηστείαν ἔργον πόνον λέγει, τὴν ἐνέργειαν καὶ κακοπάθειαν· οὐ γάρ ποτε τὴν ἀλγηδόνα.

23. ἐπαυξήσειε] Satis apparet ex illis quæ apposita sunt ad 40. 105. 169. in H. siglam γρ. glossis etiam interdum ascriptam esse. P. habet γρ. ἐπαυξήσειν. De sigla γρ. idem observat Porsonus ad schol. θ, 434. Causam autem hujus confusionis agnosces in eo cujus exemplum prostat ad α, 89. Nimirum cum lectiones quoque variantes sæpissime sine sigla γρ. apponerentur, alii postea exscriptores, qui addere solerent omissam, iis etiam subinde vocibus addebant quæ pro interpretamento appositæ essent. BUT.

337. ὡς ἔφαν] γράφεται καὶ φάν. ἔφασαν καὶ ἐν συγκοπῇ ἔφαν καὶ φάν. τὸ δὲ, θάλαμον κατεβήσατο, νόει ἐκ τῆς λέξεως τὸ κοῖλον. E.

338. ὄθι νητὸς] Ἀριστοφάνης ὄθιννητός γράφει διὰ δύο $\overline{\text{νν}}$, ὡς τὸ ἐνιμμεγάροισιν (94.)· Ἀρίσταρχος δὲ δι' ἑνὸς ν. H.M.

340. ἐν δὲ πίθοι οἴνοιο] οὐ γὰρ ἦν τοσαύτη τῶν παλαιῶν περιεργία ὡς ἑκάστῳ τόπον ἀπονέμειν. E.M.Q.

341. ἄκρητον θεῖον] ἄκρατον, ἀπαραμιγὲς, διὰ τὸ φυλάττεσθαι ἀβλαβὲς καὶ ἀμετάβλητον. E.

344. κληΐσταὶ δ' ἔπεσαν σανίδες] ἐξ ὕλης τὸ εἶδος. ἡ γὰρ σανὶς ὕλη, ἡ δὲ θύρα τὸ εἶδος. πᾶν γὰρ πρᾶγμα ἐκ τεσσάρων συνίσταται, ἐκ ποιητικοῦ ἢ αἰτίου καὶ ὑλικοῦ, ἐξ εἰδικοῦ καὶ τελικοῦ. E.

349. ἀμφιφορεῦσιν] ἀμφιφορεὺς καλεῖται τὸ παρὰ ἰδιώταις λεγόμενον φλασκίον. P.

350. μετὰ τὸν λαρώτατος] χρηστὸν ἦθος ὑποφαίνει. οὐ γὰρ τὸν κάλλιστον, ἀλλὰ τὸν μετ' ἐκεῖνον δεύτερον αἰτεῖ, τὸν δὲ προτερεύοντα τῷ πατρὶ φυλάσσει. M.Q.V.

οἰκονομικὸν τὸ διανόημα, ὅτι οὐκ εἰς τὴν καθ' ἡμέραν δαπάνην τῷ αὐτῷ χρῆσθαι προσήκει, ἀλλ' ἀποκεῖσθαι τὰ τιμιώτερα εἰς ἐξαίρετον χρόνον. E.Q.

ὧν] γρ. καὶ μικρὸν, ἵν' ᾖ, ἐστὶν ἀπὸ τοῦ ὂν, ὡς τὸ "μετ' ἀμύμονα Πηλείωνα." M.

351. ὀϊομένη] ἐν οἰήσει ἔχουσα καὶ δοξάζουσιν ἐλεύσεσθαι τὸν δυστυχῆ. E.

355. εἴκοσι δ' ἔστω μέτρα] εἴκοσι δὲ μοδίους ἀλεύρου ἀπὸ τῆς

4. Hinc liquet, jam olim in duas sectas divisos esse grammaticos, quorum alteri in heroici versus cæsura semper liquidas duplicaverint, alteri non. PORSON.

γράφει διὰ δύο $\overline{\text{νν}}$ om. H.

5. ἐνιμμεγάροισιν] ἐνι (sine accentu) μεγάροισιν M. ἐνὶ μεγάροισιν H.

6. περιεργία] ἐργασία M.

12. ἢ addidit Buttm.

14. φλασκίον] Vide exempla ab Ducangio allata s. h. v. p. 1683.

16. αἰτεῖ] καλεῖ Q.

προτερεύοντα M. πρωτεύοντα Q.V. Verbi προτερεύειν exempla e recentioribus scriptoribus collecta vide in Thesauro vol. 6. p. 2061. Antiquiores scriptores προτερεῖν dixerunt.

17. τῷ addidi ex M.

21. ὧν] ὧν σὺ φυλάσσεις in libris quibusdam pro ὃν σὺ φ. scriptum fuisse novimus ex H. in quo ὧν supra ὃν scriptum est.

ἵν' ᾖ, ἐστὶν ἀπὸ τοῦ ὂν] ἵν' ἐστὶν ἀπὸ τοῦτον M. Sic τοῦ ἀφ' οὗ p. 101, 7.

25. μοδίους Buttm. μοδ. P. μόδια Q.

μυληφάτου ἀκτῆς οὕτω καλουμένης ἀλεύρου. P.Q. λέγεται δὲ ἀκτὴ τὸ λεπτότατον τοῦ ἀλεύρου. Q.

μυληφάτου] ἀλεύρου καθαροῦ ἀληλεσμένου ἀπὸ μύλης. M. τοῦ ἐν τῷ μύλῳ πεφαμένου, ὅ ἐστι κεκομμένου. λέγει δὲ τοῦ ἀλφίτου ἐπιθετικῶς. B.E.

ἀλφίτου] ἄλφιτον λέγεται τὸ παχὺ ἄλευρον παρὰ τὸ ἀλφαίνειν· ἡ πρῶτον εὑρεθεῖσα τροφή· κατὰ περίφρασιν τοῦ ἀλφίτου ἐπικατασσομένου τῆς κριθῆς. H.

358. κοίτου] οἱ κοῖτοι τὰ στρώματα, ὁ κοῖτος δὲ ἡ κοίμησις. E.

359. ὅτι οὐδὲ ἐνταῦθα μνήμη τίς ἐστι τῆς Κρήτης. H.M.S.

360. νόστον πευσόμενος] περὶ τῆς ὑποστροφῆς ἐρωτήσων. S.

361. κώκυσεν] ὠλόλυξε, θρηνητικῶς ἐβόησε. S.

κώκυσεν δὲ φίλη τροφὸς] ἤτοι θρηνητικῶς ἀνεβόησεν. οἰκεῖον δέ ἐστι τοῦτο γυναικὶ καὶ Τηλεμάχου τροφῷ καὶ ἐξαιρέτως εὐνοϊκῇ. E.

εἰκότως ἄρα ἀπολοφύρεται ἐν τούτῳ ὁρῶσα πᾶσαν τὴν τοῦ οἴκου διαδοχήν. Q.

362. καί ῥ' ὀλοφυρομένη] καὶ πρὸς αὐτὸν ἀποκλαιομένη, ὀδυρομένη. S.

363. τίπτε δέ σοι] τίνος ἕνεκεν ἔπλετο, παρεγένετο. S.

365. μοῦνος ἐὼν ἀγαπητὸς] μονογενὴς ὢν καὶ ἀγαπώμενος. S.

366. ἀλλογνώστῳ ἐνὶ δήμῳ] ἐν τῷ ὑπὸ ἄλλων καὶ οὐχ ὑφ' ἡμῶν γινωσκομένῳ πλήθει. S. ἀλλοδαπῶν, ἢ πολεμίων καὶ ἐχθρῶν, ἢ τῶν ἄλλοις καὶ οὐχ ἡμῖν γινωσκομένων. S. ἢ τῷ ἄλλα γινώσκοντι ἔθνη, ἢ τῷ μὴ γινωσκομένῳ ἡμῖν, ἢ τῷ τοῖς ἄλλοις γινωσκομένῳ. E.

367. οἱ δέ τοι αὐτίκ' ἰόντι] ἀναφώνησις. τοῦτο γὰρ καὶ γέγονε. V. οὗτοί σοι εὐθέως πορευθέντι. S.

κακὰ φράσσονται ὀπίσσω] χαλεπὰ βουλεύσονται ἐν ὑστέρῳ. S.

368. ὥς κε δόλῳ] ὅπως δολίως διαφθαρείης. S.

ὥς κε δόλῳ φθείης] γράφεται καὶ διὰ τοῦ ι φθίῃς. Q. φθείης, ἀπὸ τοῦ φθαρείης κατὰ συγκοπήν. B.

369. ἀλλὰ μέν' αὖθι] τὸ αὐτὸ νόημα καὶ πρὸς τοῦ Ἀντινόου ἐλέχθη, δυσμενῶς μέντοι. V.

370. πόντον ἐπ' ἀτρύγετον] ἐπὶ τὴν θάλασσαν τὴν ἄκαρπον, ἀκατα-

4. πεφαμένου] πεφονευμένου E.

10. οὐδὲ ἐνταῦθα] Respicit schol. ad ea quæ dicta sunt ad α, 93.

21. ἀλλογνώστῳ] Conf. Eustath. p. 1450, 62.

25. ἀναφώνησις] Conf. ad β, 20, η, 270. BUTTM.

29. φθίῃς] φθείης Q.

πόνητον ὑπομένειν πλανᾶσθαι. S. ἢ τὸν ἀκαταπόνητον, ἢ τὸν ἄκαρπον, τὸν μὴ ἔχοντα τρύγα ἤτοι καρπόν. τὸν πολλὴν τρύγα ἤτοι πολλοὺς καρποὺς ἔχοντα, ἵνα σημαίνῃ τὸ α ἐπίτασιν. E.

οὐδ' ἀλάλησθαι] προπαροξυτόνως· δηλοῖ γὰρ τὸ πλανᾶσθαι. M.S.

373. ἀλλ' ὄμοσον] ὀμόσαι μὲν τὸ ὀνομάσαι θεὸν. τελευτῆσαι δὲ τὸν ὅρκον τὸ ἐπαγαγεῖν τὸ πρᾶγμα περὶ οὗ ὁ ὅρκος γίνεται. E.P.Q.S. ἀλλ' ὄμοσόν μοι μὴ πρότερον τῇ προσφιλεῖ μου μητρὶ ἐξείπῃς. S.

μυθήσασθαι] γρ. διὰ τοῦ ε, μυθήσεσθαι. H.

375. ἀφορμηθέντος] ἐξελθόντος, ἐκπορευθέντος. S.

376. ἰάπτῃ] διαφθείρῃ, καταδαπανᾷ, παρὰ τὸν ἰόν· ὅθεν καὶ τὸ "Αἴδι προΐαψεν." P.S.V.

378. ὄμοσέν τε] ὀμόσαι μὲν τὸ εἰπεῖν θεῖόν τι ὄνομα, οἷον νὴ τὸν Ἑρμῆν, μὰ τὰς Ἐλευσινίας θεὰς, τελευτῆσαι δὲ τὸν ὅρκον, τὸ ἀποδοῦναι τὸν ἔνορκον λόγον, οἷον ποιήσω τόδε, ἢ οὐ ποιήσω. V.

379. αὐτίκ' ἔπειτα] εὐθέως μετὰ ταῦτα. S.

ἀμφιφορεῦσι] ἐν τοῖς κεραμίοις. S.

ἄφυσσεν] ἐπήντλησεν. S.

380. ἐν δέ οἱ ἄλφιτ'] ἐπέλαβε δὲ καὶ τὰ ἄλευρα τοῖς καλῶς ἐρραμμένοις θυλάκοις. S.

ἄλφιτα χεῦεν] τὸ χέειν οὐ μόνον ἐπὶ τῶν ὑγρῶν λέγεται, ἀλλὰ καὶ ἐπὶ τῶν μαλακῶν. E.

381. ἐς δώματ' ἰὼν] ἰστέον ὅτι δῶμα Ὅμηρος οὐ πάντοτε τὴν ὅλην οἰκίαν λέγει, ἀλλ' ἔστιν ὅτε καὶ τὸ ἐνδότερον αὐτῆς μέρος. S.

382. ἔνθ' αὖτ' ἄλλ' ἐνόησε] τότε δὴ ἕτερα ἐβουλεύσατο. S.

383. κατὰ πτόλιν ᾤχετο πάντῃ] ἐπορεύθη πανταχοῦ ὅσα ἂν εἶπεν ἐκεῖνος. S.

385. ἀγέρεσθαι ἀνώγει] ἐνδεία τοῦ ἀγείρεσθαι. H. συναθροίζεσθαι παρακελεύει. S.

386. Φρονίοιο Νοήμονα] πεποίηκεν πλαστὰ ὀνόματα. S.

387. ὑπέδεκτο] ὑπέσχετο. S.

388. δύσετό τ' ἠέλιος] εἴωθεν ὁ ποιητὴς τοὺς μέλλοντας πολλάκις εἰς ἐνεστῶτας μετάγειν. ἔστιν οὖν τὸ ἐδύσετο παρατατικὸν ἀπὸ ἐνεστῶτος τοῦ δύσω. E.M.Q.S.

4. προπαροξυτόνως] Conf. Eustath. p. 1451, 2.
8. γρ. addidi.
10. διαφθείρῃ] διαφθείρει S. ἀφανίζει P.
καταδαπανᾷ om. P.V.
31. τοὺς μέλλοντας addidi ex M.S.

σκιόωντο] ἐσκιάζοντο, σκιὰν ἐποιοῦντο, ὑπεσκιάζοντο, ἢ αἱ ὁδοὶ ἐσκοτίζοντο. S. τὸ σκιόωντο δὲ, σκιὰς ἐποίουν, ἀπὸ τοῦ τὸν ἥλιον εἶναι πρὸς δύσιν. E.Q.

ἀγυιαί] τὰ ἄμφοδα, αἱ ὁδοί. στενωποὺς Ἀθηναῖοι, ἀγυιὰς Ἀργεῖοι καλοῦσιν. MS. Barnes. 5

389. πάντα δ' ἐν αὐτῇ] πάντα ἀσφαλῶς· τὸ μὲν γὰρ λαθεῖν δυνάμενον καὶ μεθ' ἡμέραν πέπρακται, ἥ τε ἔντευξις ἡ πρὸς τοὺς πλευσομένους καὶ ἡ πρὸς τὸν τὴν ναῦν παρέξοντα, τὰ δὲ τῆς καθολικῆς τοῦ σκότους ἐπεληλυθότος. E.Q.S.

390. εὔσελμοι φορέουσιν] αἱ εὔζυγοι, αἱ εὐτάβλωτοι, αἱ εὐκάθεδροι. E. εὐσανίδωτοι. λέγει δὲ ἐπιθετικῶς τὰς ναῦς· σέλματα γὰρ τὰ τῶν νηῶν σανιδώματα. E.H.S. 10

εἴρυσε] καθείλκυσε. S.

ὅπλ' ἐτίθει] τὰ χρειώδη σχοινία ἀπετίθει. S.

391. στῆσε δ' ἐπ' ἐσχατιῇ] ἔστησε δὲ αὐτὴν τῷ τελευταίῳ μέρει· περὶ δὲ αὐτὴν οἱ συμπλέοντες ἢ καὶ οἱ συνναῦται. S. 15

392. ἀθρόοι] γρ. αὐτήν. H.

ἀθρόοι ἠγερέθοντο] ὁμοῦ ἐν τῷ αὐτῷ συνηθροίζοντο· ἡ θεὸς γὰρ παρώρμα τούτων ἕκαστον. S.

396. πλάζε] πλανᾶσθαι ἢ παραφρονεῖν ἐποίει. H. 20

χειρῶν δ' ἔκβαλλε κύκελλα] ἀδυνατουσῶν διὰ τὸν ὕπνον. V. εἰκότως. πολὺν γὰρ ἔπινον χρόνον ἐξ ὅτου τὴν ἐκκλησίαν διέλυσαν. E.Q.

397. οἱ δ' εὕδειν ὤρνυντο] δεῖ νοεῖν ὅτι οἱ ξένοι τῶν μνηστήρων παρὰ φίλοις ἐκάθευδον. οὐ γὰρ ἐθάρρουν παρὰ τῶν Ἰθακησίων μνηστήρων ἐν τῷ οἴκῳ Ὀδυσσέως καθεύδειν. οὕτως γὰρ αὐτῶν καὶ ἡ ἀπώλεια ἐγνώσθη. E.P.Q.R. 25

401. Μέντορι εἰδομένη] ἐπεὶ τοῖς ἔμπροσθεν ὁμοιωθεῖσα τῷ Τηλεμάχῳ ἡ θεὸς κατὰ πόλιν ᾤχετο πάντη, εὐλόγως νῦν μεταβάλλεται. Q. 30

4. στενωποὺς Buttm. pro στενόχους. Hesych. στενωπός· ἡ ἀγυιὰ καὶ πλατεῖα καὶ ἄμφοδος. Suidas, ἀγυιάν· τὸν στενωπὸν Ξενοφῶν.

6. πάντα ἀσφαλῶς] πάντα δὲ ἀσφαλῶς E.Q. in quibus hoc scholion supra inter verba τοῦ δύσω et τὸ σκιόωντο δέ.

17. γρ. αὐτήν] Videtur glossema esse ad περί adscriptum v. 391.

24. δεῖ νοεῖν—καθεύδειν] ὅτι οὐκ ἐν τῇ Ὀδυσσέως οἰκίᾳ ἐκοιμῶντο R.

26. οὕτως—ἐγνώσθη om. P.

402. ἐυκνήμιδες ἑταῖροι] ἔνοπλοι· ἐκ μέρους τὸ πᾶν. ἢ κατὰ μετάληψιν εὖ ὡπλισμένοι τὰ περὶ τὸν πλοῦν. E.Q.

404. διατρίβωμεν ὁδοῖο] Ἀττικῶς, μὴ ἀναβαλλώμεθα τῆς ὁδοῦ. E.H.M. Ζηνόδοτος δὲ εὐήθως ἀθετεῖ αὐτόν. M.

410. Καλλίστρατος, δεῦτε φίλοι, ὄφρ' ᾖα φερώμεθα. καὶ ἔστι τῆς νεωτέρας Ἀτθίδος τὸ οὕτως συναιρεῖν. H.M.Q. 5

412. οὐδ' ἄλλαι δωμαὶ] λελῃθότως ἀπόρρητον αὐτοῖς ὑποτίθησι τὴν πρᾶξιν ἔσεσθαι, ἵνα μηδὲ αὐτοὶ ἐξείπωσί τισιν. E.Q.S.V.

414. βραχὺ διασταλτέον μετὰ τὸ φέροντες. H.

417. νηῒ] ἀντὶ τοῦ νηός. B. ἀντὶ τοῦ, νεὼς πρύμνῃ· καὶ ἐν Ἰλιάδι "νηῒ δ' ἐνὶ πρύμνῃ ἔναρα βροτόεντα Δόλωνος" (Il. κ, 570.). V. 10

419. ἐπὶ κληῖσι] ταῖς ναυτικαῖς καθέδραις, ἐκ τοῦ συγκλᾶσθαι τὸν καθίσαντα. E.

420. ἵκμενον οὖρον] ἀπὸ τοῦ ἱκνοῦμαι, τὸ παραγίνομαι. B.Q. τὸν ἱκνεῖσθαι καὶ φέρεσθαι ποιοῦντα· ἢ τὸν δίυγρον καὶ ἁπαλόν. καὶ ἀλλαχοῦ "ἀνέμων μένος ὑγρὸν ἀέντων" (Od. ε, 478.). ἢ τὸν ἐπιτήδειον εἰς τὸ ἰέναι· ἢ τὸν ὑγρὸν ἀπὸ τῆς ἰκμάδος. E. 15

421. ἀκραῆ ζέφυρον] ἐπιτήδειον, ἄκρως πνέοντα πρὸς τὰς χρείας, οὐ πλέον οὐκ ἔλαττον. B.Q.V.

τὸ "ἀκραῆ ζέφυρον κελάδοντα," καὶ τὸ "ἐπλέομεν βορέῃ ἀνέμῳ ἀκραέϊ" (Od. ξ, 253.), οὐκ ἔστιν ἄκρως πνέοντι, ἀλλ' ἀκεράστως πνέοντι. τῆς γὰρ κράσεως τῶν ἀνέμων κατηγορεῖ τὸ δεινόν· λέγει γὰρ "δεινὴ μισγομένων ἀνέμων ἐλθοῦσα θύελλα" (Od. ε, 317.). ἐπαινεῖ ὡσαύτως καὶ ἐπὶ οἴνου τὸ ἀκέραστον· "ἐν δὲ πίθοι οἴνοιο παλαιοῦ ἡδυπότοιο ἕστασαν ἄκρητον θεῖον πότον ἐντὸς ἔχοντες" (340.). οὕτως ἀκουστέον καὶ τὸ ἀκήρατον, καθαρὸν πόμα, καὶ ἀκέραστον, καὶ ἀκραιφνές. E.Q.R. ἢ τὸν ἐπιτήδειον, ἢ ἄμικτον ἑτέρῳ· ἢ ἄκρως ἄοντα, ἤτοι 20 25

2. εὖ ὡπλισμένοι Buttm. εὐοπλισμένοι E.Q.

3. Ἀττικῶς — ὁδοῦ] ἀναβαλώμεθα ἀπὸ τῆς ὁδοῦ, ἀττικῶς E.

4. εὐήθως Cobetus. εὐηθέως M.

5. ᾖα] Libri ἤϊα.

14. παραγίνομαι] ἐπιτήδειον addunt B.Q. ex scholio proximo illatum, ut animadvertit Buttm.

18. 19. Hoc scholion integrius est infra lin. 27. Quæ V. post ἔλαττον addit ἢ τὸν μὴ κεκραμένον, ἀλλ' ἀκριβῶς ζέφυρον. τινὲς εὐκραῆ ex Eustathio compilata sunt p. 1452, 50.

24. τὸ ἀ. R. τὸν ἀ. E.Q.

25. οὕτως ἀκουστέον] οὕτως ἀκού R. ὅπως ἀκούσῃς E.Q.

26. καθαρὸν—ἀκραιφνές om. B.

27. ἄοντα] ἀέντα ἤτοι πνέοντα Eustath. l. c.

αὐτάρκως πρὸς τὴν χρείαν, οὐ πλέον οὐκ ἔλαττον. τὸ δὲ κελάδοντα, τὸ κελαδεῖν ἐπὶ λιγυρᾶς φθογγῆς τίθεται, τὸ δὲ ῥοχθεῖν ἐπὶ κυμάτων. E.Q.

422. ἐποτρύνας] γρ. καὶ "ἐποτρύνων" διχῶς. H.

423. ὅπλων ἅπτεσθαι] τῶν σχοινίων κωπίων ἐπιλαμβάνεσθαι παρορμήσαντος ὑπήκουσαν. S.

424. μεσόδμης] ἱστοδόκης, ἐκ τοῦ μέσον δεδομῆσθαι. τῆς λίνου λέγει, εἰς ἣν ἐμβάλλεται ὁ ἱστός. ἔστι δὲ τοῦ πλοίου μέσος τόπος. E.Q.T.

426. εὐστρέπτοισι βοεῦσι] καλῶς ἡρμοσμένοις ἢ εἰργασμένοις ἱμᾶσι. ὕστερον δὲ οἱ κάλοι ἐπενοήθησαν. E.Q.

βοεῦσι] λώροις· τούτοις γὰρ ἐχρῶντο τὸ πρότερον, νῦν δὲ τοῖς ὀνομαζομένοις κάλοις. B.

427. ἱστίον τὸ ἄρμενον, ἱστὸς δὲ τὸ κατάρτιον, ὡς τὸ μέσον ἱστάμενον ξύλον. B.

428. στείρῃ] τῇ τρόπιδι, διὰ τὸ στερεὰν εἶναι, καὶ διὰ τὸ στερεοῦσθαι ἐν αὐτῇ τὴν ναῦν. E.

πορφύρεον] μέλαν· ἀφ' οὗ λέγεται καὶ πορφύρεος θάνατος, ἤτοι μέλας. E.

430. δησάμενοι] γρ. δήσαντες. P.

ὅπλα θοὴν ἀνὰ νῆα] τὰ σχοινία τὰ τείνοντα τὸ ἄρμενον. Q. βραχὺ διασταλτέον ἢ μετὰ τὰ ὅπλα, ἢ μετὰ τὸ νῆα μέλαιναν. H.

431. ἐπιστεφέας] μέχρι τῆς στεφάνης μεστοὺς καὶ τοῦ χείλους. Q.

433. γλαυκώπιδι κούρῃ] ἢ τῷ ἀέρι. ἡ Ἀθηνᾶ στοιχειακῶς εἰς τὸν ἀέρα ἀλληγορεῖται. E.

434. ἠῶ πεῖρε] ἠῶ λέγει τὴν ὀρθρινὴν ὥραν τὴν μεταξὺ νυκτὸς καὶ ἡλίου ἀνατολῆς. τὸ δὲ πεῖρε ἀντὶ τοῦ ἐπέρα. ἔνθεν καὶ τὸ "ἀλεγεινά τε κύματα πείρων" (Od. θ, 183.). E.B.Q.

1. κελάδοντα Buttm. pro κέλαδον.
2. τίθεται Buttmann. pro ᾄδεται. "Observatio contra eos qui κελάδοντα ad πόντον traherent: cf. ε, 402. ubi ῥοχθεῖν de mari, et Il. ψ, 208. ubi κελαδεινάς de zephyro." BUTT.
7. λίνου] ληνοῦ E.Q.
10. εἰργασμένοις] ἠργασμένοις E.Q.
11. κάλοι] κάλωες E.
28. ἀνατολῆς] ἀνατολήν Q.
ἔνθεν] ἔνθα E.B.Q.

Γ.

ΥΠΟΘΕΣΙΣ.

Τηλέμαχος εἰς Πύλον καταχθεὶς ἅμα τῇ Ἀθηνᾷ ἐν Μέντορος μορφῇ καταλαμβάνει τοὺς Πυλίους θυσίαν ταύρων ἐπιτελοῦντας τῷ Ποσειδῶνι, καί τι περὶ τοῦ πατρὸς αὐτῷ πυθομένῳ ἐκτίθεταί τινα τῶν Ἰλιακῶν διηγημάτων. μετὰ τοῦτο ἡ μὲν Ἀθηνᾶ ἐν ὀρνέου μορφῇ ἀπαλλάττεται, ὁ δὲ Νέστωρ θυσίαν αὐτῇ συντελέσας τὸν Τηλέμαχον ἅμα τῷ υἱῷ Πεισιστράτῳ εἰς Λακεδαίμονα ἀποπέμπει. Q.S.V.

Τηλέμαχον ἐλθόντα σὺν Ἀθηνᾷ ξενίζει Νέστωρ, καὶ διηγεῖται αὐτῷ τὰ συμβεβηκότα τοῖς Ἕλλησι καὶ τὸν ἐκ Τροίας ἀπόπλουν. πυθόμενος δὲ τὰ περὶ τοὺς μνηστῆρας καὶ γνωρίσας τὴν Ἀθηνᾶν ἀπιοῦσαν θυσίαν αὐτῇ ἐπιτελεῖ. λαβὼν δὲ ὁ Τηλέμαχος ἅρμα σὺν Πεισιστράτῳ τῷ Νέστορος υἱεῖ εἰς Σπάρτην ἀπαίρει. νυκτὸς δὲ ἐπιγενομένης ξενίζονται παρὰ Διοκλεῖ ἐν Φηραῖς. P.S.V.

---

1. ἠέλιος δ' ἀνόρουσε] ἅμα ἡμέρᾳ καταγόμενον ποιεῖ τὸν νεανίαν εἰς τὴν Πύλον, ὥστε μηδὲν αὐτῷ ἀργὸν τῆς ἡμέρας μέρος καταλείπεσθαι. τὸ δ' αὐτὸ κατὰ τὴν ὑποστροφήν. "αἶψα γὰρ ἠὼς ἦλθεν ἐύθρονος, οἱ δ' ἐπὶ χέρσου Τηλεμάχου ἕταροι λύον ἱστία" (ο, 495.). καὶ ἐν Ἰλιάδι ἡ Θέτις ἕωθεν φέρει τῷ Ἀχιλλεῖ τὰ ὅπλα. M.Q.S.T.

λίμνην ὁ ποιητὴς πᾶν ὕδωρ φησὶ, νῦν δὲ τὸν ὠκεανόν. B.E.P. Q.S. τὸν ἀέρα καὶ γῆν καὶ θάλασσαν καὶ ἁπλῶς τὰ στοιχεῖα πάντα. S.

3. θνητοῖσι βροτοῖσιν] βροτοῖς ἀθανάτοισι καὶ θνητοῖς, τὸ μὲν διὰ τὴν ψυχὴν, τὸ δὲ διὰ τὸ σῶμα. E.

ζείδωρον] τὴν τὰ πάντα πρὸς τὸ ζῆν δωρουμένην. E.

4. οἱ δὲ Πύλον Νηλῆος] Νηλεὺς μαχεσάμενος μετὰ Πελίου ἐξ Ἰωλκοῦ ἧκεν εἰς Μεσσήνην καὶ τὴν Πύλον ἔκτισε, Μεσσηνίων χώραν παρασχόντων. ἱστορεῖ Ἑλλάνικος. B.E.H.M.T.

9—14. Hoc argumentum apud Eustathium p. 1453.

10. ἐκ Τροίας post ἀπόπλουν P.V.

13. τῷ om. S.

16. εἰς τὴν Πύλον post καταγόμενον S.

ἀργὸν] ἔργον Q.

17. τὸ δ' αὐτὸ—ὅπλα om. S.

19. ἡ Θέτις addidi ex T.

20. πᾶν—τὸν] τὸ πᾶν ὕδωρ καλεῖ, νῦν δὲ φησὶ τὸν S.

26. Νηλεὺς] γὰρ ὡς εἴρηται (εἴρηκεν Buttm.) ἑλλάνικος add. B.E. Iidem μαχησάμενος.

27. ἧκεν] ἦλθεν T. et Eustath.

Μεσσήνην et Μεσσηνίων T. et Eustath. Μεσήνην et Μεσηνίων ceteri.

28. ἱστορεῖ Ἑλλάνικος om. B.E.

6. ταύρους παμμέλανας] ταύρους μὲν διὰ τὸ βίαιον τῆς θαλάσσης, μέλανας δὲ διὰ τὴν χρόαν τοῦ ὕδατος τὴν ἐκ τοῦ βάθους. P.S.V.

διὰ τὴν ἐπιφάνειαν τῶν ὑδάτων μέλανας. πορφυροῦν γὰρ κῦμά (Il. φ, 326.) φησι, καὶ "μέλαν δέ ἑ κῦμ' ἐκάλυψεν" (Il. ψ, 693, Od. ε, 353.), καὶ "ἔνθορε μείλανι πόντῳ" (Il. ω, 79.)· καὶ "ἰοειδέα πόντον" (Il. λ, 298.) φησίν. H.Q. ὅτι μέλαν τὸ ὕδωρ διὰ τὸ βάθος ἠχητικόν. E.

ἐνοσίχθονι κυανοχαίτῃ] ταύρῳ ἀπεικάζουσι τὸν Ποσειδῶνα διὰ τὸ δίκην ταύρου ὑπὸ τῶν κυμάτων ὠρύεσθαι. τῷ Ποσειδῶνι δὲ θύουσιν ἢ ὡς ἀπόγονοι αὐτοῦ διὰ Νηλέως, ἢ εὐχαριστοῦντες τούτῳ ἐπὶ τῷ νόστῳ. E.H.M.Q.S.

ἐνοσίχθονι] τῷ Ποσειδῶνι τῷ κινοῦντι τὴν γῆν. ἔνοσις γὰρ ἡ κίνησις, χθὼν δὲ ἡ γῆ. δοκοῦσι γὰρ οἱ σεισμοὶ ἐξ αὐτοῦ εἶναι. V.

7. ἐννέα δ' ἕδραι ἔσαν] ἐννέα συνέδρια ἦν διὰ τὸ ἐννεάπολιν εἶναι τὴν Πύλον. E.P.S. ἢ ἐννέα πόλεων ἦρχε Νέστωρ, Πύλου, Ἀρήνης, Θρύου, Αἴπυος, Κυπαρισσήεντος, Ἀμφιγενείας, Πτελεοῦ, Ἔλους καὶ Δωρίου. E. ἐπεὶ ἐννέα πόλεων ἦρχεν ὁ Νέστωρ· "οἳ δὲ Πύλον τ' ἐνέμοντο καὶ Ἀρήνην ἐρατεινὴν, καὶ Θρύον, Ἀλφειοῖο πόρον, καὶ ἐύκτιτον Αἶπυ, καὶ Κυπαρισσήεντα καὶ Ἀμφιγένειαν ἔναιον, καὶ Πτελεὸν καὶ Ἔλος καὶ Δώριον" (Il. β, 591.). καθ' ἑκάστην οὖν πόλιν ἦν ἕδρα. τὸ δὲ "πεντηκόσιοι δ' ἐν ἑκάστῃ" τὸ πλῆθος ὑποφαίνει τῶν ἐπὶ Ἴλιον συνεστρατευκότων Νέστορι. ἐνενήκοντα γὰρ αἱ νῆες ἦσαν τοῦ Νέστορος, τῶν δὲ ἑκάστη πεντήκοντ' ἀνδρῶν. εἰσὶν οὖν οἱ πάντες ϟϕ'. πάντα οὖν μετὰ παρατάξεως καὶ εὐκοσμίας γίνεται ὡς ἂν Νέστορος ἡγουμένου. H.M.Q. ἢ ἀπὸ τοῦ ἐννέα ἔτη ταλαιπωρεῖσθαι εἰς τὴν Τροίαν. S.

πεντακόσιοι δ' ἐν ἑκάστῃ] οὕτω διὰ τοῦ α τὸ πεντακόσιοι Ἀρίσταρ-

8. ταύρῳ—ὠρύεσθαι] Hæc verba et τῷ et δὲ post Ποσειδῶνι addidi ex S.

10. τούτῳ M. τοῦτον S. τῷ δαίμονι ceteri.

ἐπὶ τῷ νόστῳ] ἐπὶ τοῖς νόστοις H. διὰ τὸν νόστον M.S.

16. Θρύου, Αἴπυος correxi pro Φρύου, Αἴσχυος.

18. Θρύον] θροῖον M. φρύον H.Q.

22. αἱ addidi ex H.

23. τῶν δὲ ἑκάστη πεντήκοντ' pro τῶν δ' ἐνενήκοντ' correxit Buttm. collato Eustathio et Il. π, 169. 170.

27. πεντακόσιοι] Sic M. in textu a pr. m., πεντηκόσιοι a correctore. In H. πεντήκοντα δ' ἐν ἑκάστη, superscripto πεντηκόσιοι δ' ἀν' ἑκάστη (voluit ἑκάστην, ut monet Porson.). Recte autem Aristarchus πεντακόσιοι servavit, cujus syllaba secunda quum in arsi produci possit, nihil caussæ est cur πεντηκόσιοι inferatur forma inaudita, nisi quod librarii apud Herodotum aliquoties πεντη-

χος καὶ Ἡρωδιανός. ἑκάστοθι, ἐν ἑκάστῳ τόπῳ. τινὲς δὲ, ἑκάστοθεν, ὅ ἐστιν ἐξ ἑκάστης πεντηκοντύος. προπαροξύνεται δὲ ἀμφότερα. H. M.Q.S.

8. εἵατο καὶ προὔθεντο] γράφεται καὶ προὔχοντο. E.

προὔχοντο] ὁ μὲν Ἀρίσταρχος, προείχοντο τῷ θεῷ, οἷον παρεῖχον· οἱ δὲ, πρὸ αὐτῶν κατείχοντο ἐπὶ τὸ σφάξαι· τινὲς δὲ, προεβάλλοντο. E.H.M.Q.S.

9. οἱ σπλάγχν' ἐπάσαντο] τινὲς σπλάγχν' ἐδάσαντο. ὅτε οὗτοι τῶν σπλάγχνων ἐπάσαντο καὶ οὗτοι ἰθὺς κατάγοντο. E.H.M.Q.

10. κατάγοντο, ἰδ'] Ἀρίσταρχος κάταγον· εἶτα, τοὶ δ' ἱστία. ὁ δὲ Ἡρωδιανὸς κατάγοντο. τὸ ὅμοιον καὶ ἐπὶ τοῦ "νίζον καὶ προτίθεντο ἰδὲ κρέα πολλὰ δατεῦντο" (α, 112.). H.M.

11. στεῖλαν] οἱ περὶ Ζηνόδοτον, σεῖσαν ἀείραντες. τότε δὲ σείουσιν ὅτε θέλουσι χαλάσαι τὸ ἄρμενον. H.M.Q.R.T.

14. χρὴ] γρ. χρεῖ'. H.

οὐ μέν σε χρὴ ἔτ' αἰδοῦς] οὐ χρεία σε τῆς αἰδοῦς, Ἀττικῶς. εὐπρεπῶς δὲ ἡ μὲν ὡς ἀδαήμονι διαλέγεται ἀξιοῦσα νῦν ἀποθέσθαι διὰ τὸν καιρὸν τὸ τοιοῦτον ἦθος, ὁ δὲ οὐκ ἐπάγει ὅτι ἀδαήμων εἰμί· οὐ γὰρ εὐπρεπὲς περὶ αὐτοῦ τοιαῦτα ἐκφέρειν· ἀλλὰ τἀληθές φησιν, οὐδέ τί πω μύθοισι πεπείρημαι. E.H.M.Q.

οὐδ' ἠβαιόν] ἄδηλον πότερον ἐκ συναλοιφῆς ἐστι τὸ ῃ ἢ τοῦ ἠβαιόν τρισυλλάβου· οἱ δὲ νεώτεροι βαιόν φασι. H.M.Q.

κόσιοι scripserunt pro πεντακόσιοι, ut τεσσερήκοντα pro τεσσαράκοντα: de quo errore dixi in Comment. de dialecto Herodoti p. vi.

P. 119. l. 27. οὕτω] οὕτως M.

2. πεντηκοντύος] Forma πεντηκοντύς est præter usum: oportuit, si a πεντήκοντα venit, πεντηκοστύς, sin a πεντακόσιοι—πεντακοσιοστύς. BUTTM.

προπαροξύνεται (—ονται M.) δὲ ἀμφότερα] Hæc verba M. habet in scholio ad v. 10. inter κατάγοντο et Ἀρίσταρχος.

5. ὁ μὲν om. E.Q.

10. τοὶ δ'] τὸ ἰδ' H.M.

11. ἐπὶ τοῦ νίζον H. ἐπιγουνίζον M.

προτίθεντο ἰδὲ] Ubi Aristarchus πρότιθεν, τοὶ δὲ—.

13. ἀείραντες M. ἀείροντες ceteri. Post ἀείραντες M. addit ἔφαγον, quod est glossema verbi ἐπάσαντο v. 9.

14. θέλουσι M. θελήσωσι ceteri. In T. est ἐπειδὰν χαλάσαι θέλωσι.

15. γρ. χρεῖ'] Ortum ex glossemate χρεία ad χρή adscripto.

16. σε τῆς H.M. σοι τῆς E.Q.

17. ἡ μὲν ὡς M. Legebatur ὡς μέν.

20. μύθοισι πεπείρημαι] μύθοιο πεπείραμαι E.

21. ἄδηλον] Nam scriptura antiqua ΟΥΔΗΒΑΙΟΝ et οὐδ' ἠβαιόν et οὐ δὴ βαιόν significare potest.

πότερον] ὅτι Q.

συναλοιφῆς] συναλιφῆς H. qui ἐστι om.

τὸ ῃ ἢ τοῦ Cobetus. τὸ ῃ τοῦ H. M. τοῦ η τοῦ Q.

15. ἐπέπλως] ὥσπερ ἀπὸ τοῦ διδόω διδῶ δίδωμι, οὕτω καὶ ἀπὸ τοῦ πλόω πλῶ πλῶμι. B. πλῶ, πλώσω, ἔπλωσας, καὶ κατὰ ἀποκοπὴν ἔπλως καὶ ἐπέπλως. E.

16. ἐπέσπεν] γρ. ἐπέσπα. H.

17. ἀλλ' ἄγε νῦν] γρ. ὄφρα τάχιστα. H. 5

18. εἴδομεν] γρ. ἴδωμεν. H.

ἐνὶ στήθεσσι κέκευθε] παρά τινων λέγεται τὸ λογιστικὸν ἐν τῇ κεφαλῇ, παρ' ἑτέρων δὲ ἐν τῇ καρδίᾳ. E.

20. μάλα πεπνυμένος ἐστί] καὶ πῶς Ὀδυσσεὺς ὁ πεπνυμένος ἴσκε ψεύδεα πολλὰ λέγων (Od. τ. 203.); ἀλλὰ πρὸς τὸ μηδὲν 10 κατεπεῖγον ψεύδεσθαι τοῦτο κομιδῇ νηπίου ἀνδρός. E.M.

21. τὴν δ' αὖ] ἢ αὐτὸς πρὸς ἑαυτὸν, ἢ πρὸς φίλον τινὰ Μέντορα. E.

22. πῶς τ' ἂρ προσπτύξομαι] προσεταιρίσομαι, προσαγορεύσω, φιλοφρονήσομαι, προσκαλέσομαι πρὸς τὸ ἀληθὲς εἰπεῖν. M. 15

23. οὐδέ τί πω] καὶ πῶς ἐν τοῖς Ἰθακησίοις οὕτως ἐπαρρησιάσατο; ἀλλ' ἐκεῖνος μὲν οὖν ἀναστραφεὶς, ἔτι δὲ καὶ πρὸς ὀργὴν ἱκανῶς κινηθεὶς παρρησιάζεται, Νέστορα δὲ συνέσει πανταχοῦ κηρυσσόμενον ἀκούων εἰκότως αὐτὸν εὐλαβεῖται. M.

24. αἰδὼς δ' αὖ νέῳ ἀνδρὶ] οὕτω γράφουσιν οἱ κατὰ Ῥιανόν. 20 H.M.

28. γενέσθαι τε τραφέμεν τε] οὐκ ἔστιν ἀναδιπλασιασμὸς τὸ, τε τραφέμεν, ἀλλὰ σύνδεσμος συμπλεκτικός. M.Q.

31. ἄγυριν τε] γρ. ἀγορήν τε. ἄγυριν εἰπὼν τοὺς παρεστῶτας ὄχλους ἐδήλωσεν. M. 25

ἀγορήν τε] γρ. ἄγυρίν τε. P.

32. ἀμφὶ δ' ἑταῖροι] ἔννοιαν τῆς ἀρχῆς καὶ τοῦ οἴκου τὴν εὐδαιμονίαν παρίστησι. Q.

4. ἐπέσπα correxi pro ἔπασπε. Sic ἐπέσπον interdum corruptum in ἐπέσπων.

6. γρ. ἴδωμεν] Est glossema.

10. ἴσκε—λέγων M. ἴσχε—λέγειν E.

10. Desunt ante vocem ἀλλά verba quædam docentia, urgente necessitate decere ψεύδεα λέγειν. BUTTM. Nihil deesse videtur.

12. Nimirum hoc semper agit hic scholiastes, ut veras scilicet res gestas sine numinum personis demonstret. BUTTM.

20. αἰδὼς δ' αὖ νέον ἄνδρα H.M. in textu, sed αἰδὼς δ' αὖ νέῳ (νέον M.) ἀνδρί in lemmate scholii.

γράφουσιν Cobetus. γὰρ M. δὲ H. Ῥιανόν Porsonus pro ἀριανόν.

23. συμπλεκτικός om. Q.

33. ἄλλα δ' ἔπειρον] περιέπειρον, ἐσούβλιζον, τοῖς ὀβελίσκοις ἐνήργουν, ὅ ἐστιν ἐπερόνησαν. M.

34. οἱ δ' ὡς οὖν ξείνους] ὡς καὶ ἐν Ἰλιάδι (α, 534.) "ἐξ ἑδέων σφοῦ πατρὸς ἐναντίον." μετὰ τὸ ἴδον ἡ ὑποστιγμὴ παράσημος· οὐδέποτε γὰρ τὸ ἔπος εἰς δύο διαιρεῖται τῇ στιγμῇ, ὅ ἐστιν εἰς τὸν ιβ' χρόνον. H.M.

οἱ δ' ὡς] ἀόπλους γὰρ ἰδόντες οὐκ ἐνόμισαν ἐχθροὺς εἶναι. E.

ἀθρόοι] τὸ ἀθρόοι Ἀρίσταρχος ὡς ἀχρόοι τῇ προσῳδίᾳ ἀναγινώσκει. H.M.

35. ἑδριάασθαι] τὸ δεύτερον συνέσταλται α ἐν τῷ ἑδριάασθαι. H.

36. πρῶτος] παρέπεται γὰρ τοῖς ἀγαθοῖς τῶν νέων προλαμβάνειν τοὺς λοιποὺς ταῖς ἀγαθοεργίαις καὶ προπετεύεσθαι τὴν φιλοτιμίαν. M.Q. πρῶτος δ' ὁ Πεισίστρατος διὰ τὸ ἰδεῖν τὸν Τηλέμαχον ἰσήλικα αὐτῷ ὄντα. εἴωθε γὰρ ἡ νεότης ἐπὶ νεότητι χαίρειν. M.

διὰ τί πρῶτος ὁ Πεισίστρατος; παροιμία ἐστὶν ἡ λέγουσα, ἥλιξ ἥλικα τέρπει. E.

37. ἀμφοτέρων ἕλε χεῖρα] εἶχε μὲν εἰπεῖν δυϊκῶς χεῖρε, ἀλλὰ διὰ τὸ καινότερον οὕτως εἶπε, καὶ νοητέον ὡς ἰδίᾳ τὴν ἑκατέρου ἔλαβε χεῖρα ἑκατέραις ταῖς ἑαυτοῦ χερσὶν ὡς ἔν τινι τύπῳ χοροῦ, ἢ μίαν καὶ μίαν ἐξ ἑκατέρων τὰς δεξιὰς, τῇ ἑαυτοῦ δεξιᾷ δηλαδή. λαιᾷ γὰρ οὐκ ἦν ἅπτεσθαι, ὡς προγέγραπται. M.

38. κώεσιν] ἀπὸ τοῦ κῶος μεταπλασμός ἐστι τοῦ κώασι. H.M.

39. πάρ τε κασιγνήτῳ Θρασυμήδεϊ] καθηκόντως ὁ πρεσβύτερος τῶν παίδων πλησίον τοῦ Νέστορος καθῆστο. οὗτός ἐστιν ὁ καὶ στρατείας αὐτῷ τῆς ἐπὶ Ἴλιον κοινωνήσας. M.Q.

41. χρυσέῳ ἐν δέπαϊ] χωρὶς τοῦ ἐν αἱ Ἀριστάρχου καὶ σχεδὸν ἅπασαι, χρυσείῳ δέπαϊ. H.M.

δειδισκόμενος] δέχω τὸ δεξιοῦμαι, καὶ πλεονασμῷ τοῦ σ καὶ

1. ἄλλα δ' M., non ἄλλα τ'.
ἐσούβλιζον] Verbum Græcobarbarum, de quo vid. Ducang.
8. ἀθρόοι] Aristarchum ἄθρόοι cum spiritu aspero scripsisse annotatum in schol. ad Il. ξ, 38.
16. ἥλικα correxi pro ἥλικι.
17. ἀμφοτέρων] τὸ δ' ἀμφοτέρων M. in quo hoc scholion legitur infra ad v. 45. post verbum εὔξεαι.
18. ἰδίᾳ] ἢ ἰδίᾳ Eust. p. 1456, 17.
22. In B. ἀπὸ τοῦ κῶας. μετέπλασται δὲ τὸ κῶος ἀπὸ τοῦ κῶας, ὃ σημαίνει τὸ δέρμα. Conf. Eustath. p. 1456, 22.
κώασι] κῶας H. é
26. χρυσέῳ ἐν] χρυσείῳ ἐν M.
αἱ Ἀριστάρχου] ὡς ἀρίσταρχος M.
27. χρυσείῳ] χρυσέῳ H.M.

τροπῇ τοῦ ε εἰς ι, δίσκω, καὶ κατὰ ἀναδιπλασιασμὸν δεδίσκω καὶ δειδίσκω. B.E.

43. εὔχεο νῦν, ὦ ξεῖνε] πῶς ὁ μὲν Τηλέμαχός φησιν, "αἰδὼς δ' αὖ νέον ἄνδρα γεραίτερον ἐξερέεσθαι," ὁ δὲ οὕτως ἀόκνως διαλέγεται τῇ Ἀθηνᾷ; ὑποφαίνει οὖν ὁ ποιητὴς ὅτι "ἔχει γε μέντοι καὶ τὸ θρεφθῆναι καλῶς δίδαξιν ἐσθλοῦ." ἦν δὲ καὶ τοῦτο γενναίου τρόπου, ἀντιλαμβάνεσθαι τῶν ἰδίων ἐλαττωμάτων. H.M.Q.R.T.

44. τοῦ γὰρ καὶ δαίτης ἠντήσατε] ἐπετύχετε, τοῦ Ποσειδῶνος. αὐτῷ γὰρ θύσαντες εὐωχοῦνται. P.

45. ὑποστικτέον κατὰ τὸ ᾗ θέμις ἐστί. δύναται δὲ καὶ τοῖς ἑξῆς συνάπτεσθαι τὸ ᾗ θέμις ἐστίν, ὑποστιζόντων ἐπὶ τοῦ εὔξεαι. H.M.

46. δασυντέον τὸ μελιηδέος. H.

48. θεῶν χατέουσ' ἄνθρωποι] τὸ γὰρ βρότειον γένος τῶν θεῶν χρῄζει μάλα. M.

49. ὁμηλικίην δ' ἐμοὶ αὐτῷ] ὅτι ὁ Τηλέμαχος δαιμονίως καὶ τὸν νέον ἐθεράπευσε τῇ τῆς ἡλικίας ὁμοιότητι, ἐπιδεικνὺς ὡς οὐδ' αὐτὸς ἐσκυθρώπασεν ἐπὶ τῇ πρεσβυτέρου προτιμήσει. M.Q.

50. τοὔνεκά σοι] ἐχρῆν ὀρθοτονεῖν τὴν σοί. Ζηνόδοτος δὲ, τοὔνεκά τοι, γράφει, νοῶν ὅτι ἐπὶ τῆς διαστολῆς παραλαμβάνεται ἡ τοι. H.M.Q.

ἄλεισον] τὸ πλατὺ, ὅθεν ἐστὶν ἅλις πιεῖν. ἄλεισον δὲ ἀπὸ τοῦ λεῖον. B. λέγεται τὸ ποτήριον τὸ ἐξεσμένον καὶ λεῖον, κατ' ἐπίτασιν τοῦ α, τὸ δὲ σ κατὰ προσθήκην. E. ἔκπωμα ἐκτετορνευμένον, οἱονεὶ λεῖον ὑπάρχον· ἢ πλατὺ, ὅθεν ἐστὶν ἅλις πιεῖν. H.M.Q.V.

52. χαῖρε δ' Ἀθηναίη] διὰ τὴν διάκρισιν τοῦ διδόντος· οὐ γὰρ τὸ θεῖον δέεταί τινος. M.Q.

4. διαλέγεται] λέγεται Q.
5. γε addidi ex M. Sunt Euripidis verba Hec. 601.
7. ἰδίων] οἰκείων Q.
10. κατὰ τὸ ᾗ θέμις ἐστί] κατὰ τὸ τέλος H.
11. ᾗ] ἡ H.
ὑποστιζόντων] ὑποστίζων H.
ἐπὶ H. ὑπὸ M.
13. τὸ γὰρ—μάλα] Est versus tragici, in quo delendum γένος.
15. ὅτι ὁ addidi ex M.
17. τῇ—προτιμήσει M. τῆς τοῦ—προτιμήσεως Q.
18. ἐχρῆν ὀρθοτονεῖν—] Conf. schol. Il. α, 294.
19. ἡ τοι M. ὁ τοι H.Q.
23. ἔκπωμα] ἤτοι ἔκπωμα Q.V.
24. οἱονεὶ λεῖον M. οἷον εὐάλειον H. οἷον εὐάλεισον Q. οἷον εὐάλιον V. "Orion in Etym. Ἄλεισον, τὸ ποτήριον, ἐκ τοῦ ἅλις καὶ ἀθρόον πιεῖν. οὕτως ἐν ὑπομνήματι εὗρον Ὀδυσσείας." BUTT.
ὑπάρχον] ὑπάρχει Q.V.
25. διάκρισιν] κρίσιν Q.

55. κλῦθι] διὰ τὸ γινώσκειν τὸν Ποσειδῶνα κωλύειν τὸν Ὀδυσσέα, τούτου χάριν λέγει. M.

57. Νέστορι μὲν πρώτιστα] οὐδενὸς γὰρ ἄλλου ἐδεῖτο ἢ χρυσῶν ἢ κτημάτων ἢ πλούτου ἤ τινος ἄλλου ὁμοίου ἀλλ' ἢ δόξης, καίτοι βασιλεὺς ὤν. ἡ γὰρ δόξα περὶ τιμῶντι καὶ οὐ περὶ τῷ τιμωμένῳ κεῖται. M. Ἄλλως. Πλοῦτος γὰρ σύμμετρος ἦν τῷ Νέστορι, χρόνου μῆκος, εὐπαιδία, μεγάλων πράξεων ἐπιτυχία, φρόνησις, ἀκμὴ λόγου. ὡς οὖν ἠθληκότι ἤδη κατὰ τὸν βίον, τὴν ἐπὶ τούτοις ἀγαθὴν δόξαν εὔχεται. M.Q.

59. σύμπασιν] σύνθετον τὸ σύμπασι· διὸ προπαροξύνεται. H.

63. δέπας ἀμφικύπελλον] τὸ ἀμφοτέρωθεν κυπτόμενον. B.

65. ὑπέρτερα] ὑπέρθετα καὶ μείζονα· ἢ νωτιαῖα· ταῦτα γὰρ ὑπερέχει. ὡς πρὸς τὰ ἐμπρόσθια δὲ ἡ σύγκρισις. ἢ τὰ ὑπεράνω τοῦ πυρός. B.H.Q. τὰ ὑπέρθετα καὶ μείζονα ἔξωθεν τῶν ἔνδον. ἔστιν οὖν νωτιαῖα, ταῦτα γὰρ ὑπερέχει τῶν λοιπῶν κρεῶν. V. ἐπεὶ ἐξείλκυσαν τὰ ὀπτηθέντα ὑπεράνω τοῦ πυρός. E.

68. Γερήνιος ἱππότα Νέστωρ] κατὰ μὲν Ἡσίοδον ὁ ἐν Γερήνοις ἀνατραφείς. κρεῖσσον δὲ ἀποδιδόναι ὁ ἔντιμος κατὰ τὸ γέρας. M. Q.V.

ἱππότα] Εὐδαίμων ὁ Πηλουσιώτης εἶναι λέγει Μακεδονικόν, οἱ δὲ Αἰολικόν. P.

69. νῦν δὴ κάλλιον] ὅτι ἐννέα ἡμέρας ἐφιλοξένουν καὶ οὕτως ἠρώτων. αὐτῶν δὲ ἐν τῇ οἰκείᾳ μὴ πορευθέντων λέγει τὸ νῦν κάλλιόν ἐστι. M. τοῖς φίλοις ὁ γέρων ταῦτά φησιν εἰς φιλοξενίαν ἐκφερόμενος, ἵνα γνωρίμους καὶ τοῖς ἄλλοις καταστήσῃ τοὺς ξένους. M.Q.

μεταλλῆσαι] ἐρευνῆσαι. Q.

71. ὦ ξεῖνοι τίνες ἐστέ] τοὺς μετ' αὐτὸν τρεῖς στίχους ὁ μὲν Ἀριστοφάνης ἐνθάδε σημειοῦται τοῖς ἀστερίσκοις, ὅτε δὲ ὑπὸ τοῦ

4. ἤ τινος] ἤ τε τινος M.
6. Ἄλλως om. Q.
7. ἐπιτυχία] εὐτυχία Eustath. p. 1457, 4.
10. τὸ σύμπασι] τὸ πᾶσι H.
13. ὡς πρὸς τὰ] ὑπέρτερα ὡς πρὸς τὰ H. ἐπὶ τὰ B.Q.
δὲ ἡ Buttm. διὰ ῃ B.Q. διὰ ὃς ἡ H. Conf. schol. ad v. 470.
ἢ τὰ] καὶ τὰ B.Q. Correxi ex H. qui verba ἢ τὰ ὑπεράνω τοῦ πυρός supra post ὑπερέχει habet.
17. Ἡσίοδον] Vid. Ruhnk. Ep. Cr. p. 112. schol. Ven. ad Il. β, 336. BUTTM. κατὰ μὲν Ἡσίοδον om. Q.
Γερήνοις] γερήνῃ Q.
18. γέρας Q. γῆρας M.V.
20. Hæc ex Eustathio transcripta videntur p. 1457, 19., unde εἶναι λέγει post Πηλουσιώτης supplevi.
23. οἰκείᾳ] οἰκίᾳ M.

Κύκλωπος λέγονται, καὶ ὀβελίσκους τοῖς ἀστερίσκοις παρατίθησιν, ὡς ἐντεῦθεν μετενηνεγμένων τῶν στίχων. πόθεν γὰρ τῷ Κύκλωπι λῃστῶν ἔννοια ἢ στωμυλλομένῳ φάναι, "οἵ τ' ἀλόωνται ψυχὰς παρθέμενοι κακὸν ἀλλοδαποῖσι φέροντες;" ὁ δὲ Ἀρίσταρχος οἰκειότερον αὐτοὺς τετάχθαι ἐν τῷ λόγῳ τοῦ Κύκλωπός φησιν· οὐδὲ γὰρ νῦν οἱ περὶ Τηλέμαχον λῃστρικόν τι ἐμφαίνουσι. δοτέον δὲ, φησὶ, τῷ ποιητῇ τὰ τοιαῦτα. καὶ γὰρ ναῦν αὐτὸν παράγει εἰδότα, "ἀλλά μοι εἴφ' ὅπη ἔσχες ἰὼν εὐεργέα νῆα" (ι, 279.), καὶ συνίησιν Ἑλληνίδα φωνήν. καθάπτεται δὲ καὶ Θουκυδίδου Ἀρίσταρχος λέγοντος ὡς οὐκ αἰσχρὸν ἡγοῦντο τὸ λῃΐζεσθαι οἱ παλαιοὶ, ἐν οἷς φησιν "οὔς μοι λῃΐσσατο δῖος Ὀδυσσεύς" (α. 398.). ὁμωνυμίᾳ γὰρ ἠπάτηται, πολλάκις τῆς λῃΐδος ἐπὶ τῆς λαφυραγωγίας τασσομένης· παρὸ καὶ τὴν Ἀθηνᾶν λῃΐτιδα προσαγορεύει (Ιl. κ, 460.). ὅτι γὰρ αἰσχρὸν ἡγοῦντο τὸ λῃστεύειν δῆλον ἐξ ὧν οὐδέποτε ἐπὶ Ἀχιλλέως οὐδὲ ἐπὶ Αἴαντος, καίτοι γε ἰσχυρῶν ὄντων, ἐχρήσατο τῷ ὀνόματι ὁ ποιητής. ἄλλως τε κἀκ τῶν συμφραζομένων δηλοῖ τὴν τοῦ πράγματος μοχθηρίαν. ἀντιτάσσεται γὰρ τῷ "ἤ τι κατὰ πρῆξιν" τὸ "ἢ μαψιδίως." H.M.Q.R. ἰστέον ὡς οὐκ ἄδοξον ἦν τὸ λῃστεύειν παρὰ τοῖς παλαιοῖς, ἀλλ' ἔνδοξον· εἰ γὰρ ἄδοξον ἦν, οὐκ ἂν εἰς μέσον αὐτοῖς τοῦτο προήγαγε φίλοις οὖσι. M.

72. ἤ τι κατὰ πρῆξιν] ὁ πρῶτος ἢ σύνδεσμος ὀξύνεται, ὁ δὲ

1. λέγονται] Infra ι, 253—255.

παρατίθησιν] ἐπτίθησιν M.

3. ἢ M. ἢ Q.R. De H. non constat.

στωμυλλομένῳ] στωμυλομένῳ H.R.

4. ὁ δὲ Ἀρίσταρχος] Aristarchi judicium memorat grammaticus in Excerptis quæ codici Marciano A. Iliadis præfixa sunt, ubi de obelis Aristarchi agitur, ἔστι δὲ καὶ ἕτερος τρόπος τῆς ἀθετήσεως, ὅταν τοῖς αὐτοῖς στίχοις πολλάκις χρῆται, ὁτὲ μὲν οἰκείοις περιτιθεὶς προσώποις τὰ λεγόμενα, ὁτὲ δὲ οὔ, ὡς ἔχει τὰ τοῦ Κύκλωπος τοῦ ἀνημερωτάτου ῥήματα ὑπὸ τοῦ συνετωτάτου Νέστορος λεγόμενα πρὸς Τηλέμαχον· "ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πλεῖθ' ὑγρὰ κέλευθα; ἦ τι κατὰ πρῆξιν, ἢ μαψιδίως ἀλάλησθε, οἷά τε λῃϊστῆρες ὑπεὶρ ἅλα, τοί τ' ἀλόωνται ψυχὰς παρθέμενοι." ταῦτα γὰρ ἥρμοζεν ὑπὸ τοῦ Κύκλωπος Ὀδυσσεῖ εἰρῆσθαι, οὐχ ὑπὸ Νέστορος Τηλεμάχῳ.

7. ναῦν Cobetus pro νῦν.

9. Θουκυδίδου (1, 5.) Ἀρίσταρχος] Sic M., nisi quod θουκυδίδους. In Q. R. θουκυδίδης ἀριστάρχου. Aristarchi reprehensionem memorat Eustath. p. 1458, 2. Thucydidem defendens.

10. οὔς M. ἅς R. ὅς H.Q.

11. λῃΐσσατο] λῃΐσατο H.M.R.

14. οὐδὲ ἐπὶ M. ἢ ἐπὶ ceteri.

16. κἀκ τῶν H.R. καὶ ἐκ τῶν M. καὐτῶν Q.

δεύτερος περισπᾶται. M. ὁ πρῶτος ἢ ὀξύνεται διὰ τὸ τι, ὁ δὲ δεύτερος περισπᾶται. ἐρωτηματικὸς γάρ. P.

κατὰ πρῆξιν] ἢ κατ' ἐμπορίαν ἐπὶ τῷ ἰδίῳ κέρδει, ἢ ματαίως τῇδε κἀκεῖσε πλανᾶσθε μὴ ἔχοντες σκοπὸν ὑποστρέψαι εἰς τὰ ἴδια ὅθεν ἐξήλθετε. E. 5

ἢ μαψιδίως ἀλάλησθε] ματαίως, οὐκ ἔχοντες σκοπὸν εἰς τήνδε τὴν πόλιν καὶ εἰς τήνδε ἀπελθεῖν, ἀλλ' ἁπλῶς φερόμενοι. P.Q.

73. οἷά τε λῃϊστῆρες] ἀπρεπὲς τὸ τὸν φρόνιμον Νέστορα ὑπονοεῖν λῃστείαν. λύεται δὲ τῷ ἔθει. φαίνεται γὰρ οὐκ αἰσχρὸν τοῖς ἀρχαίοις ὂν τὸ λῃστεύειν, καὶ Θουκυδίδης εἴρηκεν. H.Q.T. 10

λῃϊστὴρ καὶ κατὰ θάλαττάν ἐστι καὶ κατὰ γῆν· πειρατὴς δὲ μόνος ὁ κατὰ θάλασσαν λῃστής, ἀπὸ τοῦ περῶ. E.

74. ψυχὰς παρθέμενοι] ἀφειδήσαντες, εἰς κίνδυνον παραβαλόντες τὰς ἑαυτῶν ψυχάς. M.

79. μέγα κῦδος] ἄξια τῆς διαδεδομένης φήμης τοῦ Νέστορος εἰς 15 ἅπασαν Ἑλλάδα τὰ τῆς εἰσβολῆς πρὸς τὴν φράσιν. M.P.

80. καταλέξω] τὸ καταλέξω οὐκ ἔστιν ἁπλῶς ἀντὶ τοῦ εἴπω, ἀλλ' εἰς τέλος τοῦ λόγου ἀφίξομαι. E.

εἴρεαι] εὐλαβῶς λίαν, ὡς αὐτὸς μὴ προκατάρξας λόγων, ἀλλὰ πρὸς πεῦσιν ἀποκρινόμενος. P.Q. 20

81. Ἰθάκης ὑπονηΐου] τῆς ὑπὸ τὸ Νήϊον ὄρος κειμένης, ὡς "Θήβῃ ὑποπλακίῃ" (Il. ζ, 379.), τῇ ὑπὸ τὸ Πλάκιον ὄρος κειμένῃ. B.M. P.Q. ὑπὸ τὸ Νήϊον κειμένης. Νήϊον δὲ ὄνομα ὄρους πρὸς ὑποδοχὴν νεῶν εὔθετον. E. Νῆον, ὄνομα ὄρους. P. τῆς πλεῖσθαι δυναμένης καὶ μὴ πεζῇ βαδίζεσθαι. M. 25

ὑπονηΐου] ὤφειλε γὰρ εἰπεῖν ἢ ἀπὸ Νηΐου, ἢ ὑπὸ Νήϊον, τὸ δέ ἐστι τῆς μεγαλονοίας τοῦ ποιητοῦ. θέλων γὰρ παραδηλῶσαι ὅτι ἀπὸ τοῦ Νηΐου ὄρους εἰσὶ, καὶ ὑπ' αὐτὸ κεῖνται, τὴν ὑπό συνέταξε μετὰ γενικῆς, ἵνα καὶ ἀμφότερα νοοῦνται, ἀπὸ μὲν τῆς ὑπό προθέσεως τὸ Νήϊον, ἀπὸ δὲ τῆς γενικῆς ἡ ἀπό. B. 30

1. διὰ τὸ τι Buttm. διὰ τοῦ εἰ (vel α) P.
8. ὑπονοεῖν H. προσδοκεῖν Q.T.
9. λῃστείαν] λῃστείας H.
φαίνεται] φαίνεσθαι Buttm.
10. Θουκυδίδης] Vid. schol. adv. 71.
13. 14. ἀφειδήσαντες, τὰς ἑαυτῶν (adde ψυχὰς) παραβαλόντες H.
13. παραβαλόντες] παραβάλλοντες M.
15. διαδεδομένης] δεδομένης M. διαδομένης P.
22. τὸ addidi ex M.

82. οὐ δήμιος] Ἀριστοφάνης, ἐκδήμιος, ἀντὶ τοῦ ἔξω τοῦ δήμου. H.M.

ἀγορεύω] ὁ ἐνεστὼς ἀντὶ τοῦ μέλλοντος ἀγορεύσω. M.

83. ἤν που ἀκούσω] ἔρχομαι, φησίν, ἤν πως φήμην ἀκούσω περὶ τοῦ ἐμοῦ πατρός. B.M.Q. 5

85. σὺν σοὶ μαρνάμενον] τοῦτό φησι θεραπεύων τὸν γέροντα λίαν. ὑπασπιστὴν γὰρ αὐτοῦ τὸν πατέρα ὑποδείκνυσιν, ὡς εἴ τις Μηριόνην Ἰδομενέως λέγοι ὑπασπιστήν. B M.Q.

87. πευθόμεθ'] καὶ ταῦτα δηλοῖ τὴν σπουδὴν τὴν περὶ τὸν πατέρα. τὸ δὲ τὰ περὶ τῶν ἄλλων ἀκούσαντα ἀγνοεῖν τὰ περὶ τοῦ 10 πατρὸς ἄγαν περιπαθές. B.M.Q. οἴδαμεν· οὐ γάρ ἐστιν ἀντὶ τοῦ ἐρωτῶμεν. Ἀρίσταρχος δὲ τὸ ἦχι ἄνευ τοῦ ι φησὶ, καθάπερ καὶ τὸ ἦφι βίηφι. H.M.

90. εἴθ' ὄγε] προαγωγὰ ταῦτα τοῦ μὴ ψεύσασθαι τὸν Νέστορα. M.Q. 15

91. κύμασιν Ἀμφιτρίτης] τῆς θαλάσσης. λέγεται δὲ οὕτω καὶ ἡ Ποσειδῶνος γυνή. H.M. Ἄλλως. Ἐν Νάξῳ τὴν Ἀμφιτρίτην χορεύουσαν ἰδὼν Ποσειδῶν ἥρπασεν· ὅθεν ὑπὸ τῶν ἐγχωρίων Ποσειδωνία ὠνομάσθη ἡ θεὸς, ὡς καὶ ἡ Ἥρα Διώνη παρὰ Δωδωναίοις, ὡς Ἀπολλόδωρος. H.M.Q. 20

Ἀμφιτρίτης] Ἀμφιτρίτη λέγεται ἡ θάλασσα ὅτι τρίτη ἐστὶν ἀμφοτέρωθεν, ἐκ τοῦ ἄνω μέρους καὶ ἐκ τοῦ κάτω· ἐκ τοῦ ἄνω μὲν ὡς πρωτεύοντος τοῦ αἰθέρος, δευτέρου δὲ τοῦ ἀέρος, τρίτης αὐτῆς· ἐκ τοῦ κάτω δὲ, ὡς τῆς ἀβύσσου καὶ τοῦ ταρτάρου προκειμένων, τρίτης οὔσης αὐτῆς. E. 25

1. ἀντὶ τοῦ M. ὁ H.
τοῦ δήμου] τοῦ om. H.
4. ἤν πως] εἴπως B.Q.
7. ὑποδείκνυσιν] δείκνυσιν B.Q.
9. τὴν σπουδὴν τὴν] σὺν σπουδῇ τὰ B.Q.
10. τὸ δὲ τὰ] τὰ om. M.
11. περιπαθές] πέπονθες (literis ες compendio expressis) M.
12. τὸ ἦφι] τὸ om. M.
17. Ἄλλως om. H.Q.
ἐν Νάξῳ] ἐνάξω H. ἐν ἰάξω Q.
18. Ποσειδωνία] Ποσειδώνη Lobeck. Pathol. Proleg. p. 32. Nomen mulieris Ποσειδωνίη apud Hippocr. Epidem. 6, 7, 2. comparat Meinek. in Relationibus Acad. Boruss. a. 1852. p. 573.
19. ὠνομάσθη] ὀνομάζεται M.
Διώνη Buttm., qui de hoc nomine dixit in Excursu ad Demosth. orat. Midianam. διόνη M. διαίνη H.Q.
20. Ἀπολλόδωρος] ἐν α' περὶ θεῶν ap. Steph. Byz. in fragmento de Dodona. BUTTM.

92. γούναθ' ἱκάνομαι] ἢ ἅπτομαι τῶν σῶν γονάτων μετὰ ἱκετείας. E.

96. μειλίσσεο] ἢ χαρίζου, μειλιχίους λέγε λόγους. E. μείλιχα καὶ προσηνῆ λέγε, ἢ χαρίζου, καταπράϋνε τὸν θρῆνον. P. ταῦτα πρὸς τὸ μέγεθος προβάλλεται τῆς οἰκείας χρείας. μεγάλως γὰρ αὐτῷ διέφερε μαθεῖν περὶ τοῦ πατρός. Q.

97. κατάλεξον] οὐκ ἔστιν ἁπλῶς εἰπέ, ἀλλ' εἰς τέλος τοῦ λόγου ἐλθὲ καὶ πάντα εἰπέ. ταῦτα γάρ ἐστι τὸ "ἀτὰρ οὐ τέλος ἵκεο μύθων" (Il. ι, 56.). τὸ διελθεῖν οὖν τὸν λόγον ὃν ἤρξατο λέγειν ἢ μέλλει εἰπεῖν δηλοῖ τὸ κατάλεξον, μέχρι οὗ δεῖ ἀπολῆξαι. Q.

ὀπωπῆς] γράφεται, ἀκοῆς. B. καὶ θέας. ἐξ ἀκοῆς ὁ Τηλέμαχος πολλὰ ᾔδει. E. ὅπως μετέλαβες τῆς περὶ αὐτὸν θέας, παρὰ τὴν ὄπα. Q. ὀπωπῆς, θέας, παρὰ τοὺς ὤπας· ἢ φωνῆς παρὰ τὴν ὄπα. M.V. πῶς μετέλαβες τῆς περὶ αὐτὸν θέας. γρ. δὲ τῆς ἀκοῆς παρὰ τὴν ὄπα. H.M. ὅπως ἤντησας ὀπωπῆς, ἤγουν πῶς εἴτε ἐπὶ καλῷ οὔσης ἢ ἐπὶ κακῷ ἔτυχες τῆς περὶ ἐκείνου ἀκοῆς εἴτε τῆς θέας, ἤγουν ὅθεν ἐνέτυχες αὐτοῦ θεωρίας. M.

100. πήματ'] γρ. ἄλγεα. M.

101. ἐνίσπες] ἐπίσχες, εἰπέ. H.

103. γεροντικῶς ὁ Νέστωρ μακροτέραν ποιεῖται τὴν ἀπόκρισιν· ἄλλως τε ὁ ποιητὴς εὐκαίρως προσαναπληροῖ τὰ λελειμμένα τῇ Ἰλιακῇ ὑποθέσει. H.M.

ὦ φίλ', ἐπεί] οὐκ ἀποδίδωσι τὸ ἐπεί. καὶ ἐπὶ τοῦ Μενελάου

15. γρ.] Fortasse $\overset{\gamma}{\eta}$ (i. e. ἤγουν) pro γρ. Nimirum est altera interpretatio, quasi ὀπωπή idem sonaret quod ἀκοή. PORS. Sane additamentum παρὰ τὴν ὄπα tale quid indicare videtur: et cf. schol. Vulg. Sed cum e codice B. quoque Majus diserte protulerit γράφεται, ἀκοῆς; veram etiam varietatem, neque spernendam illam, fuisse puto ἀκουῆς. Vid. β, 308. BUTTM. δὲ post γρ. addidi ex M. Recte autem judicavit Porsonus glossema hic, ut alibi non raro, pro diversa scriptura acceptum esse.

19. ἐνίσπες] Pro ἔνισπε in textu Harl. manus antiqua ἔνισπες et hic et aliis locis. Hic scholion suprascriptum: ἐπίσχες εἰπέ. Nempe hoc voluit: ut ab obsoleto aoristo ἔσχην imperativus σχές formatur, cujus compositum est ἐπίσχες, sic ab ἔσπην provenire σπές et ἐνίσπες. PORS. In Vulg. (ed. ant.) est corruptum scholium ΗΝΙΠΕΣ. εἶπες. BUTTM.

23. τὸ ἐπεί. καὶ ἐπὶ τοῦ] τὸ ἐπεὶ καὶ ἐξ ἐπὶ τοῦ H. τὸ ἐπεὶ καὶ ἓξ, ἐπὶ καὶ ἓξ ἐπὶ τοῦ M. illatis, sed depravatis verbis ἐπὶ ε' καὶ ἓξ ἔτη ex scholio ad v. 115. Non recte autem ἐπὶ τοῦ Μενελάου dictum est. Nam verba allata δ, 204. (ubi vid. schol.)

"ὦ φίλ', ἐπεὶ τόσα εἶπες" (Od. δ, 204.). Ὁμηρικὸν δέ ἐστι τὸ ἔθος. H.M.

ἐπεί] τὸ ἐπεί ἐνταῦθα βεβαιωτικὸν καὶ ἀργόν. οὐ γὰρ ἀποδίδοται Ὁμηρείῳ ἔθει. B.

ἴσως κενοδοξῶν ὁ Νέστωρ ἑαυτὸν τοῖς πολεμοῦσι συναριθμεῖ; πλὴν κοινοποιεῖται τὰ πάθη τῶν φίλων. E.

104. μένος ἄσχετοι] τὴν δύναμιν ἀκατάσχετοι. P.

106. πλαζόμενοι] οὐκ ἂν γὰρ τοσοῦτον ὑπέμειναν τοὺς πόνους. ἀπὸ κοινοῦ δὲ τὸ "ἀνέτλημεν" καὶ τὸ "ἐπεί μ' ἔμνησας." σαφῶς δὲ

non de Menelao dicuntur, sed ipsius sunt Menelai ad Pisistratum verba: ut dicendum potius fuerit καὶ Μενέλαος ἐπὶ τοῦ Πεισιστράτου.

2. ἔθος] ἦθος M.

9. ἀπὸ κοινοῦ] Usus formulæ ἀπὸ κοινοῦ non hic tantum, sed alibi etiam difficultatem aliquam affert, cujus causa aliquot horum scholiorum locos componere visum est. Atque hoc quidem satis constat, usurpari hanc formulam, ubi vox aliqua vel phrasis uni sermonis parti addita, docetur communis esse alii. Sic ad δ, 247. Ἄλλῳ δ' αὐτὸν φωτὶ κατακρύπτων ἤϊσκεν, scholiastes: Ἀπὸ κοινοῦ τὸ αὐτόν: statimque disertius monet jungendum esse non solum κατακρύπτων ἑαυτόν sed etiam ἤϊσκεν ἑαυτόν. Ibid. 555. ad responsionem Υἱὸς Λαέρτεω κ. τ. ε. verbo suo carentem monetur: Ἀπὸ κοινοῦ τὸ, κατερύκεται εὐρέϊ πόντῳ, h. e. hæc verba ex antecedente interrogatione esse repetenda. Et sic facile quivis intelliget scholia ad ε, 236. θ, 246, λ, 26. μ, 178. Quibusdam autem locis obscuritas inde nascitur quod scholium ejusmodi perverse additum est ei versui in quo ipsa communis vox legitur, non ubi desideratur: quod ubi evenit circumspicienda est alia sermonis pars cui ex repetitione tali lux affulgeat. Exemplum habes ad ν, 149. ut in nota ibi docui: quod facere debebam etiam ad θ, 563. Ibi enim verba Τὸ γὰρ, ἔπι δέος, ἀπὸ κοινοῦ excerpta sunt e scholio aliquo pleniori spectante ad 564. in quo versu post hæc, ἀλλὰ τόδ', illa, ἔπι δέος, iterum cogitanda sunt. Eodemque modo sero animadverti dispiciendum esse scholium ad η, 2. ubi quod versui Κούρην δὲ προτὶ ἄστυ φέρεν μένος ἡμιόνοιιν ascriptum est, Ἀπὸ κοινοῦ τὸ, μένος ἡμιόνοιιν, sensu destitutum est, perspicuum futurum si ascribas verbo Στῆσεν in versu 4. Diversa est difficultas scholii ad ζ, 187. ubi ad imperfectam Nausicaæ orationem, Ξεῖν', ἐπεὶ οὔτε κακῷ οὔτ' ἄφρονι φωτὶ ἔοικας, notatur: Ἀπὸ κοινοῦ τὸ, τλῆθι, τοῦ γὰρ Ζεύς. Quæ verba etiam mutilatione laborant; re ipsa tamen satis patet, scholiasten docere intelligendum esse: τλῆθι, τούτων γὰρ Ζεὺς αἴτιος. Atqui hæc ita concepta nusquam in proximis leguntur: nisi forte dicas formulam ἀπὸ κοινοῦ spectare ad ejusdem sensus verba alio nexu paulo inferius subjecta sic, καί πού σοι τάγ' ἔδωκε (Ζεὺς), σὲ δὲ χρὴ τετλάμεν ἔμπης. Sed ρ, 354. ubi ad Ulyssis exclamationem, Ζεῦ ἄνα, Τηλέμαχόν μοι ἐν ἀνδράσιν ὄλβιον εἶναι, scholiastes adnotat, ἀπὸ κοινοῦ, ποίησον, quæ vox neque ipsa neque ejus simile quidquam in proximis comparet; manifestum est, ἀπὸ κοινοῦ eodem sensu usurpari, quo alias ἔξωθεν; quem tamen abusum potius esse censeo. Jam igitur redeamus ad locum unde deversi sumus, ad γ, 104.,

τῶν Ἑλλήνων πολέμαρχον παρίστησι τὸν Ἀχιλλέα. M.Q. ἰστέον ὅτι εἰς δύο διεμοιράσθη πᾶν τὸ Ἑλληνικὸν στράτευμα. καὶ τοῦ μὲν ἑνὸς μέρους ἦρχεν Ἀγαμέμνων τὴν Τροίαν παρακαθήμενος, τοῦ δὲ ἑτέρου Ἀχιλλεὺς, τοῦ ναυτικοῦ δηλονότι, ἐν ᾧ μέρει καὶ Ὀδυσσεὺς καὶ Νέστωρ ἠρίθμηντο. οὗτοι γοῦν ναυμαχοῦντες οἱ περὶ τὸν Ἀχιλλέα τὰς παρακειμένας πόλεις ἐπόρθουν, ἠπειρώτιδάς τε καὶ θαλασσίας. M.

108. κατέκταθεν ὅσσοι ἄριστοι] ὑπέρβατον· τίς κεν ἐκεῖνα πάντα γε μυθήσαιτο ἀπὸ τῶν θνητῶν ἀνθρώπων; εἶτα τὰ ἄλλα διὰ μέσου, ἔνθα μὲν Αἴας, καὶ τὰ ἑξῆς. B.

109. ἔνθα μὲν Αἴας κεῖται] πρόδηλον ἐντεῦθεν ὅτι ὅπου ἐτελεύτησαν, ἐκεῖ ἐθάπτοντο, καὶ οὐκ ὀστέα παισὶν ἕκαστος ἤγετο (Il. η, 334.). E.M.Q

Αἴας κεῖται πελώριος] ὁ μέγας πρὸς τὸν Λοκρόν. E.

110. Πάτροκλος θεόφιν μήστωρ ἀτάλαντος] δικαίως ἐπέτεινε τὸν ἔπαινον τοῦ Πατρόκλου ὅτι πείσας αὐτὸν εἰς τὸν πόλεμον ἐξήγαγεν. E.Q.

111. ἔνθα δ' ἐμὸς φίλος υἱὸς ἅμα κρατερὸς καὶ ἀμύμων] περιπαθῶς λίαν. οὐ μόνον γὰρ ὡς υἱὸν, ἀλλὰ καὶ ὡς ἄριστον ἐπιποθεῖ. E.Q.

ἀταρβής] γράφεται καὶ ἀμύμων. E.P.

113. ἄλλα τε πολλά] καὶ ταῦτα εἰς παραμυθίαν τοῦ νεανίσκου. πιθανὸς γάρ ἐστιν ὁ σύμβουλος ὅταν καὶ ἑαυτὸν ἐπιδεικνύῃ τὰ ὅμοια δυστυχήματα γενναίως φέροντα. E.M.Q.

γρ. ἀλλά γε πόλλ'. H.

τίς κεν ἐκεῖνα] ἀποδίδοται τὸ "ἐπεί μ' ἔμνησας" (103.) καὶ τὸ

ubi bonum factum quod de evanida scriptura monui: codicem ipsum enim ante oculos nunc non jam habeo. Sed cum fieri plane non possit ut duo ista, ἐπεί μ' ἔμνησας, et ἀνέτλημεν, simul dicantur esse ἀπὸ κοινοῦ; non jam dubium quin pro καί scriptum fuerit κατά, atque hæc sit scholiastæ paulo argutior observatio: Ἀπὸ κοινοῦ τὸ, ἐπεί μ' ἔμνησας, κατὰ τὸ, ἀνέτλημεν h. e. verbum ἔμνησας spectare non solum ad nomen ὀϊζύος, sed etiam ad verbum ἀνέτλημεν, ita: ἔμνησάς με τῆς ὀϊζύος, et ἔμνησας ὡς ἀνέτλημεν αὐτήν. BUTTM.

P. 129. l. 9. ἀπὸ—ἔμνησας habet M., om. Q.

ἀνέτλημεν καὶ τὸ] ἀνέτλη μετὰ τὸ M. Correxi ex P. in quo literis partim evanidis scriptum ἀπὸ κοινοῦ τὸ ἐπειδή μ' ἔμνησας καὶ τὸ ἀνέτλημεν.

1. παρίστησι] συνίστησι M.

21. ἀταρβής ex glossemate illatum.

22. εἰς] τὰ εἰς E.Q.

" ὅσα" (105.). P. τινὲ, οὕτως τὸ ὑπέρβατον, ὦ φίλ', ἐπεί μ' ἔμνησας ὀϊζύος, τίς κεν ἐκεῖνα πάντα γε μυθήσαιτο; E.M.Q.

115. οὐδ' εἰ πεντάετές γε] τινὲς οὕτως· οὐδὲ εἰ ἐπὶ πέντε καὶ ἓξ ἔτη παραμένων ἐρωτῴης ὑπὲρ τῶν συμβεβηκότων τοῖς Ἀχαιοῖς ἀνιαθείης ἂν καὶ ἀπέλθοις εἰς τὴν πατρίδα, ἀλλὰ παραμένοις ἂν δηλονότι ψυχαγωγούμενος ὑπὸ τῆς ποικιλίας τῶν διηγημάτων. ἐμοὶ δὲ οὐ δοκεῖ τοιαύτη εἶναι ἡ ἀπόδοσις, ἀλλ' οὕτως ἔχει ὁ λόγος· τίς ἂν ἐκεῖνα πάντα διηγήσαιτο; οὐδ' εἰ ἐπὶ πέντε ἔτη καὶ ἓξ ἔτη παραμένων ἐξερέοις ὅσα κεῖθι πάθομεν, δύναιτό τις πάντα μυθήσασθαι. εἶτα ἀπὸ ἄλλης ἀρχῆς "πρίν κεν ἀνιαθεὶς σὴν πατρίδα γαῖαν ἵκοιο," καταλιπὼν τὴν διήγησιν διὰ τὸ μῆκος. H.M.Q.

117. πρίν κεν ἀνιηθεὶς] πρὶν ἀκούσαις. ὁμοία δὲ ἡ φράσις ἐκείνῃ "πρίν μιν καὶ γῆρας ἔπεισι" (Il. α, 29.). M.

121. ἤθελε] ἀντὶ τοῦ ἠδύνατο· "οὐδ' ἔθελε προρρέειν" (Il. φ, 366.). B.Q. ἐδυνήθη· ὡς τὸ "οὐ θέλει τὰ δένδρα διδάσκειν με." E.

124. ἤτοι γὰρ μῦθοί γε] πρεσβύτεροι, φησὶ, τῆς ἡλικίας οἱ λόγοι, καὶ πάνυ τὸ εἰκὸς ἐν αὐτοῖς σώζεται. E.

125. ἄνδρα νεώτερον] τὸ συγκριτικὸν ἀντὶ ἁπλοῦ. E.

ὧδε] ἀεὶ παρὰ τῷ Ὁμήρῳ τὸ ὧδε ἀντὶ τοῦ κατὰ τοῦτον τὸν τρόπον. B.

126. εἴως μὲν] τὸ ἀναφορικὸν ἀντὶ τοῦ ἀνταποδοτικοῦ τοῦ τέως. M.P.Q.

127. δίχ' ἐβάζομεν] ἀντὶ τοῦ, οὐκ ἐδιχονοοῦμεν, οὐκ ἐν τῷ δημηγορεῖν, οὐκ ἐν τῷ βουλεύεσθαι, ἀλλ' ἕνα θυμὸν, καὶ τὰ ἑξῆς. B.E.

128. ἀλλ' ἕνα θυμὸν ἔχοντε] λελῃθότως παιδεύει ὁ ποιητὴς ὅτι ἡ ὁμόνοια τῶν ἀρίστων καὶ πόλεις ὅλας χειροῦσθαι πέφυκεν, ἐκ δὲ διχονοίας καὶ ὅλος ὁ στρατὸς διαφθείρεται. ἐκ μὲν γὰρ ὁμονοίας καὶ συμφωνίας Ὀδυσσέως καὶ Νέστορος πάντα τοῖς Ἀχαιοῖς ἀγαθὰ γενέσθαι, ἐκ δὲ διχονοίας τῶν ἡγεμόνων ἀπολέσθαι περὶ τοὺς νόστους

2. γε om. E.Q.
3. εἰ om. Q.
4. ἐρωτῴης] ἐρωτοίης H.M. καὶ ἐρωτῶν Q.
5. ἀπέλθοις] ἀπέλθῃς Q.
7. εἶναι ἡ ἀπόδοσις] εἶναι ἀνταπόδοσις Q.
8. οὐδ' εἰ—τὸ μῆκος] Hæc sunt etiam in E.
ἐπὶ om. E.Q.
9. ἐξερέοις M. ἐξερέεις H.E.Q.
δύναιτο H.M. δυνήσαιτο E.Q.
15. οὐ θέλει—] Plato Phædr. p. 230 d. Conf. Greg. Cor. de dial. Attica § 67. BUTTM.
21. τοῦ om. P.Q.
23. ἐδιχονοοῦμεν] ἐδιχογνωμονοῦμεν E.
27. ὅλος ὁ στρατὸς δ.] ὅλον δ. Q.
29. τοὺς νόστους] τοῦ νόστου Q.

φησὶ τὸ Ἑλληνικόν. H.M.Q.T. ὅρα δὲ πάλιν ἐπικαίρως τὰ λείποντα τῇ ὑποθέσει. H.M.

νόῳ καὶ ἐπίφρονι βουλῇ] διαφέρει νοῦς καὶ βουλή. ὁ μὲν γὰρ νοῦς γεννητικός ἐστιν, ἡ δὲ βουλὴ τελεστική. E.

129. ὄχ' ἄριστα γένηται] λείπει τὸ, πάντα εἶχε καλῶς τοῖς Ἕλλησιν. E.

134. τῷ σφεων πολέες] ἐγκλιτικὴ μὲν ἡ σφεων. ὅμως τὸ τῷ πάλιν περισπασθήσεται. M. διὰ τοῦτο ἐξ ἑαυτῶν πολλοὶ, ἤτοι δι' οἰκείας γνώμης, καὶ ἐκ τῆς μήνιδος τῆς Ἀθηνᾶς ἐπεσπάσαντο θάνατον. B.

135. μήνιος ἐξ ὀλοῆς] ἐπεὶ Αἴαντα τὸν Λοκρὸν οὐκ ἐκόλασαν βιασάμενον ἐν τῷ ἱερῷ αὐτῆς τὴν Κασάνδραν. H.E.V. νῦν μὲν κοινῶς εἰς ἅπαντας τὴν μῆνιν, ἑξῆς δὲ σαφέστερον τὴν αἰτίαν τῆς ὀργῆς δηλοῖ ἐπὶ τοῦ Αἴαντος. Q.

γλαυκώπιδος ὀβριμοπάτρης] διὰ τὸ ἀνδρικὸν τῆς φρονήσεως. τὰ γὰρ ἀνδρικώτατα τῶν ζῴων γλαυκά. E.

137. ἐς πάντας Ἀχαιοὺς] βούλονται τῆς ἐς προθέσεως ῥωννύναι τὸν τόνον τινὲς, ἵνα δυνάμει ἀναστροφὴ γένηται κατὰ τὸ "ὄρνιθες ὥς." E.H.

138. οὐ κατὰ κόσμον] οὐ κατὰ καιρὸν ἐνδεχόμενον. E.

ἐς ἠέλιον καταδύντα] δύναντος τοῦ ἡλίου μῦθον μυθείσθην. B.

139. οἱ δ' ἦλθον] οὗτος ὁ στίχος διὰ μέσου. B.

οἱ δ' ἦλθον οἴνῳ βεβαρηκότες] οὕτω τὸ ἑξῆς· τὼ δὲ καλεσσαμένω ἀγορὴν ἐς πάντας Ἀχαιοὺς μῦθον μυθείσθην τοῦ εἵνεκα λαὸν ἄγειραν μάψ, ἀτὰρ οὐ κατὰ κόσμον ἐς ἠέλιον καταδύντα. οἱ γὰρ ἦλθον οἴνῳ βεβαρηκότες. Ἄλλως. τὼ δὲ καλεσσαμένω ἀγορὴν ἐς ἠέλιον καταδύντα μάψ, ἀτὰρ οὐ κατὰ κόσμον· (οἱ γὰρ ἦλθον οἴνῳ βεβαρηκότες) μῦθον μυθείσθην. Q.

βεβαρηότες] βαρῶ, βαρήσω, βεβάρηκα, βεβάρηα. E.

146. ὃ οὐ] τὸ ὅ ἀντὶ τοῦ ὅτι. ἔστι δὲ ἀποκοπή. Q.

147. οὐ γὰρ αἶψα θεῶν τρέπεται νόος] ἐναντίον τοῦτο τῷ ἐν Ἰλιάδι "στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί" (ι, 497.). λύοιτο δ' ἂν ἐκ τοῦ

1. πάλιν] Respicit schol. ad ea quæ dixit ad v. 103. In E.Q. infra ad v. 132. scholion adscriptum περὶ τοῦ νόστου φησὶ τοῦ Ἑλληνικοῦ. ὅρα δὲ—ὑποθέσει.

10. ἐκόλασαν] ἐκάλεσαν H.

17. ἀναστροφὴ (νῦν addit H.)] Nimirum ἀγορὴν ἔς. BUTTM. Dixit de hac anastrophe Lehrs. Quæst. Epic. p. 98.

23. μῦθον—κόσμον om. M.

προσώπου· τὰ μὲν γὰρ λέγει ὁ Νέστωρ, τὰ δὲ Φοῖνιξ· ὥστε οὐ ταὐτὰ ἐδοκίμαζον. λύεται δὲ καὶ ἐκ τοῦ καιροῦ· τὸ γὰρ προθυμούμενον, τὸ στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί, τῷ καιρῷ ἥρμοσται. λύεται δὲ καὶ ἐκ τῆς λέξεως· πρόσκειται γὰρ τὸ αἶψα· στρέφονται μὲν γὰρ, οὐκ αἶψα δέ. B.E.Q. 5

149. ἕστασαν] δασύνεται· οὐ γὰρ ἀντὶ τοῦ ἑστήκεισαν ἐκεῖ. M.

151. νύκτα μὲν ἀέσαμεν] διετελέσαμεν, διηλλάξαμεν. H. Καὶ ἄλλως Πορφυρίου. τὸ ἀέσαμεν, οὐκ, ἐκοιμήθημεν, ἀλλ' ἐπνεύσαμεν, ἀπὸ τοῦ ἄειν, ὅ ἐστι πνεῖν. λέγει δὲ καὶ ἀνάπνευσιν τὴν μικρὰν τῶν κακῶν παραμυθίαν, "ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο" (Il. λ, 801.), 10 ἀπὸ τῶν ἐκ πολέμου ἐπ' ὀλίγον ἀναπνεόντων· καὶ "ἀσπασίως φεύγοντες ἀνέπνεον Ἕκτορα δῖον" (Il. λ, 327.)· "ἀλλὰ σὺ μὲν νῦν στῆθι καὶ ἄμπνυε" (Il. χ, 222.)· "αὖτις δ' ἀμπνύνθη" (Il. ε, 697.). ἀφ' οὗ καὶ τὸν εὑρίσκοντα πόρους εἰς ἀνάπνευσιν τῶν κακῶν, ὅπερ ἐστὶν ὁ φρόνιμος, πεπνυμένον φησίν. τὸ δὲ "χαλεπὰ φρεσὶν ὁρμαί- 15 νοντες ἀλλήλοις" ἀντὶ τοῦ ἀγρυπνοῦντες καὶ χαλεπὰ μεριμνῶντες εἰς ἀλλήλους. E.H.M.Q. τινὲς δὲ τὸ ἀέσαμεν ἀντὶ τοῦ ἀνεπαυσάμεθα, ἐκοιμήθημεν, ἢ διενυκτερεύσαμεν, ἐμείναμεν. M. Ἄλλως. ἀνεπνεύσαμεν τῆς στάσεως, ἀπὸ τοῦ ἄω. εἰ γὰρ, ἐκοιμήθημεν, πῶς ὁρμαίνοντες; ἐν δὲ ταῖς χαριεστέραις γέγραπται εἰάσαμεν, ὅπερ 20 ἐστὶν ἄπρακτον ἀφήκαμεν, ἠῶθεν δὲ οἱ μὲν νέας. ἀνοίκειον γὰρ τὸ κοιμᾶσθαι αὐτοὺς ἐν τοσούτῳ κινδύνῳ, εἴ τις τὸ ἀέσαμεν ἀντὶ τοῦ ἐκοιμήθημεν ἐκδέξαιτο. E.H.M.Q.R.

153. εἰς ἅλα δῖαν] γρ. ἀμφιελίσσας. H.

154. βαθυζώνους τε γυναῖκας] τοῖς γὰρ ὑποδύταις αἱ βάρβαροι 25 γυναῖκες μέχρι βάθους ἐπισύρουσαι χρῶνται. E.M.P.

156. αὖθι] ἀπὸ τοῦ αὐτόθι κατὰ συγκοπήν. B.

158. ἐστόρεσεν] ἔστρωσεν, γαλήνην ἐποίησεν, ἐγαληνοποίησε τὸν πόντον τὸν μεγάλα κήτεα ἔχοντα. Gl. H.

2. Addidi καί.
6. Addidi ἀντί.
7. καὶ ἄλλως addidi ex H. Πορφυρίου ex H. et m. sec. M.
8. τὸ om. H., τὸ ἀέσαμεν om. M. ἐπνεύσαμεν M. ἀνεπνεύσαμεν ceteri.
9. ἐστι πνεῖν H. ἐστιν ἀναπνεῖν ceteri.
11. πολέμου M. πολέμων ceteri. φεύγοντες M. φυγόντες ceteri.
12. ἀνέπνεον post δῖον E.H.Q. νῦν addidi ex H.
13. αὖτις M. αὖθις ceteri.
14. ὅπερ] ὥσπερ (i. e. ὅσπερ) M. ὅ R.
20. γέγραπται om. H.M. ἀέσαμεν Buttm. pro εἰάσαμεν.
26. ἐπισύρουσαι] Litera α duobus punctis notata in M., quo indicatur ἐπισύρουσι. Conf. Eustath. p. 1462, 3.

161. σχέτλιος] ἀπὸ τοῦ σχῶ τὸ κρατῶ· ὁ κατέχων ἐπιπολὺ τοῦ θυμοῦ καὶ σχετλιάζειν ἡμᾶς ποιῶν. E.

164. ἦρα φέροντες] ἐπιθυμητά· ἀπὸ τοῦ ἀρῶ τὸ ἁρμόζω, ἦρα, ἐπίηρα, ἐπέραστα. P.Q.

165. ἀολλέσιν] ἐκ τοῦ ἁ τὸ ὁμοῦ, καὶ τοῦ εἰλῶ τὸ συστρέφω. ἢ ταχείαις, ἀπὸ τῆς ἀέλλης. E.

168. μετὰ νῶϊ] πρὸς ἡμᾶς, μεθ' ἡμᾶς, ἐφ' ἡμῖν Διομήδης καὶ Νέστωρ. εἴρηται δὲ ἐπὶ δυϊκῶν. M.

169. ἐν Λέσβῳ] ἐν τῇ Λέσβῳ δὲ κατέλαβεν ἡμᾶς μόλις ὁ ξανθὸς Μενέλαος, διαλογιζομένους ἡμᾶς ἢ ἵνα πλεύσωμεν ὑπεράνωθεν τῆς Χίου ἐπὶ τῆς νήσου τῆς Ψυρίης, ἔχοντες αὐτὴν τὴν νῆσον ἐπὶ τὰ ἀριστερά· ἢ ὑποκάτωθεν τῆς Χίου παρὰ τὸν Μίμαντα. ἔστι δὲ τὸ μὲν ὄνομα ὄρους οὕτω πως καλουμένου. Μίμας ὄρος ἐρυθρὸν κατέναντι Χίου, ἀπὸ Μίμαντος ἑνὸς τῶν γιγάντων ὀνομασθέν. B.

Λέσβος νῆσος Τροίας ἔχουσα πόλεις πέντε, Πύρραν, Ἔρεσσον, Μιτυλήνην, Μήθυμναν, Ἄντισσαν. E.Q V.

170. ἢ καθύπερθε Χίοιο] ὑπεράνω, ἀντὶ τοῦ εἰς τὰ δεξιά. ὑπερέχειν γὰρ λέγομεν τὴν δεξιὰν τῆς ἀριστερᾶς. E.M.Q.

171. νήσου ἐπὶ Ψυρίης] ἀντὶ τοῦ παρὰ νῆσον Ψυρίαν, ὡς "Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν" (Od. λ, 314.). H.Q.R. νησίδιον μικρὸν πρὸ τῆς Χίου ἐστὶ τὰ Ψύρα, ἀπέχον Χίου σταδίους ὀγδοήκοντα, ἔχον λιμένα νεῶν εἴκοσι. Ἀλκμὰν "πάρ θ' ἱερὸν σκόπελον παρά

13. ἐρυθρὸν] Facile tentari possis ad mutandam hanc vocem. Atque ἐρυμνὸν quidem dixeris talem montem: et εὔθηρον hunc appellat Strabo cujus verba Eustathius etiam huic loco apposuit. Verum reputans Erythras urbem sub hoc ipso monte sitam fuisse, et frequentissime a tali colore telluris et rupium oppida apud nostrates etiam nomen traxisse, ab omni mutatione destiti: præsertim cum bis præterea in scholiis sqq. idem epitheton compareat, quod male in altero (ad 172.) Barnesius mutabat in Ἐρυθρῶν. BUTTM. Strabonis verba sunt 14. p. 645. μεταξὺ τῶν Ἐρυθρῶν καὶ τοῦ Ὑποκρήμνου Μίμας ἐστὶν ὄρος ὑψηλὸν, εὔθηρον, πολύδενδρον.

17. ἢ καθύπερθε—εἰς M. τὸ δὲ καθύπερθε χίοιο ἀντὶ τοῦ ὑπεράνω, ἤτοι εἰς τὰ E.Q. in quibus hoc scholion legitur post annotationem de Mimante, quam vide ad v. 172.

19. Ὄσσαν—Οὐλύμπῳ Cramerus pro οὖσαν—ὀλύμπῳ.

20. μέμασαν om. Q.R.

νησίδιον — οἷον ἐν] νησίδιον μικρὸν ἔχον λιμένα νηῶν εἴκοσι. Ἀλκμὰν παρά τε—διόνυσσον ἄγοντες, ἤτοι ἐν Q.

21. Ψύρα] ψυρὰ R. et sic idem cum H.M.Q. in verbis Alcmanis. Et sic rursus ad ο, 403.

ὀγδοήκοντα] πεντήκοντα in scholio proximo et ap. Strabonem.

22. πάρ θ' Buttmannus. παρά τε codices et Eustathius. Alcmanis fragmentum finitur verbis παρά τε Ψύρα, post quæ hæc fere olim lecta

τε Ψύρα τὸν Διόνυσον ἄγοντες." οἷον ἐν μηδενὶ αὐτὸν τιθέμενοι διὰ τὸ λυπρὸν τῆς νήσου. H.M.Q.R.

Ψυρία νησίδιόν ἐστιν ἀπέχον τε σταδίους ν' τῆς Χίου, ὃ καὶ αἰγιαλὸν ἔχει, ἐν ᾧ ἐστι λιμὴν ἐκδεχόμενος ἀπὸ τοῦ Αἰγαίου πελάγους ταρασσομένας τὰς ναῦς. μέμνηται Δημοσθένης. κεῖται δὲ ἡ Χίος νῆσος μέση τῶν Ψυρίων καὶ τοῦ Μίμαντος. H.Q.V. Vind. 56.

αὐτὴν ἐπ' ἀριστέρ' ἔχοντες] τὴν Χίον ἐπ' ἀριστερά. ἀντὶ τοῦ περὶ νῆσον Ψυρίαν. M.

172. ἢ καθύπερθε] ὁ ἢ σύνδεσμος δύο τόνω ἐπιδέχεται, ἢ περισπωμένην ἢ βαρεῖαν, ὅπερ κάλλιον. E. ὑπένερθεν] ὑποκάτωθεν. V.

παρ' ἠνεμόεντα Μίμαντα] ἀνέμοις καταπνεόμενον, ἢ κατήνεμον, ὑψηλόν. H. Μίμας δὲ ὄρος ὑψηλὸν καὶ ἐρυθρὸν Ἰωνίας ἀντικρὺ Χίου τῆς νήσου, ἀπὸ Μίμαντος ἑνὸς τῶν γιγάντων ὀνομασθέν. E.H.Q.V.

174. πέλαγος μέσον εἰς Εὔβοιαν] τὴν τούτων μέσην ὁδόν. μέσον τὸ μέσον Ψύρων καὶ τῆς Χίου. Εὔβοιαν νῆσον ἐγγὺς Ἀθηνῶν. M.

177. ἐς δὲ Γεραιστόν] ὄνομα λιμένος. Q.

178. ἐννύχιαι] αἱ Ῥιανοῦ γράφουσιν ἐννύχιοι. H. ἐννύχιοι] γρ. ἐννύχιαι. P.

Ποσειδάωνι ταύρων] τὸ μὲν ὡς ἐγχωρίῳ θεῷ· ἐτιμᾶτο γὰρ ὁ Ποσειδῶν ἐν Γεραιστῷ· τὸ δὲ ὡς θαλαττίῳ διὰ τὸν πλοῦν. E.Q.

fuerint necesse est, ὅθεν καὶ παροιμία παρὰ Κρατίνῳ "Ψύρα τὸν Διόνυσον ἄγοντες." Hoc patet ex Photii glossa p. 656, 9. Ψύρα τὸν Διόνυσον ἄγοντες: ἡ παροιμία παρὰ Κρατίνῳ· τὰ δὲ Ψύρα νησίδιον ἔρημον πλησίον Χίου· λέλεκται δὲ ἐπὶ τῶν εὐτέλειαν σημαινόντων. et Steph. Byz. Στράβων ἐν τῷ ιδ' (p. 645.) τὰ Ψύρα φησὶν οὐδετέρως "τὰ Ψύρα νῆσος ἀπὸ πεντήκοντα σταδίων τῆς ἄκρας."—λαμβάνεται δὲ τὸ ὄνομα ἐπὶ εὐτελείᾳ διὰ τὸ εὐτελεστάτην εἶναι τὴν νῆσον. Κρατῖνος. "Ψύρα (libri alii ut supra ψυρά vel ψυρᾶ) τὸν Διόνυσον ἄγοντες." καὶ ἐν Νεμέσει "Ψύρα τε τὴν Σπάρτην ἄγεις." Ceterum verba Alcmanis et Cratini jam in exemplaribus scholiorum quibus Eustathius usus est (quem v. p. 1462, 46.) confusa fuerunt, veteris culpa librarii qui a priore Ψύρα ad alterum aberravit.

1. οἷον H.R. οἱ M. ἤτοι Q.

3. Ψυρία—ἐν ᾧ] ἄλλως. νησίδιον ἐστὶν ἐν ᾧ H.Q.

ἀπέχον τε] λυπρὸν ἀπέχον V.

ν'] π' V.

4. ἐστι] τυγχάνει H.Q.

Αἰγαίου] αἰγέου H.

5. Δημοσθένης] In oratione perdita. δὲ καὶ δημοσθένης Q., reliquis omissis.

6. Ψυρίων] ψυρῶν V.

12. δὲ ὄρος—Χίου] δὲ ὄρος ἐρυθρῶν ἰωνίας κατεναντίας (scr. κατέναντι ex p. 134, 13.) χίου H. ὄρος ἀντικρὺ Χίου V.: sed addito infra alio scholio, ὁ Μίμας ὄρος ἐρυθρὸν ἀντικρὺ Χίου.

14. τὴν τούτων—Ἀθηνῶν] τὸ μέσον ψυχρῶν (sic) καὶ τῆς Χίου B.

17. αἱ Ῥιανοῦ γράφουσιν Porsonus. ἀρειανοὶ γρ. H.

19. θεῷ om. E. γὰρ om. Q.

ὁ Ποσειδῶν om. E.

179. μῆρ'] μῆρα ὡς μῆλα. τὸ δὲ μετρήσαντες ἀντὶ τοῦ οὐριοδρομήσαντες. H.Q.

180. τέτρατον ἦμαρ] ἀφ' οὗ ἐκ Λέσβου ἀνήχθησαν ἀριθμουμένων τῶν ἡμερῶν. τέτρατον, ἀφ' οὗ καὶ τὸ τέτρασι. B.

μετάθεσις Ἰωνική. διαφέρει γὰρ μετάθεσις ὑπερθέσεως· ἡ μὲν γὰρ ἐν τῇ αὐτῇ συλλαβῇ γίνεται, ἡ δὲ ὑπέρθεσις ἐν ἑτέρᾳ, ὡς τὸ ὀθνεῖος. ἦν γὰρ νόθος νοθεῖος καὶ καθ' ὑπέρθεσιν ὀθνεῖος. καὶ πάλιν γόνυ γόνυος καὶ δόρυ δόρυος, καὶ καθ' ὑπέρθεσιν γουνός καὶ δουρός. E.Q.

184. ὡς ἦλθον, φίλε τέκνον] δαιμονίως ὁ ποιητής, ἐμβαλὼν εἰς ἐπιθυμίαν τῶν νόστων τὸν ἀκροατὴν ἀναρτᾷ πάλιν, ἵνα τὰ λοιπὰ δι' ἄλλου χωρίου δηλώσῃ. τὸ γὰρ ἑνὶ πάντων τῶν κατὰ τοὺς νόστους πραγμάτων ἐμπειρίαν περιθεῖναι οὐ πιθανόν· ἐν μέρει δὲ δηλουμένων τῶν συμβεβηκότων ἀξιόπιστον γίνεται τὸ πᾶν. οὐκ ἄλογος οὖν οὐδ' ἡ πρὸς Μενέλαον ἐκπομπή, ἀλλ' ἵνα τὰ περὶ Ἑλένην ἐνταῦθα διατυπώσῃ ὄντα ἐν ἡδονῇ τῷ ἀκροατῇ. E.H.M.Q.

φίλε τέκνον] ἀντὶ τοῦ φίλον τέκνον. B.

ἤτοι πρὸς τὸ σημαινόμενον ἀπήντησε· φίλος γὰρ τὸ τέκνον οὐδέτερον. ἢ πρὸς τὸ συνώνυμον, τὸ παῖς. V.

ἀπευθής] μὴ μαθών τι περὶ τοῦ σοῦ πατρὸς ἢ τῶν ἄλλων. B.

188. εὖ μὲν Μυρμιδόνας] Νεοπτόλεμος κατὰ κέλευσιν Θέτιδος ἐμπρήσας τὰ ἴδια σκάφη πεζὸς ἄνεισι. χρησθεὶς δὲ ὑπὸ Ἑλένου, ἔνθα ἂν ἴδοι οἶκον ἐκ σιδηρῶν θεμελίων, τοίχων δὲ ξυλίνων καὶ ὀρόφου ἐρεοῦ, ἐκεῖ μένειν, ἐλθὼν εἰς τὴν Παμβῶτιν λίμνην τῆς Ἠπείρου, καὶ τοὺς ἐγχωρίους εὑρὼν δόρατα πήξαντας καὶ χλαίνας ἄνωθεν καταπετάσαντας καὶ οὕτω σκηνοῦντας, συμβάλλει τὸν χρησμόν. καὶ πορ-

11. δηλώσῃ H.M.Q. et Eustath. p. 1463, 18. ἀνασώσῃ E.

13. οὖν] δὲ E.Q.

17. Corrigerem φίλος γὰρ τὸ τέκνον, καίπερ οὐδέτερον (conf. schol. ad α, 238.), nisi Barnes. ex Ms. Aloysii edidisset: — ἀπήντησε φίλος· τὸ γὰρ τέκνον οὐδέτερον: quod tamen meæ rationi ægre præpono. BUT.

18. πρὸς τὸ συνώνυμον] Eodem modo pronomen generis neutrius ad νεφέλη pro νέφος dictum referri opinatur schol. ad μ, 75.

21. Ἑλένου] De Heleni oraculo v. Lobeck. Aglaoph. p. 260. et Welcker. in libro de Cyclo epico vol. 2. p. 290.

22. σιδηρῶν M. σιδηρίων H. σιδηρείων E.Q. σιδήρου T. θεμελίους σιδηροῦς etiam Eustath. dixit p. 1463, 35.

ὀρόφου ἐρεοῦ] ὀρόφου σερεοῦ (σερίου Q.) E.Q. et fortasse H.R. ὀρόφους ἐξ ἐρέου M. In T. est τοῖχον δ' ἐκ ξυλίνων καὶ ὀρόφου ἐξερεοῦ. τοίχους ξυλίνους καὶ ὄροφον ἐρεοῦν dixit Eustath.

23. Παμβῶτιν Eustathius. παμβῶ (vel παμβὼ) τὴν H.M.Q. et fortasse R.T. παραβῶτιν E.

24. καταπετάσαντας καὶ οὕτω σκηνοῦντας] Legebatur κατασκηνοῦντας. Explevi defectum ex Eustathio.

βήσας τὴν Μολοσσίαν ἐξ Ἀνδρομάχης ἴσχει Μολοσσὸν, ἀφ' οὗ καὶ τὸ γένος ἐστὶ τῶν ἐν Μολοσσίᾳ βασιλέων, ὡς ἱστορεῖ Ἐρατοσθένης. E.H.M.Q.R.T.

οἱ νεώτεροι τὸν Νεοπτόλεμον εἰς τὴν Ἤπειρον ἐλθεῖν λέγουσι. V.

ἐγχεσιμώρους] τοὺς περὶ τὰ ἔγχη κακοπαθοῦντας. B. τοὺς μεμωραμένους, ὅ ἐστι κάμνοντας, τοῖς ἔγχεσι. E.

189. 190. Ἀχιλλῆος . . . υἱὸς] μετὰ θάνατον αὐτοῦ. εὐκαίρως ἐνεφάνισεν ὅτι ὁ Νεοπτόλεμος καὶ Φιλοκτήτης ἧκον σύμμαχοι. E.Q.

192. πόντος δέ οἱ οὔτιν' ἀπηύρα] οὐκ ἀπήλαυσεν ὁ πόντος τινός· ὥστε οὐ κατεπόντισέν τινα. V.

193. ἀκούετε νόσφιν] διὰ τὸ ἀξίωμα τοῦ παθόντος καὶ διὰ τὴν τόλμαν τῶν ἀδικησάντων. E.M.Q.

195. ἐπισμυγερῶς] περισσὴ ἡ ἐπί, ὡς ἐν τῷ "βοῶν ἐπιβούκολος." σμύχεσθαι δέ ἐστι τὸ ὑπὸ πυρὸς ἀναλίσκεσθαι. μετῆκται δὲ ἐπίρρημα ἀπὸ τῶν ἐπισμυχομένων· καὶ "ἐπισμύξαι πυρὶ νῆας" (Il. ι, 653.). δηλοῖ δὲ τὸ ἐπισμυγερῶς τὸ ἐπιπόνως, ἀξίως. B.E.H.Q.

σμυγερῶς] ἐπιπόνως· τὸ μέτρον μετήλειπται. Αἰολικῶς δέ ἐστιν ἐπιπόνως. V.

199. 200. καὶ σὺ . . . εὖ εἴπῃ] καὶ παρὰ Ἀριστοφάνει προηθε-

P. 136. l. 25. τὸν χρησμὸν] καὶ οἰκεῖ ἐκεῖ addit Eustathius.

1. τόλμαν M. Scribebatur τόλμην.

13. μετῆκται δὲ ἐπίρρημα (sic Cramerus correxit pro ἐπιχείρημα) ἀπὸ H. λέγεται δὲ ἀπὸ ceteri.

15. καὶ "ἐπισμύξαι] καὶ om. H. Apud Hom. legitur κατά τε σμῖξαι.

17. ἀξίως] Corruptum. οἰζυρῶς Buttm. parum probabiliter. Facillimum foret ἀναξίως. Per ἐπιπόνως, ὀδυνηρῶς, καυστικῶς exp. Eustathius.

18. σμυγερῶς] Ex hoc lemmate, et ex eo quod Eustathius quoque formam σμυγερῶς solam explicat, apparet fuisse qui ἐπί separarent; ut aut sit pro ἔπειτα aut jungatur ἐπαπέτισεν. Sed non ita facile disjungas præpositionem in altero exemplo infra δ, 672. (ubi vide tamen schol.); et extat adjectivum ἐπισμυγερή indubitatum ap. Hesiodum Sc. 624.—In ipso scholio Barnesius reposuit μετείληπται, quod notius sane verbum est, sed mihi quidem hic perinde obscurum. Neque tamen leniorem invenio medicinam ea quam Boeckhius porrigit, ut scribatur scilicet, διὰ τὸ μέτρον παρείληπται. Nimirum Σμυγερῶς, ἐπιπόνως est glossula quæ, ut sæpe in hac congerie factum (e. g. β, 350. 363.), coaluit cum justo scholio. Istud autem sic habuit: Σμυγερῶς] διὰ τὸ μέτρον παρείληπται. Αἰολικῶς δέ ἐστιν ἐπιπόνως. hoc dicit: pro verbo μογερῶς ob metrum admisisse poetam Æolicam ejus formam σμυγερῶς. BUTTM.

20. καὶ addidi ex M. Eo significatur non solum ab Aristarcho, sed etiam, qui ei præiverat, Aristophane hos versus ejectos esse.

τοῦντο οὗτοι οἱ δύο στίχοι. ἐκ γὰρ τοῦ λόγου τῆς Ἀθηνᾶς (α, 301.) μετήχθησαν ἐνθάδε. H.M.Q.

ἄλκιμος ἔσσ'] ἐν συντόμοις ἡ προτροπή. μάλιστα γὰρ τῶν εὐφυῶν ἅπτεται ἡ ἐπὶ ταῖς καλαῖς πράξεσιν ἐσομένη δόξα. M.Q.

203. καὶ λίην κεῖνος μὲν] οὕτως ἥψατο ὁ λόγος τοῦ Τηλεμάχου, ὡς τὰ περὶ τὸν πατέρα ἀφεὶς μακαρίζειν Ὀρέστην. E.Q.

206. ὑπερβασίης ἀλεγεινῆς] ὕβρεως, ὑπερηφανίας, ἀδικίας. αὕτη γὰρ ὑπέρβασίς ἐστι τῆς δικαιοσύνης μεσότητος οὔσης. E.

209. πατρί τ' ἐμῷ] περιττός· ἀρκεῖ γὰρ ὁ πρὸ αὐτοῦ. H.

πατρί] προσληπτέον τὸ δυνηθῆναι βοηθῆσαι. E.

τετλάμεν] τλῆναι καὶ προσθήκῃ τῆς μεν τλήμεναι, τροπῇ δὲ τοῦ η εἰς α καὶ ἀποκοπῇ τῆς αι διφθόγγου τλάμεν καὶ πλεονασμῷ τοῦ τε τετλάμεν. E.

213. μητιάασθαι] γρ. μηχανάασθαι. M.

214. ὁ μὲν πρῶτος ἤ ὀξύνεται, ὁ δὲ δεύτερος περισπᾶται. H.

ἐχθαίρουσ'] τοῦτο ἐξηγητέον ἐκεῖθεν. ἔφη γάρ που "δεινὸν δὲ γένος βασιλήϊον κτείνειν" (π, 401.), καὶ ἐπάγει, "ἀλλὰ πρῶτα θεῶν εἰρώμεθα βουλάς," εἰ χρὴ αὐτὸν ἀναιρεῖν· τὸ οὖν ἐχθαίρουσ' ἀνὰ δῆμον, μισοῦσί σε, βουλεύονται ἀνελεῖν ἔκ τινος θεοπροπίας. τὸ δὲ ἑκὼν οὕτω νοητέον, ἑκουσίως ἀνέχει μὴ βουλόμενος ἐπεξελθεῖν τὴν ὕβριν. E.Q.

215. ἀνὰ δῆμον] οἱ κατὰ τὸν δῆμον ὄχλοι, τουτέστιν αὐτὸς ὁ δῆμος μισεῖ σε ἔκ τινος θεοπροπίου. B.

ἐπισπόμενοι θεοῦ ὀμφῇ] πολλάκις γὰρ μεθίσταασαν τοὺς βασιλεῖς μαντείαις ἐπισπόμενοι. ἱστορεῖ Ἔφορος ἐν τῇ ιϛ' περὶ τοὺς θεούς. τούτῳ συνῳδόν ἐστι τὸ "δεινὸν δὲ γένος βασιλήϊόν ἐστι κτείνειν· ἀλλὰ πρῶτα θεῶν εἰρώμεθα βουλάς." E.H.M.

216. σφι βίας ἀποτίσεται ἐλθών] ἀπορεῖ ὁ Ζηνόδοτος πότερόν ἐστιν ὁ λόγος, βίας αὐτοῖς, ἀντὶ τοῦ τὰς βίας αὐτῶν, ἢ, ἐλθών σφιν,

1. οὗτοι οἱ om. Q.
2. μετηνέχθησαν Cobetus.
3. εὐφυῶν] εὐχῶν Q.
5. οὕτως Buttm. pro οὗτος.
6. ὡς—μακαρίζειν] ὃς—μακαρίζει τὰ περὶ τὸν Q.
17. πρῶτα θ. εἰρώμεθα βουλάς] πρῶτον εἰσόμεθα βουλὰς θεῶν E.
19. ἑκὼν Buttm. pro ἀέκητι.
23. πολλάκις — ἐπισπόμενοι] Hæc verba habet etiam B. qui μεθίστασι. πολλάκις — βουλάς H. M. (nisi quod in H. κλεοφόρος) ἐν τῇ ἑξακαιδεκάτῃ ἱστορεῖ κλεοφόρος περὶ τ. θ. πολλάκις μ. τοὺς βασιλεῖς μαντεῖα E. μαντεῖα etiam H.
24. ἐν τῇ] ἐν M. ἐν τῷ H. περὶ τοὺς θεοὺς a m .sec. habet M.
26. πρῶτα] πρῶτον M.
27. πότερον Cobetus pro πῶς.
28. ἐστιν ὁ] ἐστὶ καὶ ὁ Q.

ὅ ἐστιν ἐλθὼν αὐτοῖς, ὥσπερ λέγομεν ἀνίσταμαί σοι ἀντὶ τοῦ ἀνίσταμαι κατὰ σοῦ. Q.T.

Ζηνόδοτος γράφει, ἀποτίσεαι, καὶ τὸ ἑξῆς, ἢ σύγε μοῦνος. H.

217. ἢ ὅγε μοῦνος ἐὼν] ὁ μὲν ὡς ἀδύνατος μόνος κολάσαι τοὺς ἐχθροὺς ἀπωλοφύρετο "εἰ γὰρ ἐμοὶ τοσήνδε θεοὶ δύναμιν παραθεῖεν" (205.), ὁ δὲ ἠρέμα ἐνδείκνυται αὐτῷ ὅτι ἐν τοῖς τοιούτοις οὐκ ὄχλου δεῖ, ἀλλὰ δύναιτο ἂν καὶ μόνος τιμωρήσασθαι τοὺς μνηστῆρας. E. M.Q. καὶ αὐτὸς Ζηνόδοτος, σύ γε. E.Q.

219. περικήδετο] ὑφ' ἓν τὸ περικήδετο ἀντὶ τοῦ ὑπερεκήδετο. οὕτως Ἀρίσταρχος καὶ Ἡρωδιανός. H.M.

224. τῷ] τούτου ἕνεκεν. M.

226. ὦ γέρον] τὸ, ὦ γέρον, μέσως λαμβάνεται, καὶ ἐπὶ ὕβρεως καὶ ἐπὶ τιμῆς, τὸ δὲ, ὦ γέροντες, τὸ πληθυντικὸν ἐπὶ μόνης τιμῆς. B.

οὔπω τοῦτο ἔπος] οὐ τὸ φιληθήσεσθαι ὑπὸ Ἀθηνᾶς, ἀλλὰ πρὸς ἐκεῖνο ἀπήντησεν "τίς δ' οἶδ' εἴ κέ ποτέ σφι βίας ἀποτίσεται ἐλθὼν, ἢ ὅγε μοῦνος." M.Q. τὸ τοὺς μνηστῆρας ἀναιρεθῆναι ὑπὸ Ὀδυσσέως. M.P.Q.

228. οὐδ' εἰ θεοὶ ὣς ἐθέλοιεν] ὑπερβολικῶς τοῦτο εἴρηκεν ἐν ἤθει· ὅπερ οὐ συνεὶς ὁ Ζηνόδοτος γράφει, εἰ μὴ θεοὶ ὣς ἐθέλοιεν. H.M. Q.R. τοῦτο οἰκονομίαν λέγουσιν εἶναι τοῦ ποιητοῦ. ἐπεὶ γὰρ μετὰ Νέστορος διαλεγόμενον εἰσάγει τὸν Τηλέμαχον, ἄνδρα δὲ μήπω στερεόφρονα ὄντα, οἰκείους καὶ τοὺς λόγους αὐτῷ ἀνατίθησιν. M.

230. Τηλέμαχε] οὗτος ὁ στίχος, λαγαρός ἐστι· διὸ Ζηνόδοτος ἴσως μετέγραφε, "Τηλέμαχ' ὑψαγόρη μέγα νήπιε, ποῖον ἔειπες;" τὸν δὲ δεύτερον περιῄρει τελέως διὰ τὸ μαχόμενον αὐτῷ "εἰ μὴ θεοὶ ὣς ἐθέλοιεν." (228.) H.M.

231. οὐ χρή σε ἐπὶ τῇ βραδύτητι δυσχεραίνειν. οὐδὲ γὰρ Ἀγα-

1. σοι M. σου Q.T.
5. παραθεῖεν M. περιθεῖεν E.Q.
6. τοῖς om. E.Q.
8. σύ γε] Huic scripturæ convenit scholion præcedens.
10. Ἡρωδιανός] ἡρόδοτος H.
11. τούτου ἕνεκεν] Hoc gl. huc retuli. In M. est lemma ὦ γέρον: τούτου ἕνεκεν. τὸ τοὺς—ὑπὸ ὀδυσσέως (ex scholio ad 226.).
16. τὸ τοὺς] τούτους Q. ὑπὸ Ὀδυσσέως om. Q.
19. συνεὶς] συνιεὶς Q.R.
21. δὲ fortasse delendum.
23. οὗτος—μετέγραφε M. λαγαρός ἐστιν ὁ στίχος δὲ ἴσως με γέγραφε H.
24. ἴσως] ἴσ̄ M. οὕτως Cobetus.
25. περιῄρει] περιείρη (η a corr. in ει mutato) M. περιείρει H.
27. οὐ χρή—συνήνεγκεν ad v. 234. habet E.Q.

μέμνονι τὸ ταχέως νοστῆσαι συνήνεγκεν. ὁ λόγος δὲ καὶ ὁ νοῦς οὕτως, ἄνδρα ᾧ εἵμαρται τὸ ζῆν δύναται ὁ θεὸς σῶσαι κινδυνεύοντα· ᾧ δὲ εἵμαρται τὸ ἀποθανεῖν οὐδὲ οἱ θεοὶ δύνανται παρὰ μοῖραν βοηθῆσαι. E.Q.T.

ῥεῖα θεός γ' ἐθέλων] σημείωσαι τὸν στίχον, ὅτι καὶ ἀνωτέρω οὐ περὶ Τηλεμάχου, ἀλλὰ περὶ Ὀδυσσέως εἴρηται, "τίς δ' οἶδ' εἴ κέ ποτέ σφι βίας ἀποτίσεται ἐλθών;" (216.) H.M.Q.

σαώσαι] γρ. σαώσειεν. H.

232. βουλοίμην δ' ἂν ἔγωγε] ἀθετοῦνται στίχοι ἑπτὰ ἀπὸ τοῦ "βουλοίμην δ' ἂν ἔγωγε" μέχρι τοῦ "μοῖρ' ὀλοή," οἱ μὲν πρῶτοι τέσσαρες ὡς οὐκ ἀκολούθως τοῖς προκειμένοις ἐπενεχθέντες, οἱ δὲ ἑξῆς τρεῖς διὰ τὸ ἀσύμφωνον· ἐναντίοι γάρ εἰσι τῷ "ῥεῖα θεός γ' ἐθέλων καὶ τηλόθεν ἄνδρα σαώσαι." E.H.M.Q.R.

236. ἀλλ' ἤτοι θάνατον] ἀποροῦσι τινὲς διὰ τί ὁ Ὅμηρος παρεισάγει τὸ αὐτὸ καὶ ἐν πρόσωπον, τὸν δῆθεν Μέντορα, ἀνωτέρω μὲν λέγοντα ὅτι "ῥεῖα θεός γ' ἐθέλων καὶ τηλόθεν ἄνδρα σαώσαι," πάλιν δ' ἐν τῷ παρακατιέναι λέγοντα ὅτι οὐδὲ θεοὶ δύνανται τὸν ὁμοίιον θάνατον οὐδὲ ἀπὸ τοῦ φίλου αὐτοῖς ἀνδρὸς ἀποσοβῆσαι. καὶ πρὸς τοῦτο φαμὲν ὅτι ὁ μὲν ἀνωτέρω λέγει τοιοῦτόν ἐστιν, ὡς εὐκόλως ἂν σώσαιεν καὶ ἀπὸ μακρόθεν οἱ θεοὶ ὃν ἂν βούλοιντο, κἂν ἐν ἀφύκτοις δεσμοῖς περιέχηται, μηδὲ πεπρωμένης οὔσης τῆς αὐτόθι τελευτῆς ἐκείνου καὶ ἴσως καὶ τὴν ζωὴν αὐτῷ παρατείνουσιν· ὁ δὲ παρακατιὼν λέγει τοιοῦτόν ἐστιν, ἀλλὰ τὸν ὁμοίιον θάνατον, ἤγουν τὸν πᾶσιν ὁμοίως διδόμενον, οὐδ' οἱ θεοὶ ἂν ἀποσοβήσειαν ἀφ' οὗ βούλοιντο, ἀλλὰ τότε ὁπόταν ᾖ πεπρωμένον τὸ τελευτῆσαι αὐτόν. M.

θάνατον μὲν ὁμοίιον] κοινόν, φυσικόν, τὸν πᾶσιν ὁμοίως ἐπερχόμενον. ἢ καὶ ἄλλως. τὸ τισὶ μὲν κακόν, τισὶ δὲ καλόν, ὅπερ ἐστὶ καὶ

1. ὁ λόγος δὲ καὶ ὁ νοῦς T. ὅλος ὁ νοῦς E.Q.
οὕτως, ἄνδρα om. T.
5. σημείωσαι] σημειωτέον Q.
6. ἀλλὰ περὶ] περὶ δὲ H.Q.
8. γρ. σαώσειεν] Est glossema. Vid. ad β, 334. BUTTM.
9. ἑπτὰ] His septem versibus obeli sunt adscripti in M.
ἀπὸ τοῦ] ἐν τῷ M.
10. δ' ἂν ἔγωγε et τοῦ om. R.
μέχρι M. ἕως ceteri. τοῦ om. R.
11. ὡς om. E.Q., nisi fallit Maii editio.
17. δ' ἐν τῷ correxi pro δὲ τό.
21. περιέχηται] περιέχεται M.
22. παρατείνουσιν correxi pro παρατείνωσιν.
24. Addidi ἂν post θεοί.
ἀλλὰ τότε] Oratio non integra. Excidit τελευτᾷ vel τελευτήσει, vel τελευτῆσαι ἀνάγκη.

πρὸς τὶ κακὸν, οὐ ῥηθήσεταί ποτε ὅμοιον· ὃ δέ ἐστι πᾶσιν ἐξ ἴσου κακὸν, ἐκεῖνο καὶ ὅμοιον ῥηθήσεται, ἤτοι κοινὸν κακόν. B.E.Q.

237. ἀλαλκέμεν] ἀλκεῖν. καὶ ἐγένετο ἀλκέν κατὰ συστολὴν, καὶ ἐκβολῇ τοῦ ν καὶ προσθέσει τῆς μεν, ἀλκέμεν, καὶ ἐξ αὐτοῦ ἀλκέμεναι, καὶ πλεονασμῷ τῆς αλ, ἀλαλκέμεναι. E. 5

241. 242. κείνῳ δ' οὐκ ἔτι νόστος] ὀβελίζονται δύο. τί γὰρ ὄφελος λέγεσθαι, τῆς Ἀθηνᾶς εἰπούσης "ποῖόν σε ἔπος φύγεν; ῥεῖα θεός γ' ἐθέλων." ἄλλως τε, εἰ οὕτως πέπεισται, τί ζητεῖ περὶ τῶν νόστων; H.M.Q.R.

244. ἠδὲ φρόνιν] φρονῶ φρόνις, ὡς κλονῶ κλόνις. ὁ δὲ Ἀριστοφάνης 10 τὸ φρόνιν νῦν μεν ἐπὶ τῆς φρονήσεως, ἐν δὲ τῷ "κατὰ δὲ φρόνιν ἤγαγε" (Od. δ, 258.), τὴν καταφρόνησιν. E.M.Q.R.T.

245. τρὶς γὰρ δή μιν] παρὰ τὸ ἐν Ἰλιάδι πεποίηται, "μετὰ δὲ τριτάτοισιν ἄνασσεν" (Il. α, 252.). ἀλλὰ νῦν μὲν βασιλεῦσαι αὐτόν φησι τρὶς, ἐκεῖ δὲ ἅπαξ, βιῶναι δὲ ἐπὶ τρίτην γενεάν. περιγρα- 15 φομένων οὖν τῶν τριῶν στίχων τὰ τῆς διανοίας χαρίεντα. E.M.Q.R.

Ἄλλως. Πορφυρίου. ἐν γὰρ τῷ γένει τῶν ἀνδρῶν, ἤτοι τῷ πλήθει, φασὶν ἐκ τρίτου ἀνάξαι τὸν Νέστορα, ἤτοι ἐπὶ τρισὶ γενεαῖς. οἱ γὰρ παλαιοὶ τὰς γενεὰς ἐψήφιζον ἕως ἐτῶν τριάκοντα. γενεὰ δὲ λέγεται ἡ τοῦ τίκτειν καὶ γεννᾶν τελείωσις, ἥτις τὴν τριακονταετῆ 20 περίοδον ἔχει. ὁ γοῦν ἐν τῷ ἄρχειν δύο τριακονταετίας παραδραμὼν καὶ τὴν τρίτην ἐλαύνων εἰκότως λέγεται τρὶς ἀνάξαι. E.

φασιν ἀνάξασθαι] διὰ τοῦ α τὸ ἀνάξασθαι ἀντὶ τοῦ βασιλεῦσαι. γένεα δὲ τὰς γενεάς. ἀθετοῦνται δὲ οἱ τρεῖς στίχοι οὗτοι ὡς περιττοὶ "Νέστορ' ἐπεὶ περίοιδε" καὶ "τρὶς γὰρ δή μίν φασιν ἀνάξασθαι" 25 καὶ "ὥστε μοι ἀθανάτοις." τὸ δὲ ἀθανάτοις Ἀριστοφάνης ἀθάνατος λέγει ἑνικῶς. H.M.

247. μέγα κῦδος Ἀχαιῶν] γρ. σὺ δ' ἀληθὲς ἔνισπε. P.

248. πῶς ἔθαν' Ἀτρείδης] καλῶς ἀναπλήρωσις τῆς Ἰλιάδος ἡ Ὀδύσσεια λέγεται. ἃ γὰρ κατέλειψεν ἐκεῖ, ἐνταῦθα λέγει. E. 30

250. Αἴγισθος δολόμητις] κυρίως ἐνθάδε τέτακται τὸ ἐπίθετον, ἵν'

3. Similis de τετλάμεν annotatio hujus scholiastæ est ad v. 209.

6. δύο. τί] διότι H.R.

10. φρονῶ—ὁ δὲ addidi ex M.T.

11. φρονήσεως—καταφρόνησιν] Hanc interpretationes posuit etiam Hesych. s. v. φρόνιν.

15. φησι addidi ex M.

22. ἀνάξαι Buttm. pro ἀνάξειν.

24. ἀθετοῦνται] Versibus 244—246. obelos apposuit in M. manus recentior.

26. ἀθάνατος] Sic Il. ψ, 460. ἄλλος δ' ἡνίοχος ἰνδάλλεται. PORSON.

ἐμφαίνηται ὁ δόλῳ κρατήσας τοῦ κρείττονος· ἐπιφέρει γοῦν "ἐπεὶ κτάνε πολλὸν ἀρείω." H.M.Q.

Ἄλλως. ἐκ τούτου συνετὸς ὁ Τηλέμαχος, συνιεὶς καὶ ἀφ' ἑαυτοῦ, μὴ ἂν ἐκ φανερᾶς ἐπιθέσεως τὸν ἐλάττονα περιγενέσθαι τοῦ κρείττονος εἰ μὴ μετὰ δόλου. οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἐκ τοῦ, "ἢ οὐκ Ἄργεος ἦεν Ἀχαϊκοῦ." διὸ καὶ ὁ Νέστωρ ἀποδεξάμενος αὐτόν φησιν, ἤτοι μὲν καὶ αὐτὸς ὀΐεαι ὥς κεν ἐτύχθη, εἰ ζώοντ' Αἴγισθον, καὶ τὰ ἑξῆς. E.

251. ἢ οὐκ Ἄργεος ἦεν Ἀχαϊκοῦ] Ἀττικῶς κατ' ἔλλειψιν, ἐν τῷ τόπῳ τοῦ Ἄργους. B.

τινὲς δὲ, ἢ οὐκ Ἄργει ἔην ἐν Ἀχαιικῷ. H.Q.

252. εἰς τὸν φιλάδελφον· τοιούτους γὰρ ἐν Ἰλιάδι παρέδωκεν αὐτούς. H.

255. ἤτοι μὲν τόδε] προσαγωγῶς πάνυ τὴν εὐφυΐαν αὐτοῦ καὶ προσοχὴν ἐπαινεῖ, ὅτι εὐφυῶς, ἐπύθετο περὶ Μενελάου, ἢ οὐκ Ἄργεος ἦεν Ἀχαϊκοῦ. E.Q.

κ' αὐτὸς] τὸ πλῆρές ἐστι τῆς συναλοιφῆς κεν ἀντὶ τοῦ δή. τὸ δὲ ὅμοιον ἐν Ἰλιάδι (ζ, 260.) "ἔπειτα δέ κ' αὐτὸς ὀνήσεαι." H.M.

αὐτὸς ὀΐεαι] ὑπολαμβάνεις ὃν τρόπον γεγόνασιν ἂν τὰ περὶ τοῦ Αἰγίσθου. B. τόδε κ' αὐτὸς ὀΐεαι ὥσπερ ἐτύχθη] γρ. τάδε κ' αὐτός. γρ. ὥσπερ. P.

258. ἔχευαν] τινὲς, ἔχευεν, ἵνα λείπῃ τὸ τίς· ἐὰν δὲ ἔχευαν, οἱ προσήκοντες τῷ Αἰγίσθῳ ἅμα δηλονότι ἐκώλυσεν αὐτὸς ὁ Μενέλαος. E.M.Q.

260. ἑκὰς ἄστεος] γρ. ἑκὰς Ἄργεος. H.

262. πολέας] γρ. πολλάς. H.

263. μυχῷ Ἄργεος] οὐ μυχῷ Ἀργεός φησιν ὡς εἴ τις λέγοι ἐν Κορίνθῳ, ἀλλ' ἐν μυχῷ τοῦ οἴκου, ὃς ἦν ἐν Ἄργει. E.M.Q.

266. κέχρητ' ἀγαθῇσιν] γρ. κέκρητο. P.

267. πὰρ γὰρ ἔην καὶ ἀοιδὸς] τὸ ἀρχαῖον οἱ ἀοιδοὶ φιλοσόφου τάξιν ἐπέσχον καὶ πάντες αὐτοῖς προσεῖχον ὡς σοφοῖς, καὶ παιδευθῆναι τούτοις παρεδίδοσαν τοὺς ἀναγκαίους· ἔν τε ταῖς ἑορταῖς ἔν τε

11. ἔην ἐν Ἀχαιικῷ] ἦεν ἐν ἀχαϊκῷ Q.
17. συναλοιφῆς] συναλιφῆς H.
21. γρ. ὥσπερ] Respicit hoc alteram lectionem ὥς κεν, quanquam ea in textu cod. Pal. non est, sed ὡς ἐτύχθη desuper inserto περ. BUTT.
23. ἐκώλυσεν—Μενέλαος] κωλυθέντες ὑπὸ μενελάου E.Q.
27. λέγοι] λέγει E.Q.

ταῖς ἀναπαύσεσιν ἐπὶ πολλὰς ἡμέρας συλλεγόμενοι τούτων ἤκουον εἴ
που γέγονεν ἐπιφανὲς ἢ καλὸν ἔργον. καὶ ὁ καταλειφθεὶς οὖν παρὰ
τῇ Κλυταιμνήστρᾳ ᾠδὸς πονηρὰς ἐπινοίας ἐγγίνεσθαι ἐκώλυε, διη-
γούμενος ἀνδρῶν καὶ γυναικῶν ἀρετάς. καὶ ἕως τούτου ἐσωφρόνει ἕως
αὐτῇ παρῆν οὗτος. τινὲς ἀοιδὸν τὸν μὴ αἰδοῖα ἔχοντα, κακῶς. τοῦ- 5
τόν τινες Χαριάδην, οἱ δὲ Δημόδοκον καλοῦσιν, οἱ δὲ Γλαῦκον. E.M.

πὰρ δ' ἄρ' ἔην καὶ ἀοιδὸς] συμπαρῆν γὰρ αὐτῇ καὶ ᾠδός. τὸ γὰρ
ἀρχαῖον οἱ ᾠδοὶ φιλοσόφων τάξιν ἐπεῖχον. τινὲς δὲ κακῶς νοήσαντες
τὸν εὐνοῦχον ἀπέδοσαν. M.Q.V. ἐνταῦθα δέ τινες ἀοιδὸν τὸν εὐνοῦ-
χον νοοῦσιν ἐκ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ αιδοίου, τὸν ἐστερη- 10
μένον τῶν αἰδοίων. M.

ἀοιδὸς] οἱ μὲν ἀοιδοὺς λέγουσι τοὺς τραγῳδούς. διὰ τιμῆς γὰρ οἱ
παλαιοὶ τούτους ἦγον· οἱ δὲ . . . . φασὶν εἶναι εὐνοῦχον λέγοντα τὸν
ἀοιδὸν εἶναι τῆς Κλυταιμνήστρας. P.

πὰρ γὰρ ἔην καὶ ἀοιδὸς] οὕτω Δημήτριος ὁ Φαληρεύς· Μενέλαος 15
ἅμα τῷ Ὀδυσσεῖ ἐλθὼν εἰς Δελφοὺς τὸν θεὸν ἤρετο περὶ τῆς μελ-
λούσης ἔσεσθαι εἰς Ἴλιον στρατείας. τότε δὴ καὶ τὸν ἐνναετηρικὸν
τῶν Πυθίων ἀγῶνα ἀγωνοθετεῖ Κρέων, ἐνίκα δὲ Δημόδοκος Λάκων
μαθητὴς Αὐτομήδους τοῦ Μυκηναίου, ὃς ἦν πρῶτος δι' ἐπῶν γράψας
τὴν Ἀμφιτρύωνος πρὸς Τηλεβόας μάχην καὶ τὴν ἔριν Κιθαιρῶνός τε 20
καὶ Ἑλικῶνος, ἀφ' ὧν δὴ καὶ τὰ ἐν Βοιωτίᾳ ὄρη προσαγορεύεται· ἦν
δὲ καὶ αὐτὸς μαθητὴς Περιμήδους Ἀργείου, ὃς ἐδίδαξεν αὐτόν τε τὸν
Μυκηναῖον Αὐτομήδην, καὶ Λικύμνιον τὸν Βουπράσιον καὶ Σίνιν, καὶ
τὸν Δωριέα, καὶ Φαρίδαν τὸν Λάκωνα, καὶ Πρόβολον τὸν Σπαρτιά-
την. τότε δὴ Μενέλαος τῇ προνοίᾳ τῆς Ἑλένης ἀνέθηκεν ὅρμον 25

2. παρὰ Heinrichius apud Buttmann. pro περί.

6. Χαριάδην M. cum Eustathio, quod etiam ex H. annotatum. Χαρίδημον E. Vid. schol. ad σ, 325.

14. τῆς Buttm. pro τοῖς.

15. Δημήτριος ὁ Φαληρεὺς] In libro deperdito de poetis. Vid. Suidam, et cf. Tzetz. in Proleg. ad Lycophr. BUTTM. Est hoc scholion etiam in T., sed minus plene.

16. ἤρετο correxi pro εἴρετο.

17. ἐνναετηρικὸν] ἐνναέτη M.

18. ἀγωνοθετεῖ] Fort. ἠγωνοθέτει.

19. Αὐτομήδους] αὐτοῦ μὴ δὲ H.R. τοῦ om. E.Q.R.

ἦν πρῶτος] πρῶτος ἦν H.R.

22. αὐτόν τε τὸν M. αὐτόν τε καὶ τὸν ceteri. αὐτόν τε καὶ τὸν ῥηθέντα Eustathius.

23. Αὐτομήδην] αὐτομήδη H.

Βουπράσιον M. βουπρασίδην E.H. Q.R. Βουπρασιέα Eustath.

Σίνιν M. σίπια E.Q.R. σίπι H. Hunc Eustath. omisit.

24. Φαρίδαν R. et Eustath. φαρίδα E.H.Q. φαλάριδα M.

25. δὴ H.R. et Eustath. δὲ ceteri.

ἀνέθηκεν] ἀνατέθεικεν M.

Ἀθηνᾷ. τὸν δὲ Δημόδοκον εἰς Μυκήνας λαβὼν Ἀγαμέμνων ἔταξε τὴν Κλυταιμνήστραν τηρεῖν. ἐτίμων δὲ λίαν τοὺς ᾠδοὺς ὡς διδασκάλους τῶν τε θείων καὶ παλαιῶν ἀνδραγαθημάτων, καὶ τῶν ἄλλων ὀργάνων πλέον τὴν λύραν ἠγάπων. δηλοῖ δὲ καὶ Κλυταιμνήστρα τὴν εἰς αὐτὸν τιμήν· οὐ γὰρ φονεύειν, ἀλλ' ἀφορίζειν αὐτὸν ἐκέλευσε. 5 Τιμόλαος δὲ ἀδελφὸν αὐτόν φησιν εἶναι Φημίου, ὃν ἀκολουθῆσαι τῇ Πηνελόπῃ εἰς Ἰθάκην πρὸς παραφυλακὴν αὐτῆς· διὸ καὶ βίᾳ τοῖς μνηστῆρσιν ᾄδει. E.H.M.Q.R. τοσοῦτον δὲ καὶ πρὸς τὰ πολιτικὰ διέτεινεν ἡ τῶν κιθαρῳδῶν μουσικὴ ὡς τῶν Σπαρτιατῶν τὴν πόλιν ὠφελεῖσθαι λέγουσιν ὑπὸ τούτων τῶν ἀνδρῶν τὰ μέγιστα καὶ πρὸς 10 ὁμόνοιαν καὶ πρὸς τὴν τῶν νόμων φυλακήν. ὡς καὶ τὴν Πυθὼ, αὐτόθι φυομένης ταραχῆς, εἰπεῖν, τὸν Λέσβιον ᾠδὸν ἀκούειν καὶ παύσασθαι τῆς φιλονεικίας. ὃ καὶ γέγονεν. E.Q.

268. εἴρυσθαι] ὥσπερ γίνεται ἀπὸ τοῦ εἰλίσσω τὸ εἰλίξας, οὕτως καὶ ἀπὸ τοῦ εἰρύω εἴρυμι τὸ εἴρυσθαι. B. 15

269. ἀλλ' ὅτε δή μιν] τὸν ἀοιδὸν, ἢ τὴν Κλυταιμνήστραν, ἢ τὸν Αἴγισθον, ἢ τὸν Ἀγαμέμνονα. E. τὴν Κλυταιμνήστραν. δαμῆναι] ὑποταγῆναι τῷ Αἰγίσθῳ. P.

270. ἄγων ἐς νῆσον ἐρήμην] ὁ Αἴγισθος. E. εἰς Κάρφην. E.H.

271. κύρμα] ἐπιτυχίαν, ἀπὸ τοῦ κυρῶ τὸ ἐπιτυγχάνω. B. 20

272. ἐθέλων] Ὅμηρος τρισυλλάβως. H.

274. πολλὰ δ' ἀγάλματα] Ὅμηρος ὁπόταν τὸ γένος προείπῃ τὸ

1. Ἀθηνᾷ H.M.R. τῇ ἀθηνᾷ E.Q. Apud Eust. τότε δὴ Μενέλαος μὲν τῇ Προνοίᾳ Ἀθηνᾷ τὸν τῆς Ἑλένης ὅρμον ἀνέθηκεν ἐν Δελφοῖς, Ἀγαμέμνων δὲ κ. τ. λ.

Δημόδοκον] Scribebatur Δημοδόκον hic et alibi interdum, qui accentus frequens est in M. etiam in textu Homeri.

Ἀγαμέμνων] ἀγαμέμνονι M.

2. ἐτίμων δὲ λίαν] ἐτίμα γὰρ λίαν φησὶ (Demetrius) Eustath.

4. πλέον] τέλεον H.R.

5. εἰς αὐτὸν H.M.R. τὴν αὐτῶν E. Q.

φονεύειν] κτείνειν R.

ἐκέλευσε] ἀφῆκε Eustath.

6. ἀκολουθῆσαι τῇ πηνελόπῃ M. ἀκολούθως ἔταξαν καὶ τῇ πηνελόπῃ E.Q. ἀκολούθως καὶ τὴν πηνελόπην H.R.

7. πρὸς παραφυλακὴν αὐτῆς] Vid. ad α, 325. BUTTM.

8. ᾄδει M. ἀείδει ceteri.

15. Cavet scholium ne quis in syllaba ει augmentum agnoscat et εἰρύσθαι scribat: quod apte fit comparatione participii εἰλίξας. BUTT.

22. Ὅμηρος ὁπόταν . . .] Ex hoc scholio excerpta sunt quæ in E.Q. leguntur, ὅταν Ὅμηρος προσείπῃ (sic) τὸ γένος ἐπάγει καὶ τὸ εἶδος διὰ τοῦ τέ συνδεσμοῦ συμπλεκτικοῦ. ἀγάλματα γὰρ τὸ γένος, ὑφάσματά τε χρυσόν τε τὸ εἶδος. τοιοῦτον καὶ τὸ, νηῶν δ' ἔκφερ' ἄεθλα, λέβητάς τε τρίποδάς τε, ἵππους θ' ἡμιόνους τε βοῶν τ' ἴφθιμα κάρηνα, ἠδὲ γυναῖκας ἐϋζώνους, πολιόν τε σίδηρον. πάλιν εἰπὼν μῆλα ἐπάγει τὸ εἶδος, ὅϊές

συνεκτικόν τινων, ἐπιφέρειν εἴωθε καὶ τὰ περιεχόμενα εἴδη, οὐ μέντοι διὰ τοῦ διαζευκτικοῦ συνδέσμου, ὃς οὐκ ἔστι συναγωγός, ἀλλὰ διὰ τοῦ τε τοῦ συμπλεκτικοῦ καὶ ἀναφορικοῦ ὑπάρχοντος, πάντα σημαίνων. ὥσπερ ἐν τούτοις "πολλὰ δ' ἀγάλματ' ἀνῆψεν." τίνα οὖν ταῦτα; "ὑφάσματά τε χρυσόν τε." τὸ εἶδος. τοιοῦτον καὶ τὸ "νηῶν δ' ἔκφερ' ἄεθλα, λέβητάς τε τρίποδάς τε, ἵππους θ' ἡμιόνους τε βοῶν τ' ἴφθιμα κάρηνα, ἠδὲ γυναῖκας ἐϋζώνους, πολιόν τε σίδηρον (Il. ψ. 259.) πάλιν εἰπὼν μῆλα ἐπάγει τὸ εἶδος "ὄϊές τε καὶ αἶγες" (Od. α, 184.). καὶ "Βοιωτῶν μὲν Πηνέλεως καὶ Λήϊτος ἦρχον" (Il. β, 494.). ποῖοι; "οἵ θ' Ὑρίην ἐνέμοντο." πάλιν "οὐ φυτὸν" εἰπὼν (Od. ω. 246) ἐπάγει "οὐ συκῆ, οὐκ ἄμπελος, οὐ μὲν ἐλαίη, οὐκ ὄχνη, οὐ πρασιή τοι ἄνευ κομιδῆς κατὰ κῆπον," καὶ πρὸς μὲν τὸ φυτὸν τὴν συκῆν ἀπέδωκε, πρὸς δὲ τὸν κῆπον τὴν πρασιάν. κῆπον δὲ λέγει τὸν καταπνεόμενον τόπον, πρασιὰν δὲ ἀπὸ τῶν λαχανευομένων τόπων, ἃ καὶ ἐπ' ἐσχάτοις φυτεύουσιν. "ἔνθα δὲ κοσμηταὶ πρασιαί" (Od. η, 127.). καὶ τὰ μὲν συνεκτικὰ οὕτως· τὰ δὲ διαζευκτικὰ "μάντιν ἢ ἰητῆρα κακῶν ἢ τέκτονα δούρων." (Od. ρ, 384.) M.

ἄγαλμα λέγει ὁ ποιητὴς πᾶν ἐφ' ᾧ τις ἀγάλλεται, καὶ οὐ τὸ ξόανον. M.Q. ἀγάλματα παρὰ τοῖς νεωτέροις αἱ στῆλαι, ἐνταῦθα δὲ τὰ ἀναθήματα. M.

275. ἐκτελέσας μέγα ἔργον] τὸ τοῦ γάμου καὶ τῆς βασιλείας κρατῆσαι. B.

ἔλπετο] Ἰακῶς τὸ ἔλπετο, οὐκ ἤλπετο. M.

276. ἅμα πλέομεν] Ζηνόδοτος ἀναπλέομεν, κακῶς· Ὅμηρος γὰρ τὸν εἰς Τροίαν πλοῦν ἀνάπλουν φησίν. M.

278. Σούνιον] ἀκρωτήριον τῆς Ἀττικῆς. ἱερὸν δὲ εἴρηται παρὰ τὸ ἀνατεθεῖσθαι τῷ Ποσειδῶνι. M. ἀκρωτήριον Ἀττικῆς. τὸ δὲ ἑξῆς, ἱερὸν ἄκρον. Q.

τε καὶ αἶγες· καὶ φυτὸν εἰπὼν ἐπάγει, οὐ συκῆ, οὐκ ἄμπελος οὐ μὲν ἐλαίη, οὐκ ὄχνη οὐ πρασιή τοι ἄνευ κομιδῆς κατὰ κῆπον. καὶ, Βοιωτῶν μὲν Πηνέλεως, καὶ τὰ ἑξῆς.

9. μὲν om. M.

10. οὐ φυτὸν] οὐ om. M.

11. πρασιή] Hinc tandem verus redeat hic quoque huic voci accentus conspirans ille versui Od. η, 127. et præcepto Eustathii ad p. 1967, 29. Nam in omnibus edd. et apud ipsum Eustathium ad hunc nostrum locum, inveni πρασίη. BUTTM.

18. οὐ om. Q. Conf. schol. ad v. 438.

25. ἀνάπλουν] Vide p. 148, 23.

279. ἔνθα κυβερνήτην] δαιμονίως προῳκονόμηται πρὸ τοῦ μεσοῦντος χειμῶνος τελευτᾶν τὸν κυβερνήτην. H.

Φοῖβος Ἀπόλλων] ὁ φοιβάζων καὶ μαντευόμενος καὶ τὰ τῶν θεῶν ἄδηλα δηλοποιῶν· ἢ ὁ ἐκ Φοίβης γυναικὸς γεννηθεὶς Ἀπόλλων. λέγει δὲ τὸν ἥλιον Ἀπόλλωνα ἀπὸ τοῦ μὴ πολλοὺς ἡλίους εἶναι· τὸ γὰρ α στερητικόν. ἀγανοῖς δὲ, τοῖς λαμπροῖς· ἢ τοῖς ἄγαν ὀξυτάτοις, ἀπὸ τοῦ ἄγαν ἵεσθαι καὶ πέμπεσθαι· ἢ τοῖς γλυκυτάτοις διὰ τὴν συντομίαν τοῦ θανάτου. ἐκ γὰρ τῆς τοῦ ἡλίου κινήσεως γίνονται πολλάκις θάνατοι αἰφνίδιοι. E.

280. οἷς ἀγανοῖς] ἢ ταχυτάτοις, ἄγαν ἱεμένοις. καὶ ἀγανός ἐτυμολογεῖται ἀπὸ τοῦ ἄγαν νέειν εἰς αὐτὸν πάντας, ὡς καὶ ἀγαθός ἀπὸ τοῦ ἄγαν θέειν περὶ αὐτόν· τὸν γὰρ ἀγαθὸν πάντες φιλοῦντες εἰς αὐτὸν τρέχομεν· ὁμοίως καὶ εἰς τὸν ἀγανὸν ἤτοι λαμπρὸν καὶ ἐνάρετον πάντες πορευόμεθα. B.

ἤγουν λοιμικῇ νόσῳ τετελεύτηκεν. P.

282. Φρόντιν Ὀνητορίδην] παρὰ τὸ φροντίζειν καὶ ὄνησιν εἶναι ἔπλασε τὸ ὄνομα. H.

ἐκαίνυτο] τὸ δὲ ἐκαίνυτο, ἐνίκα. κυρίως δὲ ἀπὸ τοῦ καίνειν, ὅ ἐστι κόπτειν. πᾶς γὰρ καίνων ἤτοι τιτρώσκων τὸν ἐναντίον νικᾷ. ὅθεν καὶ καίνω ῥῆμα τὸ νικῶ καὶ καίνυμι. B. ἐνίκα. κυρίως δὲ καίνυσθαι τὸ κτείναντα νικῆσαι. καίνειν γὰρ τὸ φονεύειν. E.V.

286. ταῦτα ἐπίσταται ὁ Νέστωρ, ἢ τοῖς ἐκ τοῦ ναυαγίου τοῦ περὶ τὴν Κρήτην διασεσωσμένοις. H.

287. Μαλειάων] ὅτι ὡς Κρητάων (Od. ξ, 199.) καὶ Μαλειάων ἔφη. καὶ ὡς "Κρήτη τις γαῖά ἐστι" (Od. τ, 172.), καὶ "περιγνάμπτοντα Μάλειαν" (Od. ι, 80.). H.M.Q.

289. λιγέων τε] διχῶς Ἀρίσταρχος, λιγέων δέ, καὶ, λιγέων τε. H.

ἐπ' ἀϋτμένα] ἀρσενικῶς τὸν ἀϋτμένα, ἀπὸ ὀρθῆς τῆς ἀϋτμήν, τουτέστι τὴν σφοδρὰν πνοήν. H.Q.

290. τροφέοντο] γρ. τροφόεντα. Q. τροφόεντα] γρ. τρεφό-

20. ἐνίκα] ὑπερενίκα E.
21. κτείναντα] κτεῖναι, τὸ E.
24. ὅτι om. Q.
25. Κρήτη] κρήτης H. in quo etiam Λήμνου γαῖαν ex θ, 301. citari annotavit Porsonus in Addendis ad τ, 172, de quo tacet Cramerus.
καὶ περιγνάμπτοντα] εἴκων (εἰπών?) καὶ περιγνάπτοντα H.
28. τὸν ἀϋτμένα om. Q.
30. γρ. (i. e. γράφεται)] γράφε Maii editio hic et p. 159, 8.

εντα. P. Ἀρίσταρχος γράφει τροφόεντο ἀντὶ τοῦ ηὐξάνοντο. H. τροφέοντο] ηὐξάνοντο. M.V.

292. κύδωνες] ἔθνος Κρήτης· καὶ Κυδωνὶς πόλις Κρήτης, ποταμὸν ἔχουσα Ἰάρδανον. Q.V.

Ἰαρδάνου] ἀπὸ τῆς Ἰαρδάνης εὐθείας, ὅς ἐστι ποταμὸς Κρήτης. M. 5

293. Λισσὴ] τινὲς μὲν ὄνομα κύριον τὴν νῦν Βλισσὴν καλουμένην, οἷον λεία. ὁ δὲ Κράτης σὺν τῷ ν γράφει Λισσήν. τὸ δὲ ἑξῆς, ἔστι τέ τις ἐπὶ τοῖς ἐσχάτοις μέρεσι τῆς Γορτυνίας ὑψηλὴ πέτρα. H. M.Q. λεία πέτρα. ἢ κατὰ μεταπλασμὸν εἶπε τὸ νῦν καλούμενον παρὰ τοῖς Κρησὶ σὺν τῷ β Βλίσση. ἔστι δὲ ἀκρωτήριον τῆς Γορ- 10 τυνίας. ὁ δὲ Κράτης σὺν τῷ ν γράφει Λισσήν. M.V.

Λισσὴ αἰπεῖα] ἔοικεν Ὅμηρος ἐναντιοῦσθαι αὐτῷ. P.

295. ῥίον] τὸ ῥίον λέγει μικρὸν ὂν μέγα κῦμα τὸ προσπῖπτον ἀπείργειν. μικρὸν δὲ λίθον εἶπεν ὡς πρὸς σύγκρισιν τῶν ἐκεῖ γινομένων λίθων. B. 15

σκαιὸν] οἱ μὲν τὸ δυτικὸν, οἱ δὲ τὸ δεινὸν καὶ ἄγριον. Q. δεινὸν, χαλεπόν. V.

1. τροφόεντο vitiosum. In τροφέοντο mutat Porsonus. Eustathius et hic et Il. ο, 621, ubi eadem locutio, duplicem memorat scripturam, τροφέοντα et τροφόεντα. Aristarchus quid probaverit ex confusis codicum in hoc scholio scripturis non liquet. Probabile est eum τροφόεντα scripsisse, quum alii τροφέοντα vel τροφέοντο posuissent. Nam τροφέοντο illud ineptius est quam ut Aristarcho imputari posse videatur. De quo si recte judicamus, annotatio scholiastæ sic erit scribenda, τροφέοντο ἀντὶ τοῦ ηὐξάνοντο. Ἀρίσταρχος γράφει τροφόεντα.

5. εὐθείας addidit Cobetus.

6. τινὲς μὲν ὄνομα κύριον] λεία. τινὲς δὲ κύριον ὄνομα Q., omisso infra οἷον λεία.

Βλισσήν correxi pro βλήσσην, quod est in H., vel βλεισσηνὴν, quod habet Q. In M. βρίσην.

7. σὺν τῷ ν ex Eustathio p. 1468, 50. scripsi pro σὺν τῷ ιν (σὺν τῶιν M.) λισσὴν H. λισσίν M. λίσσιν Q. βλισσήν Eustathius, qui addit καὶ δοκεῖ κατὰ εὐθεῖαν πτῶσιν ἀρσενικῶς προφέρειν ὁμοίως τῷ σωλήν καὶ τοῖς τοιούτοις. Corrupte ὀλύσσην τῆς Φαιστίας apud Strabon. 10. p. 479. ubi Coraës ὁ Λισσήν, ex codice, ut ait, in quo ὁ Λίσσην scriptum sit. Ὁ Λισσής ap. Steph. Byz. s. v. Φαιστός, ἔστι τῆς Φαιστιάδος καὶ ὁ καλούμενος Λισσής. Ὅμηρος "ἔστι δέ τις Λισσὴς αἰπεῖά τε εἰς ἅλα πάτρη." Dixit de his nominibus Hoeckius in libro de Creta vol. i. p. 410. 411. In versu Homeri manifestum est recte legi adjectivum λισσὴ πέτρη.

8. ὑψηλὴ πέτρα addidi ex M., in quo est οὗ ὑψηλαὶ πέτραι.

9. τὸ νῦν καλούμενον παρὰ M. τὸν νῦν παρὰ V.

10. Βλίσση] βλισσή M. βλίση V.

11. ὁ δὲ] ὅθεν M.V. Correctum ex scholio superiore.

τῷ ν—Λισσήν] τῷ ιν—λίσσιν M.V.

12. ἐναντιοῦσθαι] Nimirum voci λισσή in textu superscriptum εὐτελής. BUTTM.

296. ἐς Φαιστὸν] ἀκρωτήριον τῆς Γόρτυνος πόλεως Κρήτης ἀπὸ μὲν τῶν πολλῶν μερῶν λίαν περικλυζόμενον καὶ εἰ βραχεῖά τις αὔρα γένηται, ἀπὸ δὲ μεσημβρίας οὐδ' ὅλως, καίτοι τοῦ νότου μέγιστα ἐγείροντος κύματα, διὰ τὸ κατὰ τοῦτο τὸ μέρος προηκούσαις εἰς θάλασσαν πέτραις περιαράσσεσθαι τὰ κύματα. τινὲς δὲ τὴν Φαιστὸν πόλιν λέγουσι τῆς Κρήτης. E.H.Q.

μικρὸς δὲ λίθος] τὸ γὰρ ὑπὸ τοῦ νότου κῦμα τὴν Φαιστὸν ἂν ἐποίει ἁλίμενον, εἰ μὴ προκείμενος ὁ λίθος ἐκώλυεν ἐντὸς μέγα γίνεσθαι κῦμα, προκαταγνυμένων περὶ αὐτὸν τῶν κυμάτων. γράφει δὲ Ζηνόδοτος "Μαλέου δὲ λίθος·" Μάλειον γὰρ ὀνομάζεται τὸ πρὸ τοῦ Φαιστίων λιμένος ἀκρωτήριον. E.M.Q.V.

μικρὸς δὲ λίθος] μικρὸν λίθον εἶπεν ὡς πρὸς σύγκρισιν τῶν ἐκεῖ γινομένων κυμάτων· ὅλον δὲ οἰκονομημένως, ἵνα τοῖς περὶ τὸ χωρίον αὐτῶν ἀσινὴς ἡ ἔκβασις γένηται προεκλυομένου τοῦ κύματος. H.

Ἄλλως. Πορφυρίου. διὰ τί ὁ μὲν βορέας μέγα κῦμα κυλίνδει, ὁ δὲ νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥίον ὠθεῖ; ἔστι δὲ τὸ μὲν κυλίνδειν τὸ ἐξ ὕψους τι καταφέρειν, τὸ δὲ ὠθεῖν τὸ ἐκ ταπεινοτέρων εἰς ὕψος ἀνάγειν βεβιασμένως. καὶ φαμὲν ὡς εἰδὼς Ὅμηρος ὅτι ἡ ἡμετέρα οἰκουμένη βορειοτέρα ἐστὶ καὶ ὑψηλή, ἡ δὲ ἀντοικουμένη νοτιωτέρα καὶ ταπεινὴ ὡς πρὸς ἡμᾶς, εἰκότως ὡς ἂν τοῦ βορέου ἐκ τοῦ ὑψηλοῦ πνέοντος κυλίνδειν αὐτὸν ἔφη τὰ κύματα· τοῦ δὲ νότου ἐκ τοῦ ταπεινοτέρου πνέοντος ἀνωθεῖν ἔφη τοῦτον τὰ κύματα. ὅθεν καὶ τῆς Ἰλίου καὶ τοῦ Ἑλλησπόντου βορειοτέρων ὄντων τῆς Ἑλλάδος ἀνάπλουν καὶ

1. Γόρτυνος] γορτύνης V.

2. μερῶν ex Eustathio correctum pro κυμάτων.

περικλυζόμενον] ἐπικλυζόμενον H.

5. περιαράσσεσθαι correxi. περιράσσεσθαι V. περιβάσσασθαι H.Q. ἐπιρρήγνυσθαι E. Verbo προσαράσσεσθαι utitur Eustath. p. 1469, 18.

8. ἐντὸς μ. γ. κῦμα] μ. κῦμα ἐντὸς γ. H. qui primam scholii partem usque ad τῶν κυμάτων habet.

9. προκαταγνυμένων] προκαταγνύμενον H.

γράφει δὲ Ζηνόδοτος] γράφει δὲ ζηνόδοτος καὶ M. γράφεται δὲ (δὲ om. V.) καὶ E.Q.V., omisso Zenodoti nomine. Apud Eustath. p. 1469, 20. γράφεται δὲ, φασὶ, καὶ Μαλείου δὲ λίθος. Μάλειον γὰρ ὀνομάζεται etc.

10. μαλέου E.Q. μαλίου M.V.

δὲ om. M.

Μάλειον] μάλιον M.V.

ὀνομάζεται] ὠνομάζετο E.Q.

τὸ addidit Buttm.

11. Φαιστίων—ἀκρωτήριον om. E.Q.

15. Πορφυρίου] ἐκ τοῦ πορφυρίου H. Comparandum schol. ad ε, 295.

16. δὲ τὸ μὲν] μὲν γὰρ τὸ H.R.

17. τὸ ἐξ—τὸ ἐκ H.R. τὸ utrumque om. E.Q.

18. βεβιασμένως] ἀναβιαζομένως E.

καὶ φαμὲν H.R. ῥητέον δὲ E.Q.

ὡς H. ὅτι E.Q.R.

21. ταπεινοτέρου] ταπεινοῦ H.R.

ἀναγωγὴν καλεῖ τὸν ἀπὸ τῆς Ἑλλάδος δρόμον εἰς Ἴλιον. E.H.Q.R. ἐπεὶ δὲ πασῶν πόλεων καὶ νήσων ἃς κατέλεξεν ἐν τῷ καταλόγῳ περὶ τὸ Ἑλληνικὸν οὐδεμία βορειοτέρα ἢ προσάρκτιος μᾶλλον Ἰθάκης, ἐν δὲ τοῖς προσαρκτίοις μείζους αἱ νύκτες, εἰκότως τὴν νύκτα φησὶν ἐν τῇ Ἰθάκῃ μακροτάτην εἶναι, λέγει δὲ "νύκτες ἀθέσφατοι· ἔστι μὲν εὕδειν, ἔστι δὲ τερπομένοισιν ἀκουέμεν· οὐδέ τί σε χρὴ πρὶν ὥρη καταλέχθαι· ἀνίη καὶ πολὺς ὕπνος" (Od. ο, 392.). E.Q.

298. σπιλάδεσσιν] Ὁμηρικὸν τοῦτο. σπιλάδεσσι δὲ ταῖς παραλίαις πέτραις, παρὰ τὸ ἐσπιλῶσθαι· ἢ ταῖς κατὰ θάλασσαν περιειλημμέναις ἐν ὀλίγῳ ὕδατι. E.Q.V.

301. πολὺν βίοτον] κατὰ τὸ εἰκὸς τοῦ Μενελάου ἥκοντος διηγγέλθη περὶ τοῦ πλήθους τῶν χρημάτων ἅπερ ἀπ' Αἰγύπτου ἤγαγεν. οὐ κατ' ἀδολεσχίαν δὲ ἐπὶ ταῦτα ἧκεν ὁ Νέστωρ, ἀλλ' ἀποπληρῶν τὴν ζήτησιν τοῦ νεανίσκου, ὡς οὐκ ἦν ἐπὶ τῆς οἰκίας ὁ Μενέλαος, οὐδὲ αὐτὸς ἐτιμωρήσατο τὸν Αἴγισθον. αὐτὸ δὲ τὸ κεφάλαιον φράζει· τὸ δὲ κατὰ μέρος περὶ Εἰδοθέας καὶ Πρωτέως καὶ τῆς ἐνταῦθα διατριβῆς αὐτὸς ὁ παθὼν διηγήσεται. πιθανῶς δὲ συμμεμέρισται τὰ τῆς διηγήσεως. Q.

304. δέδμητο] Ἀρίσταρχος δέδμηντο, ὡς "ἡ πληθὺς ἀπονέοντο" (Il. ο, 305.). H.M.Q.R.

307. ἂψ ἀπ' Ἀθηναίων] Ζηνόδοτος μέν, ἂψ ἀπὸ Φωκήων. ἐκεῖ γὰρ κατῴκει ὁ Στρόφιος, εἰς ὃν ἀνετρέφετο Ὀρέστης κατὰ νεωτέρους, Ἀρίσταρχος δὲ, ἂψ ἀπ' Ἀθηναίης, ὡς ἐκεῖ "ἵκετο δ' ἐς Μαραθῶνα καὶ εὐρυάγυιαν Ἀθήνην" (Od. η, 80.). H.M.Q.

ἐπαιδεύετο ἴσως ἐκεῖ. οἱ δὲ νεώτεροι παρὰ Στροφίῳ αὐτὸν τετράφθαι φασίν. ὅθεν καὶ, ἂψ ἀπὸ Φωκήων, γράφεται. E.T.

309. 310. ἤτοι ὁ τὸν κτείνας] ἔν τισι τῶν ἐκδόσεων οὐκ ἦσαν. ὁ

3. Ἰθάκης] En ignoratas geographicas rationes Porphyrii etiam tempore, qui Thessaliæ urbes Homero nominatas nescit magis boreales longe esse Ithaca. BUTT.

8. Ὁμηρικὸν—δὲ ταῖς om. E.V.

19. ἡ πληθὺς ἀπονέοντο] Hoc exemplo nihil probatur. Nam hic pluralem requirebat metrum, quod non cadit in Odysseæ versum, ubi nihil caussæ erat cur δέδμηντο diceretur potius quam δέδμητο.

22. νεωτέρους] ἐπαιδεύετο δὲ ἐν Ἀθήναις addit Q., qui partem hujus scholii habet ἐκεῖ γὰρ—Ἀθήναις.

23. Ἀθηναίης] ἀθηναίοις M.

25. ἴσως ἐκεῖ] διὰ τὸ τοὺς φιλοσόφους καὶ ῥήτορας κατοικεῖν ἐν Ἀθήναις addit T.

27. ἔν τισι —] Recte hoc scholion ad v. 309. refertur in M.T.; male in aliis ad v. 303. Prima scholii verba ἔν τισι—ἦσαν (εἰσὶν T.) afferuntur etiam ex H.

δὲ Ἀρίσταρχός φησιν ὅτι διὰ τούτων παρυποφαίνεται ὅτι συναπώλετο Αἰγίσθῳ ἡ Κλυταιμνήστρα. τὸ δὲ εἰ καὶ ὑπὸ Ὀρέστου, ἄδηλον εἶναι· οὐδὲ γὰρ τὰ περὶ τὴν Ἐριφύλην φησὶν εἰδέναι αὐτόν. M.Q. R.T.

τάφον] κατεσκεύασε δεῖπνον. τάφος γὰρ τὸ ἐπὶ νεκροῖς δεῖπνον. B. 5

δαίνυ τάφον Ἀργείοισιν] κατεσκεύασε δεινὴν ἔκπληξιν ἢ κρίσιν ἐν τῷ Ἄργει. E.

τάφος σημαίνει πέντε· τὴν νῆσον, ὡς τὸ "Ταφίοισι φιληρέτμοισιν ἄνασσε" (Od. α, 419.)· τὴν ἔκπληξιν, ὡς τὸ "ταφὼν δ' ἀνόρουσεν Ὀδυσσεύς," ἢ Ἀχιλλεύς· τάφος ὁ ἐπιτάφιος δεῖπνος, ὡς τὸ "ὧδε 10 δαίνυ τάφον Ἀργείοισι·" τὸ μνημεῖον, καὶ τὸ σῆμα. E.

Ἄλλως. ἢ εὐτρέπισεν αὐτῷ τάφον ἐκ τῶν Ἑλλήνων, ἢ εὐωχίαν ἐποίησεν ἐπιτήδειον. ἔθος γὰρ ἦν τοῖς παλαιοῖς τινὸς τελευτήσαντος λαμπράν τινι εὐωχίαν ἑτοιμάζειν ἐπ' αὐτῷ, ὅπερ καὶ τάφος παρ' ἐκείνοις ἐκέκλητο. E. 15

310. μητρός τε στυγερῆς] φείδεται διὰ τούτων τοῦ Ὀρέστου. τὸ μὲν γὰρ εὐφημότερον εἶπεν ὅτι ἔθαψε τὴν μητέρα, τὸν δὲ θάνατον παρεσιώπησεν. E.Q.V.

311. βοὴν] μάχην. ἔνθα γὰρ μάχη ἐκεῖ καὶ βοή. E.

313. καὶ σὺ φίλος] οὗτος ὁ τόπος ἀνέπεισε Ζηνόδοτον ἐν τοῖς περὶ 20 τῆς ἀποδημίας Τηλεμάχου διόλου τὴν Κρήτην ἔναντι τῆς Σπάρτης ποιεῖν. οἴεται γὰρ ἐκ τούτων τῶν λόγων κατὰ τὸ σιωπώμενον ἀκηκοέναι τὸν Νέστορα παρὰ τοῦ Τηλεμάχου ὅτι καὶ ἀλλαχόσε περὶ τοῦ πατρὸς πευσόμενος παρεσκεύαστο πλεῖν. διὸ καὶ ἐν τῇ α' ῥαψῳδίᾳ (93.) ἔγραψε "πέμψω δ' ἐς Κρήτην τε καὶ ἐς Πύλον ἠμαθόεντα," 25

1. φησιν ὅτι διὰ M.T. φησὶ διὰ Q. R.

παρυποφαίνεται] παρεμφαίνει T.

2. εἰ καὶ om. M.

ὑπὸ] ἀπὸ Q.

ἄδηλον] εὔδηλον Q.

3. τὴν om. R.

Verba οὐκ εἰδέναι significant *non memorare:* vid. ad α, 300. Hoc igitur volebat Aristarchus: Homerum de parricidio ipso Orestis disertis verbis nihil dicere; sicut etiam in loco λ, 326. Eriphyles scelus quidem memoret, sed quod manu filii Alcmæonis perierit, hoc quidem sileat. Add. schol. 310. BUTTM.

8. τάφος] Conf. schol. ad α, 417.

10. Ἀχιλλεύς] De Achille Il. ι, 193. et bis præterea; tum Od. π, 12. ταφὼν δ' ἀνόρουσε συβώτης. De Ulysse nusquam. BUTTM.

11. σῆμα Maius pro σῶμα.

20. Ζηνόδοτος] Zenodoti sententiæ adversatur schol. ad β, 359. et δ, 702. BUTTM.

ἐν τοῖς] ἐν τῷ M.

22. οἴεται] νοεῖται M.

24. διὸ καὶ] καὶ om. M.

25. ἔγραψε] εἴρηκεν R.

καὶ ἡ Ἀθηνᾶ ἀλλαχοῦ "πρῶτα μὲν ἐς Πύλον ἐλθὲ, κεῖθεν δ' ἐς Κρήτην τε παρ' Ἰδομενῆα ἄνακτα, ὃς γὰρ δεύτατος ἦλθεν Ἀχαιῶν χαλκοχιτώνων" (α, 284.). H.M.Q.R.

ἄπο τῆλ' ἀλάλησο] ἀναστρεπτέον τὴν πρόθεσιν. Q.

316. τηϋσίην] ἀπὸ τοῦ δεύω, τὸ βρέχω, δευσίη, καὶ τροπῇ τοῦ δ εἰς τ καὶ διαλύσει τοῦ ευ τεϋσίη, καὶ τροπῇ τοῦ ε εἰς η, τηϋσίην. E.

ἐμοὶ οὕτω δοκεῖ, σὺ δὲ τηϋσίην ὁδὸν ἔλθῃς. P.

ἀντεστραμμένως γὰρ πάνυ ἔπραττε βραδύνων ὁ Τηλέμαχος. ὁ μὲν γὰρ ἔκδοτον κατέλιπε τὸν ἀδελφὸν τοῖς ἐχθροῖς, ἧκε δὲ μετὰ χρημάτων, ὁ δὲ ἐπὶ μὲν τῇ μητρὶ ἐθάρρει, ἐκινδύνευε δὲ τὰ ὑπάρχοντα ἀπολέσαι, ὑποχείρια τοῖς ἐχθροῖς ἀφείς. H.Q.

317. κέλομαι καὶ ἄνωγα] σημείωσαι ὅτι τὸ κέλομαι καὶ τὸ ἄνωγα λαμβάνονται ἐπὶ τοῦ παραινεῖν καὶ συμβουλεύειν. E.

ἀλλ' ἐς Μενέλαον] συνεμπέπτωκε τῷ τῆς Ἀθηνᾶς βουλήματι ὁ Νέστωρ πρὸς Μενέλαον αὐτὸν στέλλων. οὐχ ὅτι προήκουσέ τι, ἀλλ' ὅτι νεωστὶ ὁ ἥρως ἐπανεληλύθει. εἰς Μενέλαον δὲ ἀντὶ τοῦ πρὸς Μενέλαον, ὡς "εἰς Ἀγαμέμνονα δῖον ἄγον." M. εἰώθασιν οἱ πολλοὶ ὅταν μηδὲν ἔχωσιν ὠφελῆσαι, καὶ παρ' ἄλλων μαθεῖν κωλύειν. ὁ δὲ Νέστωρ οὐ τοιοῦτος. δεῖ γὰρ τὸν συνετὸν ἄλλοις ἄλλων μαθημάτων παραχωρεῖν. H.Q.R.

319. ὅθεν οὐκ ἔλπετό γε θυμῷ] ὅθεν οὐκ ἄν τις προσδοκήσαι σωθῆναι, ἐκεῖνος δηλονότι, ὅντινα πρῶτον ἀποσφήλωσιν ἄελλαι. Q.

320. ἀποσφήλωσιν] ἀποσφαλῆναι καὶ ἀποκρουσθῆναι ποιήσουσιν ἐν αὐτῷ τῷ ἔτει. E.

321. ὅθεν τέ περ οὐδ' οἰωνοί] ὑπερβολικῶς τοῦτό φησιν. ἐπάγει οὖν "πεμπταῖοι δ' Αἴγυπτον" (ξ, 257.) H.M. τῇ ταχυτῆτι δὲ τοῦ ζῴου πρόσεστι καὶ μῆκος χρόνου ὑπὲρ τοῦ ἐμφῆναι τὸ διάστημα. τὸ δὲ ὅλον ἐν ὑπερβολῇ, καὶ ὅτι ἀκμὴν ξενικὰ ταῦτα τὰ χωρία τοῖς Ἕλλησιν. H.M.Q.

1. ἡ om. Q.R.
κεῖθεν] κἀκεῖθεν Q.
δ' et τε addidi ex M.
2. ἦλθεν M. ἐστιν H.Q.R.
5. δεύω Maius pro τυδεύω.
22. προσδοκήσαι scripsi pro προσδοκήσῃ.
23. ἀποσφαλῆναι Buttm. ἀποσφαλῶσιν ἀποσφαλῆναι E.
26. ὑπερβολικῶς τοῦτό φησιν] Hæc etiam in Q.
27. οὖν om. H.
ταχυτῆτι δὲ τοῦ] ταχύτητι τοῦ Q. δὲ om. etiam H.
29. καὶ ὅτι M. ὅτι καὶ H.Q.

322. αἰτόετες] δι' ὅλου τοῦ ἔτους διὰ τὸ πολὺ τὴν ὁδοιπορίαν ἀναβαλλόμενοι. Ε.

324. πάρα τοι δίφρος τε] δίφρος λέγεται παρὰ τὸ δίο φέρειν, ὧν ὁ ἕτερος παραβάτης, ὁ δὲ ἕτερος ἡνίοχος, τραπέντος τοῦ υ εἰς ι. παρὰ δ' Αἰγυπτίοις τρεῖς ἵσταντο, διὸ καὶ τριστάται ἐλέγοντο. Ε. 5

325. ἔσονται] γράφεται καὶ, ἕπονται. Β.

327. αὐτὸν] Ἀρίσταρχος, αὐτός, οὐκ αὐτόν. Η.

328. ψεῦδος] ἐναντίον ἐστὶ τοῦτο τῷ "ἴσκε ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὅμοια·" καὶ γὰρ πεπνυμένος ὑπόκειται· ἡ δὲ λύσις ἐκ τοῦ καιροῦ. τὸ γὰρ κατὰ καιρὸν κατεπείγοντα ψεύδεσθαι, τοῦτο φρόνησιν 10 εἶναι φασίν. Η.

329. κνέφας] ἀπὸ τοῦ κενὸν φάους εἶναι νέφας καὶ κνέφας. Ε.

332. τάμνετε μὲν γλώσσας] ἔθος ἦν τρεπομένοις πρὸς τὸ καθεύδειν τῶν ἱερείων τὰς γλώσσας ἀποτέμνειν καὶ καίειν τοῖς θεοῖς τοῖς λόγου ἐπιμελομένοις. διὸ καὶ ἐπὶ μόνης τῆς Νέστορος θυσίας εἴρη- 15 ται τὸ ἔθος. εὔηθες γὰρ τὸ λέγειν, σύντεμε τοὺς λόγους. λέγεται δὲ Ἀττικὸν εἶναι τὸ ἔθος λαβὸν τὴν ἀρχὴν ἐντεῦθεν. V.

Ἀπορία. διὰ τί τοῖς θεοῖς ἀπένεμον τὰς γλώσσας; Λύσις. οἱ μὲν ὅτι κράτιστον τῶν μελῶν ἡ γλῶσσα, οἱ δὲ ὅτι δεῖ τὰ ἐν συμποσίοις λεχθέντα τηρεῖν. ὅθεν καὶ παροιμία "μισῶ μνάμονα συμπόταν." Β. 20

ἵνα ἄλαλος φανῇ ὁ Τηλέμαχος τῷ Μενελάῳ. ἔθος ἦν τοῖς Ἕλλησι τὰς γλώσσας τῶν ἱερείων ἀποτέμνειν καὶ καίειν τοῖς θεοῖς αὐτῶν. Ε.

Ἄλλως. τετραχῶς λέγεται. τὰς γλώσσας γὰρ τῷ Ἑρμῇ ἀνετίθουν ὡς ἐφόρῳ τοῦ λόγου. καὶ ὅτε ἔμελλον κοιμηθῆναι, ἔθυον γλώσσας δεικνύντες ὅτι τῆς ἡμέρας παρελθούσης οὐ χρὴ ἔτι λαλεῖν, ἀλλὰ 25

5. τριστάται] Vide Hesychii interpretes s. h. v. BUTTM.

6. ἕπονται] Sic est in M.

13. τοῖς λόγου Buttm. pro τοὺς λόγους. "Verba τοῖς λόγου ἐπιμελομένοις non ad deos pertinere, sed cohærere Ἔθος ἦν τοῖς λόγου ἐπιμελομένοις, certissimum est tum ex sententia, tum ex eo quod sequitur. διὸ καὶ etc.: ut sane melius, quamvis vel sic non optime, struerentur sic verba: Ἔθος ἦν τοῖς λ. ἐπιμελομένοις, τρεπομένοις—. Deinde ex corrupto σύντεμε quam facile rectum fit συνέτεμε, sic non συντέμετε cum Buttmanno scribendum esse, monstrat quod præcedit εὔηθες γὰρ τὸ λέγειν. Erant qui sic *dicerent*: συνέτεμε ὁ Νέστωρ τοὺς λόγους. Quodsi referre voluisset scholiastes, quam absurde imperativam sententiam τάμνετε γλώσσας quidam *exponerent*, alio verbo hoc dixisset quam λέγειν: quin istos ipsos puto dicturos fuisse συντέμνετε. Postremum, ἐντεῦθεν est *hinc, ex hoc ritu Nestoris*." HEINRICH. ap. Buttm.

17—19. Conf. schol. ad v. 341.

17. λαβὸν] λαβόντων V.

24. ὅτε] ὅταν E.

καιρὸν ποιεῖσθαι ὕπνου μετὰ τὸ δειπνῆσαι τὴν νύκτα, καὶ ὅτι τὰ ἐν συμποσίῳ ᾀδόμενα οὐ χρὴ τῇ ἐπαύριον ἐν τῷ μεμνῆσθαι ἐκείνων λέγειν πρὸς ἄλλους, ἀλλὰ σιωπᾶν ταῦτα. διὸ καί τις σοφὸς "μισῶ μνάμονα συμπόταν." καὶ ὅτι τὰ μυστικὰ καὶ θεοῖς ἁρμόζοντα οὐ χρὴ πρὸς τοὺς ἀμυήτους καὶ ἰδιώτας λέγειν ἀνθρώπους. καὶ ὅτι τὸ κάλλιστον τοῦ ἱερείου ἡ γλῶσσα, τὸ δὲ κάλλιστον τοῖς θεοῖς ἀνετίθουν. διὸ καί τις εἶπε πρός τινα σοφὸν, τί κρεῖττον ἐκ τῶν μερῶν ὅλων τοῦ ἱερείου; ὁ δὲ εἶπεν, ἡ γλῶσσα. καὶ αὖθις, τί χεῖρον; καὶ ἔφη πάλιν τὴν γλῶσσαν, ὡς ποτὲ μὲν ὕμνοις θείοις καὶ ἀγαθοῖς λόγοις χρωμένην, ποτὲ δὲ βλασφήμοις καὶ ὕβρεσι καὶ λοιδορίαις. E.

Ἄλλως. ἀλληγορικῶς, τάμνετε, ἀντὶ τοῦ παιδεύετε τὰς γλώσσας ὥστε μὴ κακολογεῖν. ἢ παραθήγετε εἰς τὸ τοὺς θεοὺς ὑμνεῖν. πρὸ γὰρ τοῦ κοιμηθῆναι δεῖ ψάλλειν. Ἀντίπατρος δὲ ὅτι χρὴ αὐτὴν παύειν πρὸς κοίτην ἰόντας. Πορφύριος δὲ, ὡς ἐπὶ μαρτύρων τῶν θεῶν διελέγοντο. ὥσπερ κατὰ τὸ οὖς τῶν ἐκπωμάτων ἔσπενδον ὀττευόμενοι τὰς ἀκοὰς τῶν θεῶν, οὕτω καὶ τὰς γλώσσας ἔβαλλον ὀττευόμενοι τὰ ῥηθέντα πρὸς θεούς. οἱ δὲ ὅτι τοῖς χθονίοις τὰς γλώσσας ἀπήρχοντο, τοὺς βλασφήμους λόγους καὶ τὰς λοιδορίας ἐξ αὐτῶν διὰ τούτων ἐκκαθαίροντες. E.

334. κοίτοιο] ἀρσενικῶς εἶπε τὴν κοίτην. Q.

335. ἤδη γὰρ φάος οἴχεθ' ὑπὸ ζόφον] ἡρωϊκὸν πρόσωπόν ἐστι τὸ λέγον. ὁ δὲ ποιητὴς εἰς ὠκεανὸν τὴν δύσιν καὶ ἐξ ὠκεανοῦ τὴν ἀνατολήν φησι γίνεσθαι. M.Q.R. Ζηνόδοτος, ᾤχετο. H.

336. οὐδὲ ἔοικε . . . . . θαασσέμεν] τοῖς γὰρ ἐπουρανίοις θεοῖς μεθ' ἡμέραν θύειν καλόν. διόπερ καὶ τὰς δειλινὰς θυσίας οἱ μάντεις παραιτοῦνται, ἡλίου δ' ἀνίσχοντος ἐπιτελοῦσιν. M.Q.R.

ἐν μὲν ταῖς ἑορταῖς καὶ παννυχίζειν εἴθιστο, ἐν δὲ θυσίαις οὐχ ἁρμόττον ἐδόκει ἐπιδιατρίβειν νύκτωρ πίνοντας μή τι καὶ τοῦ πότου προκόπτοντος συμβαίη ἄτοπον. H.M.Q.

νέεσθαι] εἰς ὕπνον, ἢ εἰς τὸ θῦσαι. E.

4. μνάμονα συμπόταν scripsi hic (ubi μνάμονα συμποτήν E.) et p. 152, 20. (ubi μνήμονα συμπόταν B. quod est in omnibus p. 154, 13., nisi quod H. συμπόταν cum η superscripto.)

13. χρὴ αὐτὴν—κοίτην] χρῆν αὐτὴν ἔφη πείθεσθαι πρὸς μῆτιν E. Correctum ex scholio ad v. 341.

15. ὀττευόμενοι Buttm. pro ὀπτευόμενοι.

23. γίνεσθαι M. γενέσθαι Q.R. "Vide exemplis hoc probantem scholiasten ad μ, 3." BUTTM.

28. καὶ] κατὰ Q.

337. ἔκλυον] ὑπήκουσαν. κλύειν γὰρ τὸ ἁπλῶς ἀκούειν καὶ τὸ ὑπακούειν. Ε. ἡ ἐκ καὶ ἡ εἰς ἐπὶ ἀψύχου, εἰς πόλιν καὶ ἐκ πόλεως· ἡ δὲ ἀπό καὶ ἡ πρός ἐπὶ ἐμψύχου· ἡ δὲ παρά δηλοῖ καὶ τὴν πρός καὶ τὴν ἀπό. Ε.

341. γλώσσας δ' ἐν πυρὶ βάλλον] ἐζήτησαν διὰ τί τοῖς θεοῖς ἀπένεμον τὰς γλώσσας. οἱ μὲν ἐνόμισαν, ὧν ἐστι Λέανδρος ἢ Ἀρητάδης, κατὰ πατρῷον ἔθος Ἰώνων. ἔστι γὰρ πάτριον ἔθος Ἰώνων. Ἀπίων δὲ ὅτι κράτιστον τῶν μελῶν ἡ γλῶσσα, τὰ δὲ κράτιστα τοῖς θεοῖς ἀπένεμον. οἱ δὲ ὅτι δεῖ παύειν αὐτὴν εἰς κοίτην ἰόντας· ὅθεν καὶ τῷ Ἑρμῇ πυμάτῳ σπένδεσκον (Od. η, 138.). οἱ δὲ ὅτι δεῖ τὰ ἐν συμποσίοις λεχθέντα τηρεῖν ἐχεμυθοῦντας· ὅθεν καὶ παροιμία "μισῶ μνάμονα συμπόταν." ἢ ὅτι τὰ ῥηθέντα τοῖς θεοῖς ἀνετίθεσαν· ὡς ἐπὶ μαρτύρων γὰρ θεῶν διελέγοντο. ἀμέλει καὶ κατὰ τὸ οὖς τῶν ἐκπωμάτων ἔσπενδον τὴν ἀκοὴν τῶν θεῶν οἰωνιζόμενοι· οἱ δὲ διὰ τοῦ καίειν τὰς γλώσσας ἐδόκουν αὐτὰς καθαίρειν τῶν βλασφημιῶν. οὕτω καὶ τὰς γλώσσας ἔθυον ὀττευόμενοι τὰ ῥηθέντα εἰρῆσθαι πρὸς θεούς. καὶ γὰρ τοῖς χθονίοις θεοῖς ταύτας ἀπήρχοντο, τοὺς βλασφήμους λόγους καὶ τὰς λοιδορίας ἐξ ἑαυτῶν διὰ τούτων ἐκκαθαίροντες. H.M.Q.R.

4. Conferantur scholia ad 332. Ex utroque scholio composita quæ leguntur in T. γλώσσας δ' ἐν πυρὶ βάλλον] . . . . . ἀλλὰ καὶ οἱ Ἴωνες τοῦτο ἐποίουν. ζητήσειεν ἄν τις . . . Ἀπίων δὲ ὅτι ἡ γλῶσσα κράτιστον ἐν ζῴῳ, τὰ δὲ κράτιστα τοῖς θεοῖς ἀπένεμον. Ἀντίπατρος δὲ ὅτι χρὴ αὐτὴν πείθεσθαι πρὸς κοίτην ἰόντας. Πρώταρχος (corrigendum Πλούταρχος, quem v. Moral. p. 612 D.) ὅτι χρὴ ἐκ τοῦ συμποσίου ἐχεμυθεῖν, ὅθεν καὶ παροιμίαν λέγεσθαι, μισῶ μνάμονα συμπόταν. ἡμεῖς δὲ ὅτι τὰ ῥηθέντα τοῖς θεοῖς ἀνετίθεσαν· ὡς γὰρ ἐπὶ μαρτύρων τῶν θεῶν διελέγοντο, ὥσπερ καὶ κατὰ τὸ οὖν τῶν ἐκπωμάτων ἔσπενδον ὀττευόμενοι τὰς ἀκοὰς τῶν θεῶν, οὕτως καὶ τὰς γλώσσας ἔβαλλον ὀττευόμενοι τὰ ῥηθέντα εἰρῆσθαι πρὸς τοὺς θεούς. οἱ δὲ ὅτι τοῖς χθονίοις καὶ γλώσσας ἀπήρχοντο, τοὺς βλασφήμους λόγους καὶ τὰς λοιδορίας ἐξ ἑαυτῶν διὰ τούτων ἐκκαθαίροντες. οἱ δὲ ὅτι τῷ Ἑρμῇ "πυμάτῳ σπένδεσκον, ὅτε μνησαίατο κοίτου" (Od. η, 138.) διὰ οὖν καὶ τὰς γλώσσας λόγῳ ἐκάρπουν.

5. οἱ μὲν—πατρῷον ἔθος Ἰώνων om. M.

Λέανδρος H.R. λεάνδρου Q. "Vide an huc faciat Leander vel Leandrius Milesius, de quo vid. Voss." BUTTM.

Ἀρητάδης Cobetus pro Ἀρκτιάδης. Aretades memoratur ab schol. Il. ω, 110., Euseb. Præp. Ev. 10, p. 467. Nomen in Ἀρπάδης vel Ἀρπτάδης corruptum ap. Alciphr. 3, 56. correxit Meinekius. Verba proxima κατὰ πατρῷον—πάτριον ἔθος Ἰώνων aut dittographia aut lacuna laborant.

6. γὰρ] δὲ M.

Ἀπίων—ἀπένεμον om. M.

8. οἱ δὲ] οἱ μὲν M.

12. ἀμέλει—οἰωνιζόμενοι om. R.

13. διὰ τοῦ H. διὰ τὸ H.Q.R.

14. αὐτὰς] αὐτοὺς M.

οὕτω—ἐκκαθαίροντες om. M.

15. ἔθυον addidi ex H. ἔβαλλον est in schol. ad v. 332.

ὀττευόμενοι H.R. ὀπτευόμενοι Q.

16. ταύτας] ταῦτα R.

345. καθαπτόμενος] παρακαλῶν, φιλοφρονούμενος. σημείωσαι τὸ καθαπτόμενος ἐπὶ καλοῦ. E.

346. Ζεὺς τόγ' ἀλεξήσειε] τὸ ὑμᾶς χωρισθῆναι ἀπ' ἐμοῦ ὡς πενιχροῦ ἢ ἀνελευθέρου. V. τὸ ὑμᾶς χωρισθῆναι ἀπ' ἐμοῦ. ἰδίως δὲ πέφρακε. βούλεται γὰρ εἰπεῖν, ἀλεξήσαι ὁ Ζεὺς τὸ ἐπὶ νεὼς αὐλισθῆναι ἐᾶσαι ὑμᾶς. H.Q. ὑπερβατόν· ἵνα ὑμεῖς παρ' ἐμεῖο θοὴν ἐπὶ νῆα κίοιτε, Ζεὺς τό γ' ἀλεξήσειε. H. 5

347. παρ' ἐμεῖο] λείπει τὸ ἑαθέντες. B.

348. ἀνείμονος ἠὲ πενιχροῦ] ἄλλο πενιχροῦ καὶ ἄλλο ἀνείμονος. πενιχροῦ μὲν τοῦ εὐτελῆ τινα ἔχοντος, ἀνείμονος δὲ τοῦ κἂν ἱματίων ἀποροῦντος. E. 10

πενιχροῦ] ὥστε παρά τινος πτωχοῦ, ἵνα ἑαθῆτε ἀπελθεῖν ἐπὶ τὴν νῆα. B.

349. ᾧ οὔτε χλαῖναι] αἱ Ἀριστάρχου "ᾧ οὔτι," αἱ δὲ φαυλότεραι "ᾧ οὔτε." Ζηνόδοτος δὲ "ᾧ οὔπερ χλαῖναι καὶ κτήματα πόλλ' ἐνὶ οἴκῳ," ἀκαίρως. M. 15

ῥήγεα] οὐχ ἁπλῶς τὰ ἱμάτια, ἀλλὰ τὰ βαπτὰ ἱμάτια καὶ περιβόλαια. ῥῆξαι γὰρ οἱ παλαιοὶ ἔλεγον τὸ βάψαι. E.M.Q.V.

352. οὔ θην δὴ τοῦδ' ἀνδρὸς] δεικτικῶς τὸ τοῦδε· ὁ φίλος τοῦδε δεικτικῶς ἀντὶ τοῦ, ἐμοῦ· ἢ ἀναφορικῶς τὸ τοῦδε ἐπὶ Ὀδυσσέως ἀκουστέον. Q. ἤτοι ἀναφορικῶς, τοῦ Ὀδυσσέως, ἢ δεικτικῶς τοῦδε τοῦ ἀνδρὸς, ἀντὶ τοῦ, ἐμοῦ. M.V. 20

353. νηὸς ἐπ' ἰκριόφιν] ἐπὶ τῶν καταστρωμάτων καὶ σανιδωμάτων τῆς νεώς. B.V.

ἰκρίον λέγεται ὁ ἱστός. λέγεται ἰκρία καὶ τὰ κεκυρτωμένα ξύλα ἐν τοῖς πλευροῖς ὄντα τοῦ πλοίου, ἐν οἷς προσήλωνται αἱ σανίδες. ἰκρία λέγεται καὶ τὰ κατεστρωμένα σανίδια ἐν τῷ σανδαλίῳ, οἷά εἰσι τὰ τῶν ἰχθυβόλων. ἐπίκριον δὲ λέγεται τὸ κερατάριον ἀπὸ τοῦ ἐπὶ τῷ ἰκρίῳ ἤγουν τῷ ἱστῷ εἶναι. E. 25

360. ἐγὼ δ' ἐπὶ νῆα μέλαιναν εἶμι] οἰκονομικῶς. ἑώρα γὰρ ὁ ποιητὴς ὅτι οὐκ ἦν πιθανὸν οὐδὲ εὐσεβὲς διόλου παρεῖναι τὴν Ἀθηνᾶν 30

5. ὁ Ζεὺς H. ὅτι Q.
17. οὐχ ἁπλῶς—ἀλλὰ om. E.Q.V. Conf. schol. ζ, 38.
βαπτὰ M. βεβαμμένα ceteri.
18. ἔλεγον post βάψαι E.Q.V.
21. δεικτικῶς τοῦδε τοῦ ἀνδρὸς] τοῦδε ἀνδρὸς δεικτικῶς V.
25. ἰκρίον—ὁ ἱστός] Conf. schol. ο, 283. BUTTM.
30. ἑώρα addidi ex M.

τῷ Τηλεμάχῳ· ἀλλ' οὐδὲ πρὸς Μενέλαον ἐλθεῖν εὐπρεπὲς παρθένου θυομένων γάμων. ἵνα δὲ μὴ ἐπιζητῶμεν ποῦ ὁ Μέντωρ, ἐπάγει, "ἀτὰρ ἠῶθέν γε μετὰ Καύκωνας." M.Q.

361. ἀλλ' ἄλλοι] γρ. καὶ, οἱ δ' ἄλλοι. P.

362. οἶος γὰρ] οἰκειοτάτη ἡ πρόφασις, ὅτι νέοι πάντες οἱ συνεσταλμένοι Τηλεμάχῳ, παραθαρσῦναι δὲ χρὴ τούτους. M.

οἶοσι] ἀντὶ τοῦ οἶος. τὸ δὲ ι ἐπέκτασις. B.

γεραίτερος] ἀντὶ τοῦ ἁπλοῦ τοῦ γεραιός. κακῶς δὲ Ζηνόδοτος γεραίτερος γρ. M.

363. φιλότητι] φιλίας τρόπῳ ἕπονται τῷ Τηλεμάχῳ ἐν ὁμηλικίῃ. B.

364. ὁμηλικίῃ] ἀντὶ τοῦ ὁμήλικες. H.

366. μετὰ Καύκωνας] νῦν τῶν ἐν Ἀρκαδίᾳ μέμνηται. οὐκέτι δὲ ἡ Ἀθηνᾶ πρὸς τὸν Μενέλαον σὺν τῷ Τηλεμάχῳ ἀφικνεῖται διότι γάμοι ἐπετελοῦντο υἱοῦ καὶ θυγατρὸς Μενελάου. ἀλλοτρία δὲ τούτων ἡ Ἀθηνᾶ. E.V.

παραιτεῖται τὴν εἰς Λακεδαίμονα ἄφιξιν, διότι γάμους οἶδεν αὐτόσε γινομένους, ὧν ἀλλότριός ἐστιν ὁ δαίμων. Q.

Ἄλλως. μεταξὺ τῆς Ἠλείας καὶ Πύλου οἱ Καύκωνες οἰκοῦσιν ἐν τῇ Τριφυλίᾳ ἀπὸ Καύκωνος τοῦ Ἀρκάδος ὠνομασμένοι. εἰσὶ δὲ καὶ ἄλλοι ἐν Παφλαγονίᾳ οἱ τοῖς Τρωσὶ συμμαχίαν πέμψαντες. "καὶ Λέλεγες καὶ Καύκωνες" (Il. κ, 429.). E.Q.

πῶς ψευδῶς εἶπεν ἡ Ἀθηνᾶ; οὐκ ἔστι τοῦτο μεμπτὸν, ἀλλ' οἰκονομικόν. εἰ μὴ γὰρ οὕτω εἶπεν, οὐκ ἂν εἰάθη παρὰ τοῦ Νέστορος ὑποχωρῆσαι, καὶ οὕτως οὐδὲ ἐφάνη τίς ἦν, εἰ μὴ ὑπεχώρησεν. ἔλεγε γὰρ ὄπισθεν ὁ Νέστωρ τῷ Τηλεμάχῳ "εἴ σ' οὕτως φιλέει" (218.), τῷ Τηλεμάχῳ ὡς πατρὶ αὐτοῦ. καὶ νῦν μέλλει δεῖξαι αὐτὴ ὅτι προφανῶς αὐτῷ συνέπεται ὡς τῷ πατρί. καὶ ἅμα ποιῆσαι θέλει πλείονα τὸν Τηλέμαχον προσφιλῆ τῷ Νέστορι. εἰ γὰρ ὡς ἄνθρωπος ὑπεχώ-

1. παρθένον M. Legebatur παρθένων.

2. γάμων addidit Cobetus. Conf. schol. ad v. 366.

7. οἶοσι] Nescio unde natum monstrum hoc lectionis, nisi est corruptum e scholio ad vocem τοῖσι (οἶος γὰρ μετὰ τοῖσι;) quod ipsum tamen mirarer. BUTTM.

9. γεραίτερος] Aliud quid scripserat Zenodotus, fortasse γεραίτατος, quod etiam Cobetus conjecit.

26. φιλέει] Deesse hic aliquid videtur. BUTTM.

ρησεν, οὐκ ἂν ταῦτα οὕτως ἐγένετο, καὶ οὐδ' αὐτῇ θυσίαν ἐποίησεν ὁ Νέστωρ. E.

367. ἔνθα χρέος] ὅσον γὰρ παρέρχεται ὁ καιρὸς αὐξάνει τὸ χρέος. E.

ἔνθα χρεῖός μοι] Ἀρίσταρχος χρείως. δύναται δὲ καὶ χρεῖος διὰ τοῦ ō μικροῦ. αἰσχρὸν γὰρ τὸ δοκεῖν διὰ βραχὺ ἀργύριον ἀπαλλάττεσθαι. H.M.

368. ἐπεὶ τεὸν ἵκετο δῶμα] Ζηνόδοτος, ἐπεὶ τὰ σὰ γούναθ' ἱκάνει. H.Q.V.

369. δὸς δέ οἱ ἵππους] ὑπὲρ τοῦ θᾶττον διανυσθῆναι τὴν ὁδόν· ἐν μεσογείῳ γὰρ ἡ Λακεδαίμων. H.

372. φήνῃ εἰδομένη] εἶδος ὀρνέου ὅμοιον ἀετῷ. θαυμάζει δὲ ὁ γεραιὸς ὅτι νέῳ ὄντι τῷ Τηλεμάχῳ συνηκολούθησεν ἡ Ἀθηνᾶ. H. εἶδος ὀρνέου ἀετῷ ὅμοιον ὀξυπετεῖ φαιδρῷ προσαρμόζοντι τῇ Ἀθηνᾷ. φαεινὸν γὰρ ὡς ἀπὸ τοῦ φαίνω γινόμενον· καὶ ἡ Ἀθηνᾶ ἤγουν ἡ φρόνησις φαεινοτάτη καὶ λαμπροτάτη ἐστίν. ὥσπερ καὶ τῷ Ἀπόλλωνι ἤτοι τῷ ἡλίῳ ἀνετέθη ὁ κύκνος διὰ τὸ μουσικὸν καὶ λαμπρὸν καὶ λευκόν. ἐνταῦθα δὲ μυθικῶς λεκτέον. E.

ἕλε πάντας Ἀχαιούς] Ἀχαιοὺς, ἤτοι τοὺς Πυλίους, οὐ τὸν Νέστορα. οἱ μὲν γὰρ Πύλιοι ἐξεπλάγησαν, Νέστωρ δὲ οὐ τοῦτο θαυμάζει, ἅτε δὴ πολλὰς ἐπιφανείας θεῶν ἑωρακώς, ἀλλ' ὅτι νεωτέρῳ τῷ Τηλεμάχῳ συνηκολούθησεν Ἀθηνᾶ. E.M.Q. ὑπὲρ τοῦ πιστεῦσαι τοῖς λεγομένοις τοὺς ἀκούοντας ἐκφανῆ ποιοῦσαν ἑαυτὴν παρεισάγει τὴν θεόν. M.

πάντας ἰδόντας] γράφεται Ἀχαιούς. E.H.

375. οὔτις ἔολπα] γρ. οὔ σε ἔολπα. P.

378. ἀλλὰ Διὸς θυγάτηρ] στοχάζεται ἀφ' ὧν καὶ ἐν Ἰλιάδι παρηκολούθησεν. ἀναγκαία δὲ νῦν ἡ περὶ τὸν θεὸν ἐπιφάνεια, ἵνα καὶ ὅταν Ὀδυσσεὺς ἐν τῷ πρὸς Τηλέμαχον ἀναγνωρισμῷ λέγῃ "αὐτάρ τοι τόδε ἔργον Ἀθηναίης ἀγελείης" (π, 207,), πιστεύοι ὁ νέος προκατηχημένος ὑπὸ τοῦ Νέστορος ὅτι φιλεῖ τὸν Ὀδυσσέα ἡ Ἀθηνᾶ. Q.

14. ὀξυπετεῖ φαιδρῷ] Nescio unde huc illata sint duo hæc verba poetica, quæ hexametrum inchoant, quorumque prius lexicis etiam ignotum est. BUTTM.

20. γὰρ om. M.

22. συνηκολούθησεν Ἀθηνᾶ] παρεῖη ἡ (ἡ om. E.) θεός E.M.

25. Ἀχαιούς] Hoc M. in textu habet, in marg. a m. recentissima γρ. ἰδόντας.

κυδίστη Τριτογένεια] Τριτογένεια ἡ φρόνησις, καθὸ τρίτον γένος ἤτοι καθόλου τῆς ψυχῆς, τριμερὴς γὰρ ἡ ψυχή. ἢ ἀπὸ τοῦ τρεῖν καὶ φοβεῖσθαι τοῖς ἐναντίοις παρέχουσα· ἢ διὰ τρία ταῦτα, διὰ τὸ εὐλογίζεσθαι, διὰ τὸ λέγειν καλῶς, καὶ διὰ τὸ πράττειν ἃ δεῖ. ἢ ὡς ἐκ τριῶν συναυξηθεῖσα, βροντῆς, Διὸς καὶ Τρίτωνος. ἢ ὅτι λέγεται ἡ τριτὼ κεφαλὴ κατ' ἐγχώριον διάλεκτον ὡς ἐκ τριτοῦς, ἤτοι κεφαλῆς, τοῦ Διὸς γεννηθεῖσα. E.

ἀγελείη] ὁ δὲ Ζηνόδοτος, κυδίστη. H.M.

380. ἵληθι] ἀπὸ τοῦ ἵλημι. διὰ δὲ τὸ μέτρον ἐκτέταται ἡ παραλήγουσα, ὡς ἐν τῷ "δίδωθι δέ μοι κλέος ἐσθλόν." ὑγιῶς οὖν Καλλίμαχος ἔκλινεν "ἵλαθί μοι, φαλαρῖτι πυλαιμάχε." H.M.Q.R.

Ζηνοδότος ἀλλὰ ἄνασσ' ἐλέαιρε. H.M.

382. βοῦν ἧνιν] ἑνὸς χρόνου. παρακολούθημα τοῦτο πᾶσι βουσὶ, βοῦν ἧνιν. τὰ ἄλογα μέρη τῆς ψυχῆς λέγει. E.

ἧνιν] ἐνιαύσιον. Q.

383. ἀδμήτην] ἑφερμηνευτικὸν καὶ διασαφητικόν. E.

390. τοῖς δ' ὁ γέρων] ἀπηλλάττοντο μὲν ὡς ἐπὶ κοίτην· διὰ δὲ τὴν ἐπιφάνειαν τῆς θεᾶς ἐδέησεν αὐτὸν κρατῆρα στῆσαι. M.Q.

ἀνὰ κρητῆρα κέρασσεν] ἤτοι ἐκ δευτέρου ἐκέρασεν. ἐκέρασε γὰρ ἤδη αὐτοῖς καὶ πρῶτον. B.

391. ἑνδεκάτῳ ἐνιαυτῷ] ἀμφίβολον, κἄν τε δεκάτῳ, κἄν τε ἑνδεκάτῳ E.

392. τὸ σχῆμα σεμνοπρεπές. P.

ὤϊξεν ταμίη] ἡ ὑπηρέτις ἤνοιξεν οὐ διὰ τοῦ πώματος, ἀλλὰ διὰ τῆς ὀπῆς, ἥτις ἐν ἑκάστου πίθου πώματι ὑπάρχει. M.

ὤϊξε] τὸ ι προσγεγραμμένον· ἐξεφωνήθη δὲ καὶ τὸ ι. E.

6. τριτὼ—] Ex M. enotata verba τριτὼ γὰρ παρὰ Βοιωτοῖς ἡ κεφαλή.

8. ὁ δὲ om. M. In P. nihil præter γρ. κυδίστη.

11. φαλαρῖτι] φαλάριτι H. φιλάριτι M. φάλαρί τε Q. φαλαρίτε R.

πυλαιμάχε M. πυλεμάχε H.R. πυλημάχε Q. "Vox πυλημάχος a Stesichoro usurpata fuit in verbis ab Athenæo 4. p. 155. servatis αὐτόν σε Πυλαμάχε πρῶτον, quæ ad *Martem* referenda esse collato schol. Il. ε, 31. docuit Lobeck. in Diss. de Product. Syllab. Videntur itaque verba supra allata esse ex hymno Callimachi aliunde quidem ignoto in Martem: cf. ejusdem Hymn. in Cererem extr. Quare pro φάλαρί τε conjicio fuisse φαλαρῖτα, quod vocabulum ad formam notissimi ὁπλίτης formaverit poeta." BUTTM.

12. Ζηνόδοτος, ἀλλὰ] τὸ (sic) M.

18. κρατῆρα] κρητῆρα Q.

21. ἀμφίβολον] Amphibolia est in his, ἑνδεκάτῳ et ἐν δεκάτῳ. BUTTM.

κρήδεμνον] τοῦ πίθου τὸ πῶμα μεταφορικῶς· λέγεται γὰρ καὶ ἐπὶ τειχῶν πόλεων. B.E.Q.

393. πολλὰ δ' Ἀθήνῃ] ἐνταῦθα διὰ τὴν ἐπιφάνειαν καὶ ἐπίκλησιν τῆς Ἀθηνᾶς αὖθις μετὰ τὸ καὶ τὰς γλώσσας ἐκτεμεῖν παριστᾷ ὁ ποιητὴς τοὺς περὶ τὸν Νέστορα πίνοντας, ἀλλὰ καὶ αὐτὸν, ἐπεὶ οὐδέ- 5 ποτε μετὰ τὸ τὰς γλώσσας θῦσαι ἤσθιον ἢ ἔπινον, ἀλλ' εὐθὺς εἰς ὕπνον ἐτρέποντο. M.

394. ἀποσπένδων] γρ. ἐπισπένδων. Q.

395. ὅσον ἤθελε θυμὸς] οὐ κατὰ κόρον, ὕβρις γὰρ τοῦτο, ἀλλ' ὅσον ἤθελεν ὁ θυμὸς, ἤτοι ἤρκει αὐτοῖς. E. 10

396. κακκείοντες] κοιμηθησόμενοι· ἐνεστὼς δὲ ἀντὶ μέλλοντος· κείω γὰρ τὸν μέλλοντα οὐκ ἔχει, ὥσπερ καὶ τὰ ἄλλα ὅμοια, καὶ χρῆται τῷ ἐνεστῶτι ἀντὶ μέλλοντος. E.

399. ὑπ' αἰθούσῃ ἐριδούπῳ] αἴθριος, ἄστεγος· καὶ αἴθουσα, ὁ ἐξ ἀέρος τόπος καὶ ὑψηλός· διὸ καὶ ἐρίδουπος λέγεται. B. τῇ πρὸς 15 ἥλιον τετραμμένῃ στοᾷ, παρὰ τὸ αἴθεσθαι ἐν αὐτῇ φῶς, ὅ ἐστι καίεσθαι. ἐριδούπῳ δὲ μεγάλους ἤχους ἀποτελούσῃ, ὑπὸ ἀνέμων κατακρουομένῃ καὶ ἠχούσῃ· ἢ τῇ μεγάλως ἠχούσῃ, ἐάν τις ἐντὸς ταύτης φωνήσῃ. E.Q.V. ὑπὸ τῇ ἐξωτάτω ἐν μεγάροις οἰκήσει. P.

400. 401. οἱ ἄλλοι γυναῖκας ἔχουσι. διόπερ οὐ συνιδὼν ὁ Ζηνό- 20 δοτος τὸ φιλότεκνον τοῦ ποιητοῦ τοὺς δύο στίχους περιέγραψεν. H.M.Q.R.

401. ὅς οἱ ἔτ' ἠΐθεος] νέος, ἄζυξ. Gl. H. ὁ ἀπὸ ιε' ἐτῶν ἕως ιη' ἠΐθεος λέγεται. ἔστι δὲ ὁ ἄγαμος. H. ἠΐθεος ὁ μὴ ἐλθὼν εἰς γάμον. λέγεται δὲ ὁ ἀπὸ τεσσαρεσκαίδεκα ἐτῶν ἄχρι τῶν ὀκτωκαί- 25 δεκα φθάσας ἠΐθεος, διὸ καὶ τοὺς θεοὺς μὴ εἰς γάμον ἔρχεσθαι· οἱ δὲ τὸ ἠΐθεος ἀπὸ τοῦ αἴθω τὸ καίω, οἱ γὰρ νέοι αἴθονται ὑπὸ τῆς θέρμης τῆς ἐκ νεότητος. E.

402. γρ. αὐτὸς δ' ἐκάθευδε. ὁ Νέστωρ. H.

1. In T. κρήδεμνον τὴν ἀλοιφὴν, τὸ πῶμα μεταφορικῶς τοῦ πίθου.

12. τὸν μέλλοντα Buttm. pro ὁ μέλλων.

13. Ex H. enotatum: ἐριδούπῳ: ὑπὸ τῇ καμ[πει] μεγάλους ἤχους διὰ τοὺς ἀνέμους ἀποτελούσῃ sup. lin. scr.

16. ἐν—καίεσθαι om. E.Q.

21. φιλότεκνον] φιλότεχνον M.Q.R.

δύο] ιβ M.

29. Conflatum videtur hoc scholium ex var. lect. mutila in qua ἐκάθευδε pro καθεῦδε (ut in cod. Vindob. 307. est αὖτ' ἐκάθευδε) εἰ glossa ὁ Νέστωρ. Nisi potius plane delenda est sigla γρ. BUTTM. Recte con-

408. ἀλείφατος] λείπει τὸ ὡς· ἔστι γὰρ ὡς ἐλαίου. M. λείπει τὸ ὡς, ὡς ἀπὸ ἀλείμματος. ἀντίστροφον τὸ σχῆμα, ἵνα ᾖ ἐφ' οἷς. B. ἡ εὐθεῖα τὸ ἄλειφαρ. ὡς ἀπὸ τοῦ ἐλαίου. γλίσχρον δὲ ὂν τὸ ἔλαιον στιλπνὸν ποιεῖ τὸ χριόμενον, οἷον τὸ μάρμαρον. E.

411. Νέστωρ αὖ τότ' ἔφιζε] διὰ τί ὁ Νέστωρ βασιλεὺς ὢν, τοῖς αὐτοῦ παισὶν ἐπιτέλλει τὰ τῶν δούλων καὶ τῶν ὑπὸ χεῖρα; φασὶν οὖν ὅτι ἁπλοϊκῶς καὶ ἀκενοδόξως τότε διέκειντο καὶ οὐκ ἔχοντες ἔπαρσιν. ἀλλαχοῦ δὲ καὶ θυγατέρες τῶν τοιούτων βασιλέων μετὰ οἰκείων χειρῶν ἔπλυναν τὰ ἱμάτια. ὥστε οὐκ ἦν αὐτοῖς εἰς ἀτιμίαν τὸ οὕτω ποιεῖν διὰ τὴν ἁπλότητα. E.

οὖρος Ἀχαιῶν] φύλαξ, ἐκ τοῦ ὅρος ὁ περιορισμός. εὐτυχία, βοήθεια, ἢ τερπνότης. E.Q.

412. σκῆπτρον] ἀπὸ τοῦ σκηρίπτω τὸ ἐπακουμβίζω. E.

υἷες ἀολλέες] εἰς τὸ εὔδαιμον τοῦ οἴκου· οὐ γὰρ ὠνητοὶ οἱ περὶ τὸν Νέστορα, ἀλλ' ὑπὸ τῶν παίδων ὑπηρετεῖται· εἰ δὲ μακαρίζομεν τοὺς ἐν ὑπηρεσίαις ἀνδραπόδων ὑπερέχοντας, ὅρα πῶς εὐδαιμονέστερος ὁ ὑπὸ τῶν υἱῶν θεραπευόμενος. Q.

ἀολλέες] ἐκ τοῦ α, ὃ δηλοῖ τὸ ὁμοῦ, καὶ τοῦ εἰλῶ τὸ συστρέφω, εἰλέες· καὶ τροπῇ τοῦ ε εἰς ο, τοῦ ι εἰς λ· ἢ τροπῇ τοῦ ι εἰς ν, τοῦ δὲ ν εἰς λ διὰ τοῦ ἑτέρου λ. E.

416. 417. Inter hos versus in marg. P. insertus est hic: Αὐτὰρ ἐπεί ῥ' ἤγερθεν ὁμηγερέες τε γένοντο.

418. καρπαλίμως] κραιπνὸς, κραιπνάλιμος, καὶ ἐξ αὐτοῦ καρπαλίμως. E. ἡδέως ἄγαν. εὐφραίνεται γὰρ ὁ πρεσβύτης ἐπιτάττων ἕκαστα τοῖς παισίν. Q.

ἐέλδωρ] ἀπὸ τοῦ ἕλω τὸ προκρίνω, ἕλωρ, καὶ κατὰ πλεονασμὸν τοῦ δ, ἐέλδωρ. E.

420. θεοῦ ἐς δαῖτα] τοῦ Ποσειδῶνος. Q.

θάλειαν] τὴν ποιοῦσαν θάλλειν τὸν θύοντα καὶ χαίρειν. οὐ γὰρ μάτην θύει, ἀλλὰ ὥστε βοηθεῖσθαι καὶ φυλάττεσθαι παρὰ τοῦ ᾧ θύει. E.

422. ἔλθῃσιν ἐπιβουκόλος ἀνήρ] ἐπὶ τούτῳ, ἤτοι σὺν τῷ ἀποστελ-

jicit scripturæ diversitatem ad αὐτὸς δ' αὖτε καθεῦδε spectare ab aliis αὐτὸς δ' αὖτ' ἐκάθευδε scriptum: quam Zenodoti scripturam fuisse videri dicetur ad ζ, 1. Sic igitur hæc scribenda αὐτὸς δ' αὖτε καθεῦδε] γρ. αὐτὸς δ' αὖτ' ἐκάθευδε. Tum sequitur glossema ad αὐτὸς adscriptum, ὁ Νέστωρ.

1. τὸ ὡς Buttm. Aberat ὡς.

λομένῳ. τὸ γὰρ ἐλαύνειν οὐκ ἐπὶ βασιλεῖ ἁρμόζει. διὸ πρόσκειται τὸ "ἐλάσῃ δὲ βοῶν ἐπιβουκόλος ἀνήρ." E.Q. ὅτι τὸ βοῶν παρέλκει καὶ μετὰ τῆς προθέσεως εἴρηται ἐπιβουκόλος. H.

424. πάντας ἰὼν ἑτάρους] Ἑλληνικώτατα, ἵνα κἀκεῖνοι τῶν ἱερῶν μετασχῶσι. M.Q. 5

425. χρυσοχόον Λαέρκεα] τινὲς τὸ λαέρκεά φασιν ὄνομα κύριον, τινὲς δὲ ἐπίθετον παρὰ τὸ ἐπαρκεῖν τοῖς λαοῖς. E.

427. εἴπατε δ' εἴσω] Ἀριστοφάνης τὸ "εἴπατε δ' εἴσω" ἀντὶ τοῦ εἰσαγγείλατε. H.Q.

430. ἐποίπνυον] μετὰ σπουδῆς ἤρχοντο· πονύω, ποπνύω, καὶ 10 ποιπνύω. E. ἐνήργουν καὶ ἐπόνουν. παρὰ τὸ πονῶ ποπνύω καὶ ποιπνύω. T.

431. νηὸς εἴσης] ἰσοτοίχου, ἰσοπλεύρου, οὐχ ἑτερορρεποῦς. E.

432. ἦλθε δὲ χαλκεὺς] ἤτοι χρυσοχόος. τοῦτο δ' εἴρηκεν, ὅτι τοῖς αὐτοῖς χρῆται ἐργαλείοις ὅ τε χαλκεὺς καὶ ὁ χρυσοχόος. E. 15

ὁ χρυσοχόος· ἀπὸ γὰρ τοῦ πρώτου φανέντος μετάλλου πάντας τοὺς δημιουργοὺς οὕτως ἐκάλουν, ὡς καὶ τὸν Ἥφαιστον, "ἦν ἄρα χαλκεὺς Ἥφαιστος ποίησεν" (Il. ο, 309.). M.Q.

433. ὅπλ' ἐν χερσὶν ἔχων] οὐδὲν γὰρ ὄφελος ἐπίστασθαι μέν, μὴ ἔχειν δ' ἐργαλεῖα. Q. 20

ἔργα (sic pro ὅπλα)] τὰ ἐργαλεῖα. V.

435. οἷσίν τε χρυσὸν εἰργάζετο] τίνα δὲ ἦν ταῦτα; δηλονότι οἷς ἐχώνευον. Q. ἤτοι τοῖς προειρημένοις, ἄκμονι, σφύρᾳ, πυράγρᾳ· ἢ καὶ οἷς τὸν χρυσὸν εἰργάζετο. Q.

438. ἵν' ἄγαλμα θεὰ] ἡμεῖς μὲν ἄγαλμα τὸ ξόανον, Ὅμηρος δὲ 25 πᾶν δῶρον ὃ βλέπει τις καὶ χαίρει καὶ ἐφ' ᾧ ἀγάλλεται ἄγαλμά φησιν. E.

440. ἀνθεμόεντι] τῷ ἀνθηρῷ, ἐν ᾧ τις ἥδεται διὰ τῆς θέας· ἢ ἀνθεμόεντι τῷ ποικίλῳ, λαμπροτάτῳ διὰ τὰ ἐντετορευμένα αὐτῷ ἐπιτερπῆ· ἢ ἀνθεμόεντι τῷ ἀναθεματικῷ, τῷ ὡς ἀνάθημα κειμένῳ. E.M.Q. 30

λέβητι] λέβης γὰρ ὁ ξέστης ἀφ' οὗ λείβεται τὸ ὕδωρ· λέγεται καὶ τὸ χέρνιβον εἰς ὃ λείβεται τὸ ὕδωρ. E. λέβης μὲν νῦν τὸ καθ'

2. βοῶν scripsi ex Eustathio p. 1475, 11. In H. συν esse dicitur.

4. Ἑλληνικώτατα] ἑλληνικωτέρως Q.

10. ἤρχοντο Buttm. pro ἦρχον.

17. ἦν—ποίησεν] ὃν—ἐποίησεν Q.

23. σφύρᾳ, πυράγρᾳ] σφυρᾷ, πυράγρῃ Q.

29. ποικίλῳ—ἐπιτερπῆ] Hæc tantum verba habet M. λαμπροτάτῳ om. E.Q.

ἐντετορευμένα M. ἐντετορνευμένα E.Q.

ἡμᾶς χέρνιβον· πρόχοος δὲ ἐξ οὗ ἐπιχεῖται τὸ ὕδωρ, ὃ νῦν χέρνιβα προσαγορεύει, ἵνα νοῶμεν ἐν τῷ λέβητι κεῖσθαι τὸν πρόχοον, οὐκ αὐτὸ τὸ ὕδωρ. M.Q.

441. ἑτέρῃ δ' ἔχεν οὐλὰς] οὐλαὶ καὶ οὐλοχύται τὸ αὐτό. λέγονται δὲ τὰ προθύματα· ἐμίγνυον γὰρ κριθὰς καὶ ἄλατα χυτῷ ἢ ὕδατι ἢ οἴνῳ, καὶ ἔθυον αὐτὰ πρὸ τοῦ ἱερείου, εἶτα τὸ ἱερεῖον. τινὲς δὲ οὐλοχύτας λέγουσι τὰ ἀγγεῖα ἐν οἷς εἰσιν αἱ κριθαί, αἵτινες οὐλαὶ ἐκαλοῦντο. κριθὰς δὲ ἐνέβαλον τοῖς θύμασι χάριν εὐφορίας καρπῶν τῶν ἐκ γῆς, ἢ πρὸς ἀνάμνησιν τῆς ἀρχαίας τροφῆς· λέγουσι γάρ, δίκην ἀγρίων ζῴων καὶ ἀλόγων ἔζων τὸ παλαιὸν οἱ ἄνθρωποι, διὰ τὸ σῖτον μὴ εἶναι μηδ' ἄλλο τι οἰκεῖον τοῖς ἀνθρώποις, βοτάνας δὲ καὶ ἄκρα δένδρων ἤσθιον. εἶτα ἐφάνη ἡ κριθή, ἐξ ἧς διεκρίθησαν καὶ διεχωρίσθησαν οἱ ἄνθρωποι τῶν ἀλόγων ζῴων κατὰ τὴν τροφήν. E. κριθὰς ἐλαιοβρόχους. E.H.V.

442. μενεπτόλεμος Θρασυμήδης] οἰκείως τῶν μὲν ἄλλων τὰ ὀνόματα ψιλῶς ἐξήνεγκεν, ἐπὶ δὲ τοῦ Θρασυμήδους ἐπιθέτῳ κέχρηται, ὡς καὶ ἔμπροσθεν "Περσεύς τ' Ἀρητός τε καὶ ἀντίθεος Θρασυμήδης" (414.). ἐστράτευται γὰρ ἤδη τῷ πατρί. διὰ τοῦτο καὶ τὸ ἀνδρειότατον αὐτῷ μέρος τῆς διακονίας προστέτακται. H.M.Q.

443. χερσὶ] ἑνικῶς χειρί αἱ Ἀριστάρχου. H.

444. Περσεὺς δ' ἀμνίον εἶχε] τὸ αἱματοδόχον ἀγγεῖον. καὶ γίνεται ἀπὸ τοῦ αἷμα αἱμνίον καὶ ἀμνίον· ἢ ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ μένος ἡ ψυχικὴ προθυμία, ἤτοι ἀμένιον, τὸ στερίσκον τοῦ μένους τὸ ζῷον καὶ τὸ αἷμα αὐτοῦ δεχόμενον ἤτοι τὴν ζωτικὴν δύναμιν. ἔστι δὲ τῶν ἅπαξ εἰρημένων ἡ λέξις. ἄλλοι δὲ μικρὸν μαχαιρίδιον, ὃ καὶ σφάγιον καλοῦσιν οἱ Ἀττικοί. E.

ἀμνίον ὡς πηνίον. Κρῆτες δὲ αἱμνίον αὐτό φασι. H.M. Ἄλλως.

1. οὗ] ἧς M.
17. Περσεύς τ'] τ' om. H.
18. διὰ τοῦτο om. Q.
20. χειρί] Hoc in textu habet M.
22. ἢ addidit Buttm.
27. Ex hoc scholio excerpta sunt in T. τὸ αἱμοφόρον ἀγγεῖον, παρὰ τὸ αἷμα αἱμνίον καὶ ἀμνίον. ἄλλως. ἔστι δὲ τῶν ἅπαξ εἰρημένων ἡ λέξις. σημαίνει δὲ τὸ ἀγγεῖον ὅπου τὸ αἷμα τοῦ ἱερείου δέχονται, καί ἐστι κατὰ τὸ ἔτυμον ἀμένιον, στερητικὸν τοῦ μένους ἤτοι τῆς ψυχῆς. Ἀττικοὶ σφάγιον αὐτὸ καλοῦσιν.

ἀμνίον ὡς πηνίον — Νίκανδρος] ἀγγεῖον εἰς ὃ τὸ αἷμα τοῦ ἱερείου ἐδέχοντο. Ζηνόδοτος δὲ ἐν ταῖς ἀπὸ τοῦδε (τοῦ δ' R.) γλώσσαις τίθησι τὴν λέξιν. ἅπαξ δὲ ἐνταῦθα παρ' Ὁμήρῳ ἡ λέξις. ἀμνίον τὸ ἀγγεῖον τοῦ ὑποσφάγματος, ὡς πηνίον. Κρῆτες αἱμνίον (αἵμνιον Q.) αὐτό φασι. Νίκανδρος Q.R.

ὡς πηνίον] παροξυτόνως addit Eustath. p. 1476, 35.

αἱμνίον] αἵμνιον H.M. ἄμνιον apud Eustath., fortasse typothetæ culpa.

ἀμνίον. ἀγγεῖον εἰς ὃ τὸ αἷμα τοῦ ἱερείου ἐδέχοντο. Ζηνόδοτος δὲ ἐν ταῖς ἀπὸ τοῦ δ γλώσσαις τίθησι τὴν λέξιν. ἅπαξ δὲ ἐνταῦθα παρ' Ὁμήρῳ ἡ λέξις. M.

ἀμνίον εἶχε] ἔστι μὲν τῶν ἅπαξ εἰρημένων ἡ λέξις σημαίνει δὲ τὸ ἀγγεῖον, ὅπου τὸ τοῦ σφαττομένου ἱερείου αἷμα ἐδέχοντο. καὶ ἔστι κατὰ τὸ ἔτυμον ἀμένιον, ὅ ἐστι στερητικὸν τοῦ μένους ἤτοι τῆς ψυχῆς. οἱ Ἀττικοὶ σφάγιον αὐτὸ καλοῦσιν. M.V. Ἄλλως. ἀμνίον τὸ ἀγγεῖον τοῦ ὑποσφάγματος. Νίκανδρος δὲ καὶ Θεοδωρίδας ἀπὸ τοῦ δάμνασθαι προφέρονται ἀσυνδέτως δαμνίον. Πορσίλος δὲ ὁ Ἱεραπύτνιος παρὰ Ἱεραπυτνίοις ἔτι σώζεσθαι τὴν φωνὴν αἰμνίον, δασέως μετὰ τοῦ ι κατ' ἀρχὴν προφερομένην παρὰ τὸ αἷμα. καὶ Ἀπολλόδωρός φησιν ὡς εἰκὸς ἦν καὶ παρὰ τῷ ποιητῇ οὕτως αὐτὸ προφέρεσθαι, ὑπὸ δέ τινων περιῃρῆσθαι τὸ ι. Ἀττικοὶ δὲ σφάγιον αὐτὸ καλοῦσιν. εἰς τοῦτο δὲ πρῶτον αἷμα δεχόμενοι τοῖς βωμοῖς ἐπιχέουσιν. ἐτυμολογεῖται ἀμένιόν τι ὂν, ὅ ἐστι στερητικὸν τοῦ μένους, ἤτοι τῆς ψυχῆς. H.M.Q.R.

445. χέρνιβά τ' οὐλοχύτας τε κατήρχετο] ἀντίπτωσις, τῶν ὁλοχυτῶν. Gl. ἢ ἀπὸ τῶν χερνίβων εἰς τὰς οὐλοχύτας. P.

ἀντὶ τοῦ χερνίβων καὶ οὐλοχυτῶν πρῶτος ἦρχε. τὸ δὲ ἀπὸ τῶν χερνίβων περιρραίνειν τῷ ἱερεῖῳ καὶ τὰς κριθὰς προβάλλειν κατάρχεσθαι ἐκάλουν οἱ παλαιοί. E.H.M.P.Q.

450. αὐχενίους λῦσεν] αὐχενίους προσέθετο διὰ τὸ καὶ εἰς τοὺς

P. 162, 27. φασι] Sequuntur in M. verba τὸ ἀπὸ — παλαιοί ex scholio v. 445. huc illata, ubi iterum habet M.

P. 163, 1. ἐν ταῖς ἀπὸ τοῦ δ γλώσσαις] In glossis ab litera δ incipientibus, quo referri debebat, quum Zenodotus non δ' ἀμνίον, sed δαμνίον scriberet. Ex hac scriptura Hesychii glossam δάμνια: θύματα, σφάγια, explicandam esse vidit Albertus.

4. μὲν scripsi pro μέντοι.

8. ὑποσφάγματος] ἀποσφάγματος Eustath.

9. δαμνίον] δάμνιον H.Q. et Eustath.

Πορσίλος ex Eustathio, apud quem Πόρσιλος, scripsi. πορσίλλος H.M. πορσίαλος Q. Nomen suspectum, aliunde non cognitum.

10. Ἱεραπύτνιος—Ἱεραπυτνίοις] ἱεραπύγνιος—ἱεραπυγνίοις H.M.

αἰμνίον R. αἴμνιον ceteri et Eustath.

12. καὶ addidi ex Eustathio.

αὐτὸ] αὐτῷ R.

προφέρεσθαι ex Eustathio scripsi pro φέρεσθαι.

13. Ἀττικοὶ—καλοῦσιν infra post ψυχῆς habet Q. Utrobique H.

15. ἐτυμολογεῖται addidi ex H.

19. ἀντὶ τοῦ M. τῶν E.P.Q. Verba χερνίβων καὶ οὐλ. π. ἦρχε sunt etiam in V.

πρῶτος ἦρχε et δὲ om. E.P.Q.

21. περιρραίνειν] περιραίνειν E.P.Q.

ἀστραγάλους εἶναι τένοντας. πάντα δὲ τὰ διατεταμένα νεῦρα τένοντας καλεῖ ὁ Ὅμηρος. E.Q.

ὀλόλυξαν] μετὰ βοῆς ηὔξαντο. εἴρηται δὲ ἐπὶ τῶν γυναικῶν μόνων. M. μετὰ βοῆς ηὔξαντο· τὸν γὰρ ὀλολυγμὸν Ὅμηρος γυναικείαν εὐχὴν λέγει. E. 5

453. τὸ ἀνελόντες δηλοῖ τὸ ἄνω ἑλόντες. ἐκ τούτου δὲ τὸ αὖ ἐρύσαντες δηλοῦται. B.H.M.Q. ἡ ἑτέρα τῶν Ἀριστάρχου ἀνίσχοντες, ἀντὶ τοῦ μετεωρίσαντες· διὸ σημειοῦνται ὡς διάφορα τὰ τῆς ἱερουργίας. H.M.

εὐρυοδείης] διὰ τί μικρὸν μέρος τῆς γῆς φησιν ἀπὸ χθονὸς εὐρυοδείης; οὐκ ἂν τὴν ὅλην γῆν λέγοι εὐρυοδείην, ἀλλὰ τὸ κοινὸν τῆς γῆς ὄνομα μᾶλλον καὶ ἐπίθετον χαρίζει τῷ μικρῷ αὐτῆς μέρει. E. 10

454. σφάξεν Πεισίστρατος] ὁ μὲν Θρασυμήδης μετὰ πελέκυος ἔκοψε τὰ νεῦρα καὶ τὸ ὀστοῦν, Πεισίστρατος δὲ παντελῶς ἀπέκοψε τὴν κεφαλήν. E. 15

455. λίπε δ' ὀστέα θυμὸς] ἡ ζωτικὴ δύναμις. ἐν τοῖς ὀστέοις ἔστι γὰρ δύναμις ζωτική. E.

456. διέχευαν] ὅλα διεμέλισαν τὰ μηρία, ὡς τὸ "πᾶσαι δ' ὠΐγνυντο πύλαι" (Il. β, 809.). H.M. διέκοψαν ἢ ἀνέπτυξαν, ὅλα διεμέλισαν τὰ μηρία. τῇ κνίσσῃ διπλᾶ ἐπὶ τοῖς μηρίοις θέντες, ἓν ἄνωθεν καὶ ἓν κάτωθεν, τῶν λοιπῶν μερῶν ἀπήρχοντο. B. εἰς μέρη καὶ μέρη διέτμαγον διασχίσαντες τὴν συνέχειαν. E. 20

457. κατὰ μοῖραν] πρεπόντως. B. ἐνδεχομένως. E. κατὰ μέρη διεῖλον. Q.

κατά τε κνίσσῃ ἐκάλυψαν] πιμελῇ τῇ τὴν κνίσσαν ἐκπεμπούσῃ· κνίσσα γὰρ ἡ ὀσμὴ τῆς πιμελῆς ἡ συνανερχομένη τῷ καπνῷ. E. 25

458. ἐπ' αὐτῶν δ' ὠμοθέτησαν] ἐπὶ τῶν βωμῶν ὠμὰ ἔθηκαν μὴ εἰς πῦρ βληθέντα. E.

1. πάντα—Ὅμηρος] Hæc habet etiam M. sic scripta τὰ δ. νεῦρα πάντα Ὅμηρος τ. κ.

6. αὖ ἐρύσαντες] αὐερύσαντες H. ἀνερρύσαντες Q.

7. ἀνίσχοντες] Hoc metro adversatur. Porsonus ἀνέχοντες.

8. μετεωρίσαντες M. μετεωρήσαντες H.

σημειοῦνται M. σημειοῦται H.

10. διὰ τί Buttm. pro διὰ τό.

11. εὐρυοδείην] Immo εὐρυόδειαν.

18. μηρία] μέρη Buttm. Cf. schol. ad v. 470.

ὡς τὸ M. πρὸς τὸ H.

20. τῇ (male τὰ ap. Eustath.)—ἀπήρχοντο] Hæc habet etiam H. sic scripta, τὴν κνίσσῃ (sic) διπλὴν ἐν τοῖς μηρίοις θέντες, ἓν ἄνωθεν καὶ ἓν κάτωθεν τῶν μερῶν ἀπήρχοντο.

460. πεμπώβολα] πεμπώβολα τὰ ἐκ μιᾶς λαβῆς πέντε ὀβελίσκους ἔχοντα, ὡς ἡ τρίαινα τοῦ Ποσειδῶνος. B.E.Q.

462. μίστυλλον] ἀπὸ τοῦ μεῖον, τὸ ἔλαττον, γίνεται μιστύλλω ῥῆμα, τὸ κατὰ μικρὸν τέμνω τι. ἐνταῦθα τὴν κατὰ λεπτὸν διατομὴν μιμεῖται ὁ ποιητὴς τῇ κατακεκομμένῃ φράσει τῶν λέξεων. B.Q. 5

463. ἀκροπόρους] ὀξεῖς, ὧν τὸ ἄκρον διαπερονούμενον εὐχερῶς δίεισιν διὰ τὴν ὀξύτητα. H.V. τοὺς κατὰ ἄκρον πείροντας καὶ κεντῶντας. B.Q. τοὺς ἄκρως ἢ λίαν ὀξεῖς πόρους ἔχοντας, ἢ τοὺς ἄκρως πείροντας. E.

464. τόφρα δὲ Τηλέμαχον λοῦσεν καλὴ Πολυκάστη] λουθῆναι αὐτὸν ἐποίησεν· οὐ γὰρ αὐτὴ ἔλουσεν. ἢ ὅτι ὑπὸ παρθένων ἔθος ἦν τοὺς ἥρωας λούεσθαι. πρὸς τὰ περὶ τῆς Ἥβης· λούει γὰρ καὶ αὐτὴ τὸν Ἄρεα ὡς παρθένος. πῶς οὖν διὰ τῶν ἀθετουμένων Ἡρακλεῖ συνοικεῖ; H.M.Q. ἀδύνατον γὰρ τῷ Νέστορι . . . . παρθένον εἶναι θυγατέρα. λύεται δ' ἐκ τοῦ ἔθους. ἔφαμεν γὰρ μὴ εἶναι παρθένου ἔργον τὸ λούειν, ὡς Ἀρίσταρχος οἴεται. T. 10 15

466. ἔχρισεν λίπ' ἐλαίῳ] ἐχρίοντο ἐλαίῳ μετὰ τὸ λουθῆναι, διότι τὸ ἀνθρώπινον σῶμα σομφόν ἐστι καὶ ἠραιωμένον, καὶ ποτὲ μὲν ὑγραίνεται, ποτὲ δὲ ξηραίνεται, ὡς τοῦ ὑγροῦ ἐξερχομένου δι' ἱδρώτων· ὑγραίνεται δὲ πάλιν ἐν τῇ θέρμῃ τοῦ λουτροῦ καὶ ἀνοίγεται· τότε δὲ ἐχρίοντο τῷ ἐλαίῳ ὡς γλίσχρῳ ὄντι καὶ κωλύοντι τὸ ὑγρὸν ἐξέρχεσθαι. ἐμφράττει γὰρ τὰς ὀπὰς τὰς τοῦ σώματος καὶ συνίστησιν αὐτό. E. 20

467. ἀμφὶ δέ μιν φᾶρος] ὑπερβιβασμὸς, ὡς τὸ "εἵματ' ἀμφιέσασα καὶ λούσασα" (Od. ε, 264.). M. σημειοῦνται τινὲς ὅτι ἐν τῇ πυέλῳ ὄντες περιεβάλλοντο διὰ τὸ αἰδεῖσθαι. H.M. τὸ δεύτερον πρῶτον εἶπεν, ὡς τὸ "οὐδ' ἀπέλυσε θύγατρα καὶ οὐκ ἀπεδέξατ' ἄποινα" (Il. α, 95.). H.M. ἐν τῇ λεκάνῃ ἐνεδύοντο διὰ τὸ αἰδεῖ- 25

6. διαπερονούμενον H. διὰ τῶν περωμένων V. Scribendum autem διαπερωώμενον, nisi illud recentioris linguæ vitium est ut διαπερονούμενα in scholia rec. ad Æschyli Sept. 205. p. 324, 27.

10. λουθῆναι — ἔλουσεν. ἢ om. Q. In H. verba λουθῆναι—ἔλουσεν versui superscripta sunt.

11. παρθένων] Conf. schol. ad ζ, 215. 221.

12. πρὸς (ὡς M.) τὰ περὶ τῆς Ἥβης] Il. ε, 905.

περὶ M. (qui ἐπ). Legebatur παρά.

αὐτὴ H.M. ἀθηνᾶ Q. αὕτη Buttmann.

13. τῶν ἀθετουμένων] οἱ ἀθετούμενοι sunt aut versus aliquot aut totus locus de Hercule in inferis λ, 601. sqq. ubi vid. Eust. et nostra schol. ad λ, 568. 601. 604. BUTTM. τοῦ (sic) ἀθεατουμένων M.

σθαι. ἢ ἀδιαφόρως εἶπεν, καὶ ἄλλως τὸ πρῶτον εἶπε δεύτερον, ὡς τὸ "οὐδ' ἀπέλυσε θύγατρα καὶ οὐκ ἀπεδέξατ' ἄποινα" (Il. α, 95.), τὸ πρῶτον εἰπὼν δεύτερον. B.E.

468. ἔκ ῥ' ἀσαμίνθου] ἀσάμινθος σημαίνει καὶ τὴν πύελον καὶ τὴν λεκάνην καὶ τὸν λουτρῶνα, περὶ οὗ νῦν λέγει. B. 5

ἀσαμίνθου] ἀπὸ τοῦ ἄσις ὁ ῥύπος, ἥτις μινύθει καὶ ἀφανίζει αὐτόν. E.

469. ποιμένα λαῶν] γρ. ποιμένι. P.

470. οἱ δ' ἐπεὶ ὤπτησαν] καλῶς ἀπὸ πάντων τῶν μερῶν τοῦ ζῴου κόπτοντες ἐκάλυπτον τὰ κεκομμένα ἐν πιμελαῖς, μιᾶς κειμένης ἄνω- 10 θεν, ἄλλης δὲ κάτωθεν· ἃ καὶ δίπτυχα ὠνόμασαν, καὶ ἔθυον αὐτά, ἐπεὶ οὐκ ἦν ὅλον παντελῶς θύειν διὰ τὸ καὶ αὐτοὺς μέλλειν εὐωχεῖσθαι ἐκ τοῦ θυομένου. ἔκοπτον γοῦν ἐξ ὅλων τῶν μερῶν, ἵνα δοκῇ τὸ ὅλον θύεσθαι καὶ μὴ νομίζηται ἡ θυσία κολοβή. τὰ δὲ σπλάγχνα ἥσθιον δεικνύντες ὅτι ἐξ αὐτῶν ἐγκάτων ἐκ μέσης καρδίας θύουσι τὸ 15 θῦμα τοὺς θεοὺς τιμῶντες καὶ μετὰ προαιρέσεως. E.

κρέ' ὑπέρτερα] τὰ ὑπεράνω τῶν ἀνθράκων. B. ἢ τὰ νωτιαῖα ἢ τὰ ὑπεράνω πάντων ὡς μείζονα κείμενα· ἢ τὰ ἔξω τοῦ ἱερείου πρὸς ἀντιδιαστολὴν τῶν τυθέντων. E.

472. οἶνον ἐνοινοχοεῦντες] περίφρασις ὁ τρόπος καλεῖται. Q. 20

οἰνοχοεῦντες] κιρνῶντες. V.

475. παῖδες ἐμοί, ἄγε] σημείωσαι τὸ ἄγε πληθυντικὸν πρὸς τὸ ζεύξατε. E.

476. ἵνα πρήσσῃσιν ὁδοῖο] πορεύηται εἰς τὴν ὁδόν. Gl. M. ἐκ μεταφορᾶς τοῦ θαλασσίου πόρου· ἐπὶ γὰρ τῆς ξηρᾶς οὐ μετέχει. 25 ἀλλ' ἐπεὶ ὁ ἐν ξηρᾷ ὁδεύων πέρας ἔχει τῆς ὁδοῦ, διὰ τὸ πέρας τῆς ὁδοῦ φησι τὸ πρήσσῃσιν, ἤτοι διέλθῃ, καὶ εἰς πέρας ἔλθῃ τῆς ὁδοῦ καὶ περατώσῃ αὐτήν. E. Ἀττικῶς, ἔξωθεν τὸ μῆκος τῆς ὁδοῦ. B.

479. ἐν] γρ. ἄν. H. ἔθηκεν] γρ. ἔχευεν. H.

485. γρ. δ' ἵππους εἰς τὸ ἐλαύνειν. M. 30

486. οἱ δὲ πανημέριοι] ἐκ τοῦ παρακολουθοῦντος τὸ προηγούμενον ἐδήλωσεν, ὡς ἐπὶ τοῦ "ἑζόμενοι λεύκαινον ὕδωρ" (Od. μ, 171.). M.Q.R.

4. τὴν πύελον] τὸν πτύελον B.
5. λουτρῶνα Buttm. pro λουτρόν.
17. νωτιαῖα] νωτικὰ E. Correxi ex scholio ad v. 65.
30. γρ.] Est non varia lectio, sed glossema.
32. ἐπὶ τοῦ M.R. ἐπ' ἐρετμὰ Q. ὕδωρ] ὕδωρ τέως R.

σεῖον ζυγὸν] ἀντὶ τοῦ ὤδευον. Q.R. παρεκδοχικῶς εἶλκον· ἀπὸ τοῦ παρεπομένου τὸ προηγούμενον, ἀντὶ τοῦ ὤδευον. M.V.

σεῖον] ἤλαυνον, ἔθεον, συνεκδοχικῶς. E.

οἱ δὲ πανημέριοι σεῖον ζυγὸν] Ἀριστοφάνης γράφει, θεῖον, ἀντὶ τοῦ ἔτρεχον· εἶτα, ζυγὸν ἀμφὶς ἔχοντες. ὁ δὲ Καλλίστρατός φησιν, ὥσπερ ἐπὶ τῆς οὐριοδρομούσης νηὸς τὸ τῆς εὐπλοίας ἐμφαίνεται διὰ τοῦ "τῆς δὲ πανημερίης τέταθ' ἱστία ποντοπορούσης" (Od. λ, 11.), οὕτω καὶ ἐπὶ τοῦ συνεχοῦς δρόμου τῶν ἵππων τὴν ἀδιάλειπτον ἄνυσιν τῆς ὁδοῦ σημαίνει τὸ "σεῖον ζυγόν." H.M.Q.R.T.

488. ἐς Φηρὰς] Φηραὶ μὲν τῆς Λακωνικῆς, Φεραὶ δὲ τῆς Θεσσαλίας, Φειαὶ δὲ τῆς Ἤλιδος. H.Q. τόπος Λακωνικῆς ἢ τῆς Μεσηνίας. E.

489. υἱέος Ὀρτιλόχοιο] ἐντεῦθεν Ζηνόδοτος ἐν Ἰλιάδι (ε, 549.) ἔγραφε "Κρήθων Ὀρτίλοχός τε." ἔστι γὰρ Ὀρτίλοχος μὲν Ἀλφειοῦ, τούτου δὲ Διοκλῆς, Διοκλέους δὲ Κρήθων καὶ Ὀρτίλοχος. H.M. Q.R.

τὸν Ἀλφειὸς τέκε] Ἀλφειὸς ὁ διερχόμενος μέσον τῆς θαλάσσης ποταμὸς Ἤλιδος καὶ ἀπερχόμενος εἰς τὴν Ἀρέθουσαν πηγὴν τῆς Σικελίας καὶ εἰσβάλλων εἰς αὐτήν. ἴαται δ' οὗτος τοὺς κατ' ἐγχώριον διάλεκτον ἀλφοὺς, ἤτοι λελωβημένους, ἣν νόσον ἱερὰν ἡμεῖς καλοῦμεν. E.

490. νύκτ' ἄεσαν] συνέσταλται τὸ α· ἀλλαχοῦ δὲ "νύκτα μὲν ἀέσαμεν" (γ, 151.). H.Q.

νύκτα ἔσαν] γρ. ἄεσαν, ἀντὶ τοῦ ἀνεπαύσαντο, ἐκοιμήθησαν. Vind.

ὁ δ' ἄρα ξεινήϊα δῶκε] γρ. ὁ δὲ τοῖς πὰρ ξείνια δῆκεν. H.M.

496. ἧνον] ἀντὶ τοῦ ἤνυον. B.Q.

1. εἶλκον om. V.

5. ἀμφὶς ἔχοντες M. ἀμφιέχοντες ceteri.

6. διὰ τοῦ H. Legebatur διὰ τό.

11. Φειαὶ] φαιαὶ H.Q. Correctum ex Eustathio p. 1477, 61.

13. Ἰλιάδι (τῇ ἰλιάδι M.)] Schol. ad Il. ε, 542. in cod. Townlej. Κρήθωνά τε Ὀρσίλοχόν τε. καὶ ἐν Ὀδυσσείᾳ οὖν διὰ τοῦ τ. Deinde citat ex Od. φ, 16. Ὀρτιλόχου. In Iliade tamen σ in τ, ε, 546. 547. mutavit manus secunda ejus MS. In utroque Odysseæ loco ο, 187. φ, 16. per τ constanter habet Harleianus. PORSON.

14. Κρήθων] κρίθων H.Q.R.

Ἀλφειοῦ] ἀλφείου H.Q.

15. Κρήθων] κρίθων Q.R.

ὀρτίλοχος Q. ὀρσίλοχος ceteri. ὀρτιλόχοιο M. in textu.

17. Ἀλφειὸς] ἀλφεῖος utrobique Q.

23. Post ἀέσαμεν H. addit ἀ καὶ τανέμεια. CRAMER.

25. ὁ δ' ἄρα ξηνήϊα (sic) δῶκε H. in textu. ὁ δὲ τοῖς πὰρ ξένια δῶκεν M. in textu.

τοῖς πὰρ] πὰρ om. H.

γρ. ἤνυον ἀντὶ τοῦ διήρχοντο. Vind.

τοῖον] ἀντὶ τοῦ τοίως, ὅ ἐστι σφόδρα· οὕτω γὰρ μετὰ τάχους ἔτρεχον. M.P.Q.

Δ.

ΥΠΟΘΕΣΙΣ.

Παρὰ Μενελάῳ ξενισθεὶς σὺν Πεισιστράτῳ Τηλέμαχος ἀπαγγέλλει τὰ κατὰ τὴν Ἰθάκην ὑπὸ τῶν μνηστήρων πραττόμενα. ἔπειτα ἐξηγεῖται αὐτῷ ὁ Μενέλαος περὶ τοῦ νόστου τῶν Ἑλλήνων καὶ τῆς Πρωτέως μαντείας, δι' ἧς ἔγνω τὸν Ἀγαμέμνονος θάνατον, καὶ ὡς Ὀδυσσεὺς παρὰ Καλυψοῖ εἴη. βουλὴ δὲ γίνεται τῶν μνηστήρων περὶ τοῦ τὸν Τηλέμαχον ἀνελεῖν. παραμυθεῖται δὲ ἡ Ἀθηνᾶ δι' ὀνείρου τὴν Πηνελόπην ἐπὶ τῇ τοῦ παιδὸς ἀποδημίᾳ δυσχεραίνουσαν, διὰ εἰδώλου ὁμοιωθεῖσα Ἰφθίμῃ τῇ τῆς Πηνελόπης ἀδελφῇ. E.M.P. Q.V.

---

1. οἱ δ' ἶξον] ὁ ἵξω μέλλων εἰς ἐνεστῶτα μεταβὰς ποιεῖ παρατατικὸν ἀντὶ τοῦ δευτέρου ἀορίστου, τὸ ἶξον ἐν συστολῇ. M.Q.

κοίλην Λακεδαίμονα] ἐπεὶ ὑψηλοτάτοις ὄρεσι περικέκλεισται. V.

ποτὲ μὲν τὴν πόλιν καλεῖ Λακεδαίμονα, ποτὲ δὲ τὴν χώραν Λακεδαίμονα, ἤτοι τὴν Σπάρτην. Q. παρὰ τὴν ἱστορίαν φασὶν εἶναι τὸν γενόμενον ἤδη ἐν τῇ Λακωνικῇ (αἱ γὰρ Φηραὶ, ἔνθα Διοκλῆς ᾤκει, τῆς Λακωνικῆς εἰσι). τὸν οὖν γενόμενον ἐν τῇ Λακωνικῇ αὖθις ὡς μὴ γενόμενον ἐπισημαίνεσθαι ἄτοπον. ἔστι δὲ ἡ λύσις ἐκ τῆς λέξεως. τὰ γὰρ τῶν χωρίων ὀνόματα τίθεται καὶ ἐπὶ τῶν προηγουμένων πόλεων, ὥστε τὴν Σπάρτην οὐκ ἀπεικότως Λακεδαίμονα λέγει, καθάπερ καὶ τὴν Ἴλιον Τροίαν "ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν" (Il. φ, 544.)· καὶ ἀνεστραμμένως τὴν Ἀττικὴν εἴρηκεν Ἀθήνας "ἀλλ' ὅτε Σούνιον ἱρὸν ἀφικόμεθ', ἄκρον Ἀθηνέων" (Od. γ, 278.). M.T.

κοίλην Λακεδαίμονα κητώεσσαν] κοίλην, τὴν μέσην κειμένην κοίλων καὶ βαθυτάτων τόπων, ἤτοι τὴν μεγάλην. κητώεσσαν δὲ ἐκ

1. γρ.] Est glossema.
2. οὕτω M. ἢ οὕτω P.Q.
11. ἡ addidi ex M. et Eustathio, qui hoc argumentum repetivit p. 1478.
16. τοῦ om. Q.
19. παρὰ τὴν M. παρὰ γὰρ τὴν T.
20. τὸν γενόμενον] τὸ γενόμενον M. Φηραὶ] φεραὶ M.
23. τὰ γὰρ] τάχα γὰρ M.T.
25. Ἴλιον Τροίαν] Reliquam post hæc verba partem scholii om. M., qui priorem scholii partem a m. sec. habet.

μεταφορᾶς τοῦ κήτους. λέγει δὲ τὴν Σπάρτην. ἐπάγει γοῦν "πρὸς δ' ἄρα δώματ' ἔλων." Ε.Η. κοίλην μὲν διὰ τὸ πολλοῖς ὄρεσι περιέχεσθαι, κητώεσσαν δὲ ἢ μεγάλην ἀπὸ τοῦ κήτους, ἢ μέγα κῆτος ἔχουσαν. Β.Η.Q.R. Ζηνόδοτος δὲ γράφει καιετάεσσαν ἀντὶ τοῦ καλαμινθώδη. δοκεῖ δὲ καὶ Καλλίμαχος ἐντετυχηκέναι τῇ γραφῇ δι' 5 ὧν φησιν "ἵππους καιετάεντος ἀπ' Εὐρώταο κομίσσαι." Η.Μ.Q.R.

κητώεσσαν] ὤφειλεν εἶναι τὸ τω μικρὸν, ἀλλ' [ἔγραψε] ὥσπερ τὸ ἡβώωσα ἐκτείνει, διὰ τὸ εἶναι τὸ πρὸ αὐτῆς μακρὸν, τὸ η, καὶ τὸ τηλεθόωσα σμικρύνει, διὰ τὸ εἶναι τὴν πρὸ αὐτῆς συλλαβὴν βραχεῖαν, ἤτοι τὸ λε, οὕτω κητώεις καὶ ὠτώεις καὶ κηώεις καὶ ὅσα τοιαῦτα 10 ἐκτείνει. συστέλλει δὲ τὸ ἐρόεις, κερόεις, ἐρόεσσα, κερόεσσα, ἠερόεσσα, καὶ ὅσα τοιαῦτα, τὸ μὲν διὰ τὰς πρὸ αὐτῶν συλλαβὰς, τὸ δὲ διὰ τὸ μέτρον· ἐπεί τοι γὰρ ἂν οὐκ ἦν οὕτω ἐρόεις καὶ κερόεις· μεγάλα γὰρ ὤφειλον εἶναι. Ε.

Ἀπορία. διὰ τί ὁ Τηλέμαχος εἰς Λακεδαίμονα ἐλθὼν οὐκ ἐνέτυχε 15 τῷ Ἰκαρίῳ; καίτοι ἄλογον ἐλθόντα τῷ πατρὶ τῆς μητρὸς μηδαμοῦ ἐντυχεῖν. οὐδαμοῦ εἴρηκεν ὡς ἐν Λακεδαίμονι ᾤκουν, ἀλλὰ μᾶλλον πλησίον αὐτῆς ἦσαν. ἡ γοῦν Ἀθηνᾶ ἐν τῷ ὕπνῳ ἐπιστᾶσά φησιν "ἤδη γάρ ῥα πατήρ τε κασίγνητοί τε κέλονται Εὐρυμάχῳ γήμασθαι" (ο, 16.)· καὶ τὸ μὲν ὀνείροις μάρτυσι χρῆσθαι ἴσως ἄπιστον· 20 αὐτὴ δὲ ἡ Πηνελόπη πρὸς τὸν Ὀδυσσέα τὰ καθ' ἑαυτὴν διηγουμένη φησὶ "νῦν δ' οὔτ' ἐκφυγέειν δύναμαι γάμον, οὔτε τιν' ἄλλην μῆτιν ἐφευρίσκω· μάλα δ' ὀτρύνουσι τοκῆες γήμασθαι" (τ, 157.). Η.Q.T. ὅθεν καὶ ἄλλη λύσις γίνεται πρὸς τοὺς ἀποροῦντας διὰ τί πρὸς τοὺς γονέας οὐκ ἀποστέλλει τοὺς ἑαυτῆς ἡ Πηνελόπη εἰς βοήθειαν, ὅτε ὁ 25

1. ἐπάγει γοῦν πρὸς δ' ἄρα δώματ' ἔλων om. E.

3. ἀπὸ τοῦ κήτους—κῆτος H. Legebatur ἀπὸ κήτους—κύτος.

4. καιετάεσσαν—καιετάεντος] Legebatur καιτάεσσαν — καιτάεντας. Quæ καιετ– scripta ap. Eustath. p. 1478, 38. καιετόεσσαν et καιετόεντος placet Lobeckio Pathol. El. vol. 1. p. 344.

δὲ καὶ M. καὶ om. H.Q.R.

Καλλίμαχος] Fragm. 224.

5. καιετάεντος — κομίσσαι Bentl. pro καιετάεντας (nam sic Eustathius. καιτάεντας H.M.Q.R.)—κομίσαι. Et κομίσσαι H.

7. Seclusi ἔγραψε.

15. Hoc scholion in H. adscriptum versui 597., in T. versui 248.

ἐνέτυχε τῷ ἰ. T. ἐνέτυχεν ἰ. H.Q.

16. ἐλθόντα—οὐδαμοῦ T. ἐλθόντα (ἐλθόντος Q.) μηδαμοῦ τῆς μητρὸς τῷ πατρὶ ἐντυχεῖν. ἢ οὐδαμοῦ H.Q.

18. πλησίον αὐτῆς T. πλησίον νήσου τῆς πηνελόπης αὐτῆς H.Q.

ἡ γοῦν—ἐπιστᾶσά φησιν om. Q.

19. Εὐρυμάχῳ γήμασθαι om. T.

20. ἴσως post χρῆσθαι T., post ὀνείροις H.Q.

23. γήμασθαι om. T.

παῖς ἐκινδύνευσεν, ἀλλὰ πρὸς τὸν Λαέρτην βούλεται ἀποστεῖλαι. φαίνεται γὰρ ἠλλοτριωμένη τοῖς γονεῦσιν ὡς ἀναγκάζουσι γήμασθαι· διὸ καὶ ἐξήρτηται ἀπὸ τῆς τοῦ Τηλεμάχου προσηκούσης μνήμης ὁ Ἰκάριος τοῦ τε Ὀδυσσέως καὶ τῆς Πηνελόπης. τοσοῦτον δὲ εἴρηται ὑπὸ τοῦ Τηλεμάχου "οἳ πατρὸς μὲν ἐς οἶκον ἀπερρίγασι νέεσθαι Ἰκαρίου" (β, 52.) καὶ "κακὸν δέ με πόλλ' ἀποτίνειν Ἰκαρίῳ." αὐτὸς μὲν γὰρ Πηνελόπην μὴ βουλομένην καταλιπεῖν τοῦ ἀνδρὸς τὸν οἶκον ἀναγκάζειν οὐκ εὐπρεπὲς ἡγεῖτο. πάντως οὖν κατὰ τὴν προαίρεσιν τῆς Πηνελόπης ἀνῆψε τοῦ γάμου τὸ τέλος. Τ. τινές φασιν ὅτι ὁ Ἰκάριος ὁ τῆς Πηνελόπης πατὴρ ἐν Λακεδαίμονι ἦν. καὶ πῶς οὐκ ἀπῆλθεν εἰς ἐκεῖνον ὁ Τηλέμαχος; ἀνατρέπονται δὲ παρ' ἄλλων λεγόντων ὅτι ἐχθρὸν εἶχεν αὐτὸν διότι προετρέπετο τὴν Πηνελόπην λαβεῖν ἄλλον ἄνδρα· ὃ μισητὸν ἐδόκει τῷ Τηλεμάχῳ ὑπολαμβάνοντι καὶ ἀπὸ τούτου ὅτι μῖσος εἶχεν ὁ Ἰκάριος πρὸς τὸν Ὀδυσσέα. Ε.

3. δαινύντα] ὡς ὀμνύντα, ἀπ' εὐθείας τῆς ὁ δαινύς. Η.

γάμον] ὥσπερ ἀλλαχοῦ φησιν Ὅμηρος τάφον τὴν ἐπὶ τεθνεῶτί τινι εὐωχίαν, οὕτω καὶ νῦν γάμον τὴν ἐπὶ γάμου δαῖτα. Μ.

ἔτῃσιν] ψιλῶς ἔτῃσιν, εἴτε ἐπὶ τοῦ πολίτου εἴτε ἐπὶ τοῦ ἑταίρου. Μ.

4. ἠδὲ θυγατρὸς ἀμύμονος] Σοφοκλῆς ἐν Ἑρμιόνῃ φησὶν ἔτι ἐν Τροίᾳ τυγχάνοντος Μενελάου ἐκδοθῆναι τὴν Ἑρμιόνην ὑπὸ Τυνδάρεω τῷ Ὀρέστῃ, κατὰ δὲ ὑπόσχεσιν ἥκοντος Νεοπτολέμου ἀφαιρεθῆναι τὸν Ὀρέστην ταύτην· πάλιν δὲ αὐτῇ συνοικῆσαι τὸν Ὀρέστην Νεοπτολέμου ἐν Πυθοῖ ἀναιρεθέντος ὑπὸ Μαχαιρέως, καὶ τότε τὸν Τισαμενὸν γεννῆσαι. Ε.Η.Q.R.T.

5. ῥηξήνορος] ἀνδρείου, τοῦ διὰ τῆς ἠνορέης, ὅ ἐστιν ἀνδρείας, ῥήσσοντος τὰς τῶν πολεμίων τάξεις. Ε.Q.T.V.

6. ἐν Τροίῃ γὰρ] διὰ τὸ κακὸν εἶναι τὴν τῷ πατρὶ μνηστευθεῖσαν

7. Πηνελόπην obliteratum in T.

8. πάντως] πάντα T.

17. γάμου] Immo γάμῳ.

20. ἔτι ἐν Τροίᾳ τυγχάνοντος] ἐν Τροίᾳ τυγχάνων ἔτι H.R. ἐν Τροίᾳ ὄντος ἔτι Eustath. p. 1479, 11.

21. Μενελάου] μενέλαος H.R.

23. τὸν Ὀρέστην ταύτην] τὸν ὀρέστην τῆς γυναικὸς H.R.T. Quod saltem dicendum fuisset τοῦ Ὀρέστου τὴν γυναῖκα. Apud Eustath. est εἶτα ὕστερον ἀφαιρεθεῖσαν αὐτοῦ ἐκδοθῆναι τῷ Νεοπτολέμῳ.

αὐτῇ συνοικῆσαι τὸν (τὸν om. E.Q.) Ὀρέστην] αὐτὴν συνοικῆσαι ὀρέστῃ T.

24. Πυθοῖ] πυθίᾳ T.

ἀναιρεθέντος post Τυνδάρεω H.R.

Μαχαιρέως ex Eustathio restitui pro Τυνδάρεω.

26. ὅ ἐστιν ἀνδρείας om. E.Q.V.

καὶ τὸν υἱὸν λαβεῖν, τούτου χάριν τὰ μὲν λοιπὰ ἐκ τοῦ Ἀγαμέμνονος ἔλαβε, τὴν δὲ γυναῖκα ἐκ Μενελάου. M.

9. Μυρμιδόνων προτὶ ἄστυ] ἣν Ὅμηρος μὲν Φθίαν λέγει, οἱ δὲ νεώτεροι Φαρσαλίαν. E.H.M.T.V.

10. υἱέϊ] τρισυλλάβως. "υἱέϊ σῷ ἑπόμην" (Il. γ, 174.). ἰδίως δὲ εἴρηκεν. ἐν Σπάρτῃ γὰρ ὄντος αὐτοῦ φησι Σπάρτηθεν. Q.

Ἀλέκτορος κούρην] οὗτος υἱὸς Ἀργείου τοῦ Πέλοπος καὶ Ἡγησάνδρας τῆς Ἀμύκλα θυγατρός· θυγάτηρ δὲ αὐτοῦ οἱ μὲν Ἰφιλόχη, οἱ δὲ Ἐχεμήλα. M. οἱ μὲν Ἰφιλόχην, οἱ δὲ Ἐχέμηλον λέγουσιν. τὸν δὲ Ἀλέκτορα γενεαλογοῦσιν Ἀργείου τοῦ Πέλοπος. V. ἐκ τῆς γενεαλογίας τοῦ Πέλοπος ὁ Ἀλέκτωρ. E.

11. τηλύγετος Μεγαπένθης] ὁ τῆλε τῆς ἡλικίας, τουτέστι προβεβηκόσι τοῖς γονεῦσι, γενόμενος, μεθ' ὃν οὐκέτι ἐλπίζουσι τεκνῶσαι διὰ τὸ γῆρας· ἢ ὁ τηλοῦ ἀποδημήσαντι τῷ πατρὶ γεννηθεὶς παῖς· ἢ μονογενής, καθάπερ Τηλέμαχος Ὀδυσσεῖ καὶ Ὀρέστης Ἀγαμέμνονι. ὁ γὰρ Μενέλαος κατὰ τὸν καιρὸν τῆς ἁρπαγῆς τῆς Ἑλένης ἐμίγη τινὶ δούλῃ, καὶ ἔτεκεν υἱὸν καὶ ἐκάλεσεν αὐτὸν φερωνύμως Μεγαπένθην· κατὰ γὰρ τὸν καιρὸν τοῦ διὰ τὴν Ἑλένην πένθους ἐτέχθη. διὰ τί δὲ Ἑλένη μόνην τὴν Ἑρμιόνην ἔτεκε; διότι τὸ πολλάκις τεκεῖν ἀλλοιοῖ τὸ κάλλος τῆς γυναικός. μελλούσης γὰρ αὐτῆς μεσολαβῆσαι εἰς τὸν πόλεμον τῶν Τρώων καὶ τῶν Ἑλλήνων, οὐκέτι ἐδίδουν αὐτῇ τέκνον οἱ θεοί, ἵνα τὸ κάλλος φυλάττῃ, ᾧ Ἀλέξανδρος ἡδυνθῆναι ἔμελλε. τὸ δὲ παντελῶς εἶναι ἄτεκνον ἦν δύσδαιμον καὶ κακόν, τὸ δὲ τεκεῖν εὔδαιμον καὶ μακάριον. διὰ τοῦτο ἔτεκεν ἓν, ἵνα μακαρία λογίζηται καὶ ἵνα τὸ κάλλος ἔχῃ. ἐπιφέρει δὲ καὶ ὁ ποιητὴς "Ἑλένῃ δὲ θεοὶ γόνον οὐκέτ' ἔφαινον" πιθανῶς, ἵνα ἐπὶ πλεῖστον ἀκμάσῃ, ἢ ἵνα

2. ἔλαβε] ἔλαβ' M. quod est ἔλαβον.

3. ἣν Ὅμηρος—Φαρσαλίαν M.T.V. καθ' ὅμηρον μὲν φθίαν, κατὰ δὲ νεωτέρους φαρσαλίαν H. ἡ παρ' ὁμήρῳ μὲν φθίη, παρὰ δὲ νεωτέροις φάρσαλος E. Quod verum videtur. Nam *Pharsaliam* dixerunt interdum scriptores Latini: sed Græca hujus formæ exempla quæ certa haberi possint nulla videntur exstare. Straboni 9. p. 430., cui Φαρσαλίας ex Plethone illatum erat pro Φαρσαλίον, recte nunc restitutum Φαρσάλου.

8. Ἀμύκλα correxi ex Eustathio. ἀμύκλας M.

9. Ἐχέμηλον] Ἐχέμηλος etiam ab Eustathio dicitur. Id vero filii foret, non filiæ, nomen. Scribendum igitur Ἐχεμήλαν ex scholio præcedente.

14. διὰ τὸ γῆρας addidi ex H.

26. πιθανῶς—γενεαλογοῦσι] Hæc pars scholii, sed v. 12. adscripta, est etiam in H.M.Q.V. nisi quod in M. paullo brevius, πιθανῶς ὁ

ἐξ Ἀλεξάνδρου γόνον μὴ σχῇ. οἱ δὲ νεώτεροι Ἑλένης μὲν καὶ Ἀλεξάνδρου Κόρυθον ἢ Ἕλενον, ἐκ δὲ Μενελάου Νικόστρατον γενεαλογοῦσι. H.E.Q.

Μεγαπένθης] ἐκ τοῦ ὀνόματος δηλοῖ ὅτι μετὰ τὴν ἁρπαγὴν τοῦτον ἔσχεν. Q.V. 5

12. ἐκ δούλης] οἱ μὲν κύριον τὸ Δούλης, οἱ δὲ Τηριδάης· Τηριδάη γὰρ τὸ κύριον αὐτῆς ὄνομα. M.Q.T.V.

αὕτη, ὡς μὲν Ἀλεξίων, Τειρὶς, ὡς δὲ ἔνιοι Τηρὶς, θυγάτηρ Ζευξίπ-

τοῦτο λέγων Ὅμηρος, ἵνα ἐπὶ πλεῖστον ἀκμάσῃ. οἱ δὲ νεώτεροι Ἑλένης μὲν καὶ Ἀλεξάνδρου Κόρυθον ἢ Ἕλενον, ἐκ δὲ Μενελάου Νικόστρατον γενεαλογοῦσιν. Porro in H.R. hæc leguntur, οἱ νεώτεροι ὑπὸ Ἀλεξάνδρου γενέσθαι αὐτῇ Κόρυθον ἢ Ἕλενον, ἐκ δὲ Μενελάου Νικόστρατος (corr. Νικόστρατον). Post quæ in utroque codice sequitur, ἐκ δούλης: αὕτη, ὡς μὲν Ἀλεξίων etc.

1. γόνον] παῖδα V.

2. Νικόστρατον] Hunc memorant schol. Soph. El. 539. ex Hesiodo, Apollod. 3, 11, 1. Pausan. 2, 18, 6. 3, 18, 13.

6. Τηριδάης—Τηριδάη M.V. τοριδάης—τοριδάη Q. στειρηδάης—στειρηδάη T. Apollodorus 3, 11, 1. Μενέλαος μὲν οὖν ἐξ Ἑλένης Ἑρμιόνην ἐγέννησε καὶ κατά τινας Νικόστρατον, ἐκ δούλης Πιερίδος, γένος Αἰτωλίδος, ἣ καθάπερ Ἀκουσίλαός φησι, Τηριδάης (libri plerique τηρηΐδος) Μεγαπένθη, ἐκ Κνωσσίας δὲ νύμφης, κατὰ Εὔμηλον, Ξενόδαμον.

7. γὰρ] δὲ M.

8. Hoc scholion Maius ex Q. edidit sic scriptum, αὕτη, ὡς μὸν Ἀλεξίων, Γῆρι, ὡς δὲ ἔνιοι θυγάτηρ τινὸς Ζευξίππου· ὡς δὲ ὁ τῶν Νόστων ποιητής, τὸ τῆς δούλης κύριον ὄνομα. φασὶ δὲ μηδέποτε λέγειν τὸν ποιητὴν δούλην τὴν θεράπαιναν· διὸ καὶ τὸ et reliqua. Ceterorum librorum scripturam consideranti vix dubium videbitur quin easdem fere corruptelas in Q. invenerit Maius, sed utcunque corrigere studuerit, non animadvertens quam absonum sit veteri τῶν Νόστων poetæ commentum illud de Δούλης nomine proprio supponi, quod a grammatico aliquo Alexandrino excogitatum est. Quod Eustathium quoque fugit, cujus ex verbis apparet scholion hoc jam illius ætate corruptum fuisse: τὴν δὲ διαληφθεῖσαν δούλην Ζευξίππου τέ τινος εἶπον θυγατέρα καὶ κύριον αὐτῆς ἐξέθεντο ὄνομα, οὗ τὸ ἀκριβὲς ἀφανὲς ἐν τοῖς παλαιοῖς ὑπομνήμασιν. καὶ ὁ τῶν Νόστων δέ φασι ποιητὴς κύριον ὄνομα λέγει τὸ Δούλης. Similis de δέκτῃ vel Δέκτῃ dubitatio est infra δ, 248. et de ἰφθίμη vel Ἰφθίμη δ, 792., ubi mireris de nomine proprio dubitari potuisse ab Aristarcho. Dixit de hoc genere nominum Nitzsch. vol. 3. p. 29.

Τειρὶς M. τῆρϊα (sic) H. γῆρι Q. R. Scriptura corrupta, quam non dubitassem in Πιερὶς mutare, si satis certum videretur quod ex Apollodoro supra memoravi Πιερίδος nomen, quod vereor ne ipsum quoque corruptum sit, nisi gentile est, quod Heynio videbatur, qui ἐκ δούλης Πιερίδος γένος ἢ Αἰτωλίδος scribi volebat.

Τηρὶς θυγάτηρ] Sic correxi quod in H.M.R. et ut suspicor in Q. quoque est θυγατῆρις θυγάτηρ, nisi quod in M. θυγατηρὶς scriptum, in R. θυγατηρις sine accentu. Manifestum est veterem librarium, quum ab nomine Τηρίς ad proximum vocabulum aberrasset iisdem finitum literis a quibus Τηρίς incipit, ob-

πης· ὡς δὲ ὁ τῶν Νόστων ποιητής, Γέτις. τινὲς δὲ τὸ δούλης κύριόν φασι διὰ τὸ μηδέποτε οὕτω λέγειν τὸν ποιητὴν τὴν θεράπαινα· διὸ καὶ τὸ "εἰσόκεν ἢ ἄλοχον ποιήσεται ἢ ὅγε δούλην" (Il. γ, 409.) ἀθετοῦσιν. H.M.Q.R.

Ἑλένῃ] ἐν τῇ κατὰ Ῥιανὸν καὶ Ἀριστοφάνην Ἑλένης σὺν τῷ σ. M. 5

16. γείτονες ἠδὲ ἔται] οἱ ἀστυγείτονες, οἱ ἐκτὸς μὲν ὄντες τῆς πόλεως πλησίον, ἔται δὲ οἱ ἐκ τῆς αὐτῆς πόλεως, οἱ συνήθεις. ἐκ τοῦ ἔθος ἔθης καὶ ἔτης. ἔται ψιλῶς, ἵν' ᾖ οἱ πολῖται. E.Q.

17. φασὶ τοὺς ε' στίχους τούτους μὴ εἶναι τοῦ Ὁμήρου, ἀλλὰ τοῦ Ἀριστάρχου. M.T. 10

litum esse literas θυγα præpostere scriptas aut delere aut punctis notare, unde ortum mirabile istud θυγατῆρις. Nomen autem Τηρίς etsi valde suspectum, tamen nolui in Τηριδάη mutare, quod in præcedente scholio legitur, quum apud Apollodorum, cui ipsi quoque Τηριδάη nescio qua auctoritate illatum est, codices in τηρηΐδος consentire videantur, quod a Τηρίς propius abest quam a Τηριδάη.

P. 172, 8. Ζευξίππης] Sic H. M.R. et, ni fallor, Q., licet Maius τινὸς Ζευξίππου ediderit, quod apud Eustathium legitur, ex ipsius ut videtur conjectura. Nam τινὸς ex corrupto illo θυγατῆρις finxisse, Ζευξίππης autem in Ζευξίππου mutasse videtur, quum patrem nominatum esse probabilius judicaret quam matrem solam non adjecto patris nomine.

P. 173, 1. Γέτις] Sic H. (qui γέτ). M. γέ τις R. et similiter haud dubie etiam Q. Est autem hoc quoque nomen incertum, etsi Γέτις (nam sic Salmasius correxit pro Γέτης) ἐκαλεῖτο ἡ γυνὴ τοῦ Φιλίππου τοῦ Ἀμύντου, ut refert Steph. Byz. s. v. Γετία. quam Medopam Gothilæ filiam appellat Jornandes R. Goth. 10. p. 91. Lind. a Meinekio memoratus.

τινὲς δὲ τὸ ego addidi: quod post literas τις excidisse probabilius videtur quam ἕτεροι δὲ τὸ vel ἔνιοι δὲ τό.

κύριον H.M.R., non κύριον ὄνομα, quod apud Maium legitur.

2. φασι διὰ τὸ μηδέποτε M. φησὶ (φησὶν H.) δὲ μηδέποτε H.R. Veram scripturam suo in libro habuit Eustathius, qui post verba supra apposita κύριον ὄνομα λέγει τὸ δούλης pergit: διὰ τὸ μηδέποτε λέγειν τὸν ποιητὴν δούλας τὰς θεραπαίνας, ἀλλὰ δμωὰς ἢ δμωΐδας· διὸ καὶ τὸ "εἰσόκε σ' ἢ ἄλοχον ποιήσεται ἢ ὅγε δούλην" ἀθετεῖται κατὰ τοὺς παλαιούς.

οὕτω ex οὐ, quod solus servavit M., restituit Cobetus. Ortum autem illud οὐ ex compendio scripturæ male intellecto, ut sæpe alibi: de quo dixit Bast. ad Greg. Cor. p. 828.

τὴν θεράπαιναν] τὸ θεράπαιναν M. Articulum omittunt H.R. δούλην τὴν θεράπαιναν Maii editio.

3. ὅγε] ὁ H.R.

4. ἀθετοῦσιν] De hoc nihil annotatum in schol. ad versum illum.

5. Ῥιανὸν] ἀριαὶν M.

7. ἔται] De scholio codicis M. in quo discrimen vocabulorum ἑταῖρος, ἔτης, φίλος explicatur, vide ad α, 238. Brevius ad h. v. scholion in V. γείτονες μὲν νῦν οἱ ἀστυγείτονες, ἔται δὲ ψιλῶς, ἵν' ᾖ οἱ πολῖται.

9. φασὶ—Ἀριστάρχου] Hoc scholion in M.T. sine lemmate scriptum et ita collocatum est ut incertum foret quo sit referendum, nisi ex Athenæi disputatione 4. p. 180. cognitum haberemus Ari-

ἐμέλπετο θεῖος ἀοιδὸς] οὕτω γάρ ἐστι μεγαλοπρεπὴς ὁ γάμος. Q.V.

19. μολπῆς] ὅτι οὐ τὴν ᾠδὴν, ἀλλὰ τὴν παιγνίαν λέγει οὕτω, πρὸς τὸ "μέλποντες Ἑκάεργον" (Il. α, 474.)· καὶ γὰρ "κυνῶν μέλπηθρα" (Il. ν, 233.) φησί. M.Q. 5

ἐδίνευον] συνεστρέφοντο, ἤτοι ἐχόρευον, ὠρχοῦντο. B.Q.

22. κρείων Ἐτεωνεὺς] ὁ τοῦ Ἀλέκτορος τοῦ συμπενθεροῦ Μενελάου ἀδελφός. M. κρείων ὁ ἐξέχων καὶ διάκριτος ἐν θεράπουσιν. τοιοῦτόν ἐστι καὶ τὸ ἐπὶ τοῦ συβώτου "συβώτης ὄρχαμος ἀνδρῶν" (Od. ξ, 22.). Φερεκύδης δὲ ἱστορεῖ οὕτως· Ἀργεῖος δὲ ὁ Πέλοπος ἔρχεται 10 παρ' Ἀμύκλαν εἰς Ἀμύκλας, καὶ γαμεῖ τοῦ Ἀμύκλα θυγατέρα Ἡγησάνδραν. M.Q. ἐκ τούτου δὲ γίνεται Ἀλέκτωρ. ἔστι γὰρ ἀδελφὸς τούτου καὶ βοηθὸς Ἐτεωνεύς. συγγενὴς οὖν Μενελάου Ἐτεωνεὺς καὶ θεράπων αὐτοῦ, ὡς Ἀχιλλέως Πάτροκλος. κρείων δὲ ὁ ἄλλων μὲν βασιλεὺς, Μενελάου δὲ δεύτερος. B.H.M.Q. 15

23. θεράπων] ὑπηρέτης, φίλος, ὁ περὶ τὴν θεραπείαν ὑπάρχων. V.

25. ὡς τὸ ὕψι ὑψοῦ καὶ ἄγχι ἀγχοῦ. E.

26. ξείνω δή τινε] μόνῳ τῷ Μενελάῳ περὶ ξένων εἰσαγγέλλεται διὰ τὸ ἠδικῆσθαι ὑπὸ ξένου. H.M.Q.

starchum post versum 14. quinque hos inseruisse qui nunc leguntur in libris omnibus 15—19. ὡς οἱ μὲν —μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσους, parum cogitanter, ut pluribus ostendit Athenæus, μετενεγκόντα (tres postremos quidem versus leviter mutatos) ἐκ τῆς Ὁπλοποιΐας (Il. σ, 604—606.) σὺν αὐτῷ γε τῷ περὶ τὴν λέξιν ἁμαρτήματι· οὐ γὰρ ἐξάρχοντες οἱ κυβιστητῆρες, ἀλλ' "ἐξάρχοντος" τοῦ ᾠδοῦ πάντως ὠρχοῦντο. Quibus addit Diodorum Aristophaneum ὅλον τὸν γάμον περιγράψαι.

P. 173, 9. τοὺς ε' στίχους scripsi pro τοὺς γ' στίχους. Quanquam hic fortasse non librarii, sed ipsius error est scholiastæ, eo explicandus quod ab antiquiore interprete observatum erat tres postremos versus ex Iliade huc translatos esse.

τούτους om. T.

P. 174, 1. ἐστι] ἔσται V. in quo hæc annotatio præcedenti, quæ verbis οἱ πολῖται finitur, est adjuncta.

3. ὅτι] χρὴ γινώσκειν ὅτι M.: quæ recentioris grammatici interpolatio est.

8. κρείων ὁ—θεράπουσιν M. ὁ ὑπερέχων ἐν θεράπουσι ceteri.

9. τοῦ addidi ex M.

11. παρ' Ἀμύκλαν] παρὰ μύκλαν H. περὶ τὸν μύκλαν M.

τοῦ Ἀμύκλα (μύκλα M.) θ. Ἡγησάνδραν] ἀμύκλαν θ. ἡγησάνδρας B.Q.

12. ἐκ τούτου—Ἐτεωνεύς] Sic M. Legebatur τοῦδε γράφεται γελανίων (μελανίων H.) καὶ ἠλεκτρύων καὶ βοηθός. τούτου ἐτεωνεύς. De Alectore conf. schol. ad v. 10.

ἔστι γὰρ] Malim ἔστι δέ.

18. περὶ] παρὰ H.

19. ὑπὸ ξένου om. H.Q. In V. hoc scholion paullo aliter conformatum, ἀπαγγέλλεται μόνῳ περὶ ξένων Μενελάῳ διὰ τὸ ἐπιβεβουλεῦσθαι ὑπὸ ξένου.

τώδε] παροξυτονητέον, ἵνα νοηθῇ δυϊκόν. Ἄλλως. τὸ τώδε ἐγκλιτέον. δεικτικὸν δὲ ὂν δηλοῖ τὴν ἐγγύτητα αὐτῶν. M.

27. γενεὴν] γέννησιν, γένος. V.

εἴκτην] ἐοίκασιν, ὡμοίωνται. E.M. ὄπισθεν δὲ εἶπε "πυρὶ λαμπετόωντι εἴκτην" (662. Il. α, 104.), ἤτοι ὡμοιοῦντο. E.

28. ἀλλ' εἴπ' εἰ σφῶϊν] ἐγκλιτέον τὸ σφῶϊν, ἵνα τρίτον γένηται πρόσωπον. M.

29. ἦ ἄλλον] περισπαστέον τὸ ἦ ὡς ἐρωτηματικόν. τὸ δὲ φιλήσῃ ἐπὶ τοῦ ξενίζειν ἐνταῦθα. λείπει ἡ εἰς, ἵν' ᾖ εἰς ἄλλον. B.

ὅς κε φιλήσῃ] ὅτι ἐπὶ τοῦ ξενίζειν τὸ φιλεῖν τίθησι. παρέλκει δὲ ὁ κε. M.

30. τὸν δὲ μέγ' ὀχθήσας] ὑψώσας τὸν θυμὸν, ἐκ μεταφορᾶς τῆς ὄχθης· ἢ λυπηθεὶς, ἐκ τοῦ ἄχθος, τροπῇ τοῦ α εἰς ο. E.

31. οὐ μὲν] ὁ μέν ἀντὶ τοῦ δή, ὁ δὲ ἀτάρ ἀντὶ τοῦ δέ. H.

Βοηθοίδη] Βοηθοίδης τετρασυλλάβως. ὅμοιον δέ ἐστι τοῦ "Πανθοίδης Εὔφορβος" (Il. π, 808.). H.M. Βοηθοίδη, καὶ κατὰ συναίρεσιν Βοηθοίδη. E.

33. τὸ ἑξῆς οὕτως· εἰ μὲν δὴ ἡμεῖς πολλῶν ἀγαθῶν ἐμπλησθέντες παρὰ ἀλλοδαπῶν ἀνδρῶν, ἐνταῦθα παρεγενόμεθα, ὀφείλομεν πάντως τοῖς ξένοις ὁμοίως ποιεῖν. ἀλλὰ θᾶττον λύε τοὺς ἵππους, αὐτοὺς δ' εἰσάγαγε εὐωχηθῆναι, ὅπως διὰ τούτου ὁ Ζεὺς τῆς μελλούσης ταλαιπωρίας ἡμᾶς ἐκλυτρώσηται, καὶ μὴ τοῖς παρεληλυθόσιν ἴσα παθεῖν συγχωρήσειεν. Q.

35. ἐξοπίσω περ παύσῃ] δαιμονίως ἐξέφηνε τὴν γεγονυῖαν αὐτῷ πλάνην διὰ μιᾶς λέξεως. H.M.

1. Pars hujus scholii est in B. τὸ τώδε δεικτικόν ἐστι καὶ δηλοῖ τὴν ἐγγύτητα αὐτῶν. Post hoc scholion in M. sequuntur verba, τὴν ἀγαθοῦ καταφθιμένοιο λιπέσθαι (Od. γ, 196.) ἐλλειπτικῶς ἐνοήσαμεν τὸ ἀλλὰ παῖδα ἀγαθόν. Quæ non intelligo.

4. ὡμοίωνται M. ὁμοιοῦνται E.

6. ἀλλ' εἴπ' εἰ σφῶϊν] Sic M. in lemmate: ἀλλ' εἶπ' ἢ σφῶϊν in textu, adscripto γρ. ἀλλ' εἶπ' εἰ σφῶϊν.

10. φιλήσῃ] Sic M. in lemmate. In textu φιλήσει, ει in η mutato. Si scholion Aristonici est, colligi potest Aristarchum φιλήσει probasse.

15. Βοηθοίδης—Πανθοίδης] τετρασυλλάβως δὲ τὸ βοηθίδης, ὡς τὸ πανθοίδης H.

24. ἐξοπίσω περ παύσῃ] Huic lemmati Maius ex Q. adscripsit hæc, διὰ τὴν πλάνην, εἰς τὸ μετὰ ταῦτα ἡμᾶς ἐκλυτρώσηται τῆς μελλούσης ταλαιπωρίας. Quæ ex scholio ad v. 33. repetita sunt.

36. προτέρω] τοπικῶς ἀντὶ τοῦ εἰς τοὔμπροσθεν, ἢ προτέρους τῶν ἵππων. B.Q.

37. ὁ δ' ἐκ μεγάροιο] Ἀρίσταρχος χωρὶς τῆς ἐκ προθέσεως, ὁ δὲ μεγάροιο διέσσυτο· βούλεται γὰρ λέγειν διὰ μεγάρου. M.H.Q.R.

κέκλετο δ' ἄλλους] ἐπεὶ ὑπερέχων τῶν ἄλλων θεραπόντων ἦν, 5 προστάσσει τοὺς λοιποὺς συνελθεῖν πρὸς τὸ λῦσαι τοὺς ἵππους. E.

38. ἑοῖ αὐτῷ] αὐτῷ αὐτῷ. τὸ δὲ ε πλεονασμὸς Ἀττικός. B.

39. λῦσαν] Ἰακῶς τὸ λῦσαν οὕτως γράφει Ἀρίσταρχος. H.

40. κάπῃσι] ἀπὸ τοῦ κάπω ῥήματος τοῦ σημαίνοντος τὸ πνέω γίνεται ὄνομα κάπη ἡ φάτνη, ἐν ᾗ ἀναπνέουσι καὶ ἀναπαύονται τὰ 10 ζῷα. B. αἱ φάτναι. καὶ γίνεται παρὰ τὸ πατῶ, τὸ ἐσθίω, πάτη, καὶ ἐν ὑπερβιβασμῷ τάπη, καὶ τροπῇ τοῦ τ εἰς κ κάπη. T. παρὰ τὸ ἐν αὐταῖς ἵστασθαι τοὺς ἵππους καὶ κάπειν ἤτοι ἐσθίειν· ἢ παρὰ τὸ χάπτειν, ὅ ἐστι λάπτειν, χάπη καὶ κάπη. E.

41. ζειὰς] δεῖ νοῆσαι ζειὰν ἐνταῦθα τὸ καλούμενον ἄχυρον. H.Q. 15

42. πρὸς ἐνώπια παμφανόωντα] τοὺς ἀντικρὺ τόπους τῆς εἰσόδου ἐνώπια καλεῖ ὁ ποιητής· τοὺς φωτιζομένους ὑφ' ἡλίου τόπους ἢ τῆς σελήνης. B.E.Q. τοὺς ἀντικρὺ τόπους τῆς εἰσόδου ἐνώπια καλεῖ ὁ ποιητής. διὰ τοῦτο καί τινες διαλελυμένην γράφουσι τὴν λέξιν τιθέντες εἰς τὸ πρός βαρεῖαν. E. 20

44. θαύμαζον] ἔοικεν, ὡς δείκνυσιν αὐτοὺς ἀπαιδεύτους ἐνταῦθα ἀπὸ τοῦ ἵστασθαι καὶ βλέπειν τὰ τῆς οἰκίας καλλωπίσματα, καὶ τῇ ἀληθείᾳ ἄπειροι ἦσαν· ἀλλὰ τέως πρὶν φανῆναι τὸν Μενέλαον. ὥστε εἰ πρὸ τοῦ φανῆναι ἀνέβλεπον τὸ κάλλος τοῦ δόμου, καὶ ἠσχολοῦντο ἐκεῖνο θαυμάζοντες, οὐ καινόν. E. 25

διοτρεφέος βασιλῆος] οὐ παρέλκει τὸ ἐπίθετον. τὸ δὲ ἑξῆς, θαυμάζουσιν εἰσελθόντες τὴν κατασκευὴν τὴν οἰκίας. H. οὐ παρέλκει τὸ ἐπίθετον, ἐπεὶ ἀπόγονος Διὸς ὁ Μενέλαος. E.

45. ὥστε γὰρ ἠελίου αἴγλη] σημειοῦνται τινὲς ὡς ἐνηλλαγμένης

3. Ἀρίσταρχος om. M. Et Aristophanis potius scripturam esse ex scholio simili ad β, 1338. probabiliter colligit Buttm.

χωρὶς M. ἔξω ceteri.

τῆς ἐκ προθέσεως, ὁ] τῆς ἐξ, ὁ M.

δὲ μεγάροιο διέσσυτο M. δ' ἐκ μεγάροιο ceteri, omisso διέσσυτο. Pronunciandum autem δεμμεγάροιο.

8. οὕτως] Non ἔλυσαν, ut alii.

13. κάπειν] Immo κάπτειν. BUTT.

14. χάπτειν] Pronuntiatio recentiorum Græcorum, teste Eust. ad h. l. pro κάπτειν, ἐγκάπτειν BUTTM.

23. τὸν Μενέλαον Struvius pro τῷ Μενελάῳ.

τῆς φράσεως. Μ. ἡ τάξις ἐνήλλακται· πάντως γὰρ προεκδίδονται. Μ. ἔδει γὰρ ἀπὸ τῆς σελήνης ἀναβιβάσαι ἐπὶ τὸν ἥλιον, ἵνα ἂν εἰς τὸν ἥλιον ἀποτύχῃ, εἰς τὴν σελήνην οὐκέτι. Ε. ἀπὸ μείζονος τὸ ἐπιχείρημα. τοῦτο δὲ ποιεῖ διὰ τὴν ἀποτυχίαν. Ε.

46. δῶμα καθ' ὑψερεφὲς] τὸ οἴκημα τὸ ὑψηλόστεγον. τὸ δὲ κ διὰ τὸ οἱ Αἰολεῖς τὴν πρόθεσιν ἀντὶ ἄρθρου παραλαμβάνουσιν. Μ. 5

47. ὁρώμενοι] ὁρῶντες, τὸ παθητικὸν ἀντὶ τοῦ ἐνεργητικοῦ. Β.Ε.

50. ἀμφὶ δ' ἄρα χλαίνας οὖλας] ἀπαλὰς, κεκροκισμένας ἢ τριχωτὰς, τὰ λεγόμενα χάσδια· ἢ καινουργίας, ἀπὸ τοῦ οὖλον τὸ σῶον καὶ ὑγιές. Ε. 10

51. ἐν ἄλλῳ, παρὰ ξανθὸν Μενέλαον. Η.

52. χέρνιβα δ' ἀμφίπολος] διὰ τί πρὸ μὲν τοῦ δείπνου ἐνίπτοντο, μετὰ δὲ τὸ δεῖπνον οὐκέτι, ἐρρήθη μὲν ἤδη καὶ ἐν ἄλλοις, ῥητέον δὲ καὶ τοῦτο. ὅταν γὰρ λέγῃ "χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα καλῇ χρυσείῃ ὑπὲρ ἀργυρέοιο λέβητος νίψασθαι," φήσομεν 15 ὅτι οὐκ εἰς τὸ νίψασθαι πρὸ τοῦ δειπνεῖν κυρίως τοῦτο εἴρηται, ἀλλὰ συλλαβὼν τὰ παρασκευαζόμενα ἐπὶ τὸ δεῖπνον λέγει, οὐκέτι τὰ κατὰ μέρος ἐπεξιών. τινῶν γὰρ τὰς ἀρχὰς μηνύσας, οὐκέτι τοῖς κατὰ μέσον ἐπέξεισι, συγχωρεῖ δ' ἡμῖν ἐπινοεῖν καὶ τὰ μεταξὺ οἷα γίνεται. ὥσπερ οὖν οὐδ' αἰρομένας τὰς τραπέζας ἐποίησεν οὐδὲ τὰ λείψανα τὰ 20 ἐκ τοῦ συμποσίου συναγόμενα, οὕτως οὐδὲ μεταξὺ νιπτομένους καὶ μετὰ τὸ δεῖπνον ἐπινιπτομένους· ἐπεὶ καὶ τοῦτο οὐ δηλοῖ ἅπαξ τὸ νίψασθαι ἐκόμισεν, ἀλλ' ὅτι ἐκόμισε τὰ χερόνιπτρα ἐν προχόῳ χρυσέῃ καὶ λέβητι ὑποδεχομένῳ ταῦτα ἀργυρῷ· ὥστε παρέκειτ' ἀεὶ τὰ χερόνιπτρα, ὅτε βούλοιντο νίψασθαι, ὥσπερ ἡ τράπεζα καὶ τὰ ἄλλα, 25 ἄχρις ὅτου βούλοιντο αὐτοῖς. οὕτως καὶ τοὺς Πυλίους ποιήσας ἐν τῷ κατάπλῳ τῶν περὶ τὸν Τηλέμαχον εὐωχουμένους οὐκέτι δεδήλωκεν ὅπως ἐκ τῆς ἠόνος ἀναστάντες ἀπηλλάγησαν· καὶ τὴν Ἀθη-

5. τὸ δὲ κ—παραλαμβάνουσιν] Hæc non intelligo.

9. χάσδια] Vox Græcobarbara, cujus exempla vide apud Ducang. p. 1739.

καινουργίας] καινουργίδας Buttm.

11. ἄλλῳ Porsonus pro ἄθλῳ.

12. δείπνου—δεῖπνον R. δειπνεῖν—δειπνεῖν H.Q.

13. ἤδη R. γὰρ δὴ H.Q.

καὶ ἐν ἄλλοις] καὶ ἄλλοις Q. καὶ ἄλλῃ H. καὶ ἄλλως R.

14. λέγῃ] λέγει Q.

17. οὐκέτι] οὐκ ἐπὶ R.

19. συγχωρεῖ δ' ἡμῖν] συγχωρεῖν ἡμῶν H.R.

23. 25. χερόνιπτρα R. χερόνιπτα H.Q.

25. ὅτε correxi pro ὅταν.

26. αὐτοῖς] Fort. χρῆσθαι αὐτοῖς.

27. τῶν Buttm. pro τῷ.

νᾶν Μέντῃ ὁμοιωθεῖσαν καὶ τὸ δόρυ δοῦσαν τῷ Τηλεμάχῳ, οὐκέτι ὅπως τοῦτο ἀπιοῦσα ἀπέλαβεν ἐπεσημήνατο, ἐπεὶ καὶ τὸ τόξον εἰς κατασκοπὴν ἀπιόντι Μηριόνης δίδωσιν Ὀδυσσεῖ· ὅπως δὲ τοῦτο ἀπέδωκεν οὐκέτι ἐπεσημήνατο, διδοὺς τοῖς ἀκροαταῖς καθ' ἑαυτοὺς λογίζεσθαι τὰ ἀκόλουθα. καὶ πολλὰ τοιαῦτα ἔστι γνῶναι παρ' αὐτῷ. οὐ γὰρ μόνον τί εἴπῃ, ἀλλὰ καὶ τί μὴ εἴπῃ ἐφρόντισε· καὶ οὐχ ἧττον ἐξ ὧν κατορθοῖ ἐν οἷς λέγει σοφὸς εὑρίσκεται ἢ ἐν οἷς ἀποσιωπᾷ καὶ οὐ λέγει. H.Q.R.

54. παρὰ δὲ ξεστὴν ἐτάνυσσε] παρέκειντο γὰρ τοῖς θρόνοις αἱ τράπεζαι. εἰκότως δὲ νῦν τὰ περὶ τῆς ταμίας παράκειται· οὐ γὰρ ἐν τῷ ξενίζεσθαι παρὰ Τηλεμάχῳ τὴν Ἀθηνᾶν. ἐπεισεληλύθασι γὰρ οὗτοι τοῖς περὶ τὸν Μενέλαον, ἐξ ἀρχῆς δὲ παρὰ τῷ Τηλεμάχῳ πάρεστιν ὁ Μέντης. H.M.Q.

ξεστὴν] γρ. χρυσῆν. H.

56. εἴδατα] ἀπὸ τοῦ ἔδω τὸ ἐσθίω ἔδωρ καὶ εἶδαρ. E. ἡδύσματα μεμυρισμένα, σκευαστὰ παρ' ἡμῖν λεγόμενα. T.

59. τὼ καὶ δεικνύμενος] φιλοφρονούμενος, δεξιούμενος. ἐκ τοῦ δέκω τὸ δέχομαι δείκω δεικνύω καὶ δείκνυμι, τὸ φιλοφρονοῦμαι. B.E.

61. δείπνου πασσαμένω] τοῖς ὁδοιπορήσασι δείπνου δηλονότι γενομένου. αὐτὸς γὰρ ἑξῆς φησι "δόρπου δ' ἐξαῦτις μνησώμεθα" (213.). καὶ "οὐ γὰρ ἔγωγε τέρπομ' ὀδυρόμενος μεταδόρπιος" (194.). H.M.Q.

62—64. προηθετοῦντο καὶ παρὰ Ζηνοδότῳ καὶ παρὰ Ἀριστο-

2. ἀπιοῦσα Buttm. pro ἐπιοῦσα.
ἐπεὶ καὶ—ἐπεσημήνατο om. Q.R.
6. ἀλλὰ om. Q.
ἐφρόντισε] ἐφρόνησε Q.
7. ἐξ ego addidi.
ὧν H.R. ἂν Q.
κατορθοῖ correxi pro κατορθοῖς.
ἐν οἷς λέγει H.R. ἐν οἷς λέγειν Q.
10. νῦν τὰ περὶ M. νῦν παρὰ H.Q.
11. τηλεμάχῳ M. τηλεμάχου H.Q.
ἐπεισεληλύθασι (sic Cobetus pro ἔπεισε λελύθασι)—Μέντης om. Q., nisi quod ἔπεισε habet.
12. τὸν Μενέλαον] τηλέμαχον H.
13. ὁ Μέντης Cobetus pro ὁ Νέστωρ.
20. τοῖς ὁδοιπορήσασι δείπνου] δεῖπνον τοῖς ὁδοιποροῦσι Q.
γενομένου M. γενόμενον ceteri.
21. ἑξῆς φησι δόρπου M. Legebatur ἐφεξῆς φησι δείπνου.
22. οὐ γὰρ ἔγωγε om. H.Q.
μεταδόρπιος] μετὰ δόρπον Q.
24. Ordo scholiorum ad v. 62. in M. hic est 1. χωρὶς τοῦ ι—λαμβάνῃ. 2. προηθετοῦντο—ἀναγκαῖος. 3. ἄλλως. σὺν τῷ ι—γονέων.
προηθετοῦντο] Vid. Buttm. ad α, 185.
παρὰ Ζηνοδότῳ καὶ παρὰ Ἀριστοφάνει M., nisi quod ἀριστοφάνη. παρὰ ἀριστοφάνους καὶ παρὰ ζηνοδότου H.

φάνει· τό τε γὰρ σφῶϊν οὐχ Ὁμηρικῶς μονοσυλλάβως ἐξηνέχθη ὅ τε ἔπαινος τῶν νέων οὐκ ἀναγκαῖος. H.M.

62. σφῶν γε γένος] χωρὶς τοῦ ι ἡ σφῶν, ὡς Ἀρίσταρχος καὶ Ἡρωδιανός. Ἀπολλώνιος δὲ ἐν τῷ περὶ ἀντωνυμιῶν γράφει αὐτὴν μετὰ τοῦ ι, ἵν' ᾖ δευτέρου προσώπου κατὰ συναίρεσιν· ἀλλ' οὐκ ἔστι ποτὲ παρὰ τῷ ποιητῇ γενικὴ καὶ δοτικὴ μὴ ἐκφωνοῦσα· τὸ γὰρ λέγειν καὶ ὤμοιϊν καὶ ποδοῖϊν μετὰ τοῦ ι λέγει δισυλλάβως. ἐπίτηδες δὲ Ἀρίσταρχος ἀθετουμένων τῶν στίχων καὶ ἄνευ τοῦ ι εἴασε τὴν γραφήν, ἵνα καὶ τοῦτο πρὸς τὴν ἀθέτησιν λαμβάνῃ. H.M.

οὐ γὰρ σφῶν γε γένος] σὺν τῷ ι γραπτέον, ἵν' ᾖ σφῶϊν δυϊκῶς. οὐ γὰρ ἀφανῶν ἐστε γονέων. M.V.

σεσημείωται τὸ σφῶν ἐπὶ δευτέρου προσώπου λαμβανόμενον. E.

65. νῶτα βοὸς] ὡς ἐν Ἰλιάδι "νώτοισι δ' Αἴαντα διηνεκέεσσι γέραιρε" (Il. η, 321.). λέγει δὲ καὶ Ξενοφῶν διμοιρίαν δίδοσθαι τοῖς Λακεδαιμονίων βασιλεῦσι. καὶ οὐ τοῦτό φημι, ὅτι κατὰ τὸν ἐν Σπάρτῃ νόμον ταῦτα πέπρακται, ὕστερον γὰρ τὰ Λυκούργου, ἀλλ' ἴσως καὶ τὸ Λακωνικὸν ἔθος ἐκ τῆς τούτου παραδέδοται τηρήσεως. H.M. Q.R.

66. τά ῥά οἱ γέρα] τὰ γὰρ ἄνω μέρη ἤτοι τὰ νωτιαῖα παρετίθουν τοῖς ἐντίμοις. τὸ δὲ ἑαυτῷ Ὅμηρος οἱ αὐτῷ γράφει. E.

69. δὴ τότε Τηλέμαχος] ἀφορμὴν παρέσχε τῷ Μενελάῳ ἀναγνωρισμοῦ καινοῦ. ἐκεῖνο μὲν γὰρ κοινόν, τὸν μὲν πυνθάνεσθαι, τὸν δὲ ἀποκρίνεσθαι ὅτι Ὀδυσσέως παῖς τυγχάνει, ὥσπερ παρὰ Νέστορι πέπρακται, τὸ δὲ περιπέτειάν τινα εἶχεν, ἐκ τῆς Ὀδυσσέως μνήμης εἰς δάκρυα προπεσόντος τοῦ νέου, εἰς ὑποψίαν ἐμπεσεῖν ἀληθείας τὸν

1. ἐξηνέχθη ὅ τε] ἐξενεχθήσεται M.

4. Ἀπολλώνιος δὲ ἐν τῷ περὶ ἀντωνυμιῶν] P. 370. τοιοῦτο δ' ἦν τὸ "οὐ γὰρ σφῷν γε γένος ἀπόλωλε τοκήων," ὅπερ ἐδόκει ἐπίμεμπτον εἶναι ὡς τρίτον πληθυντικὸν δίχα τοῦ ι γραφόμενον, τοῦ λόγου ἀπαιτοῦντος δεύτερον· πρὸς γὰρ αὐτούς, οὐ περὶ αὐτῶν. Nam sic Nauck. Aristoph. p. 23. correxit pro αὐτοὺς ὑπὲρ αὐτῶν.

7. ἐπίτηδες] ἐπίτηδε (sic) M.

8. Ἀρίσταρχος Cramerus. Libri ἀρχίλοχος.

11. ἐστε] ἐστι M. Verba ἤγουν οὐκ ἀφανῶν γονέων ἐστέ habet etiam E.

14. Ξενοφῶν] De rep. Laced. 15, 4.

διμοιρίαν correctum e Xenophonte. δίμοιραν R. διμοίραν Q. δεῖ μοῖραν M.

δίδοσθαι] δϊδόσθαι (hoc accentu) M.Q. δεδόσθαι. BUTTM.

16. γὰρ M.R. δὲ ceteri.

17. τηρήσεως M. παρατηρήσεως ceteri.

22. κοινὸν M. Legebatur καινόν.

τὸν δὲ ἀποκρίνεσθαι addidi ex M.

24. τὸ δὲ—εἶχεν M. Legebatur τὸν δὲ—ἔχειν.

Μενέλαον. αὕτη τοίνυν τοῦ νεανίσκου ἡ ἔκπληξις καιρὸν παρέσχε τῷ Μενελάῳ τῶν λόγων. M.Q.

προσεφώνεε Νέστορος υἱὸν] ἐκεῖνος μὲν ἐλάλει κρυφίως πρὸς τὸν Νεστορίδην, μή ποτε κόλαξ φανῇ· ὁ μέντοι Μενέλαος προσεκτικὸς ὢν ἤκουσε τῶν λεγομένων καὶ ἤρξατο λαλεῖν αὐτοῖς. ταῦτα δὲ οἰκονομία τοῦ Ὁμήρου, καὶ ἵνα πλατύνῃ τὴν ποίησιν αὐτοῦ καὶ ἵνα εἴπῃ ἃ εἰς τὴν Ἰλιάδα οὐκ εἶπε. μέλλει γὰρ παραγαγεῖν καὶ τὴν Ἑλένην ὥστε γνωρίσαι αὐτοὺς καὶ εἰπεῖν περὶ τοῦ Ὀδυσσέως ἐπαίνους, καὶ καταλέξαι ἔθη γυναικεῖα, καὶ ἅμα καὶ τὴν Ἑλένην ἐγκωμιάσαι. ἐν γὰρ τῇ Ἰλιάδι οὐδὲν εἶπε τὸ τυχὸν περὶ αὐτῆς ἐπαινετήρια. E.

70. ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι] τὸ γὰρ ἀκούοντος Μενελάου ἐπαινεῖν θωπείας ἦν ἀνάπλεων καὶ ἐλευθέροις οὐχ ἁρμόττον. M. ὅπως μὴ δόξειε κολακεύειν. τὸ δὲ πευθοίατο πεύθοιντο ἦν· καὶ οἱ Ἴωνες πευθοίατο ἐκβολῇ τοῦ ν καὶ προσθέσει τοῦ α. E.

πευθοίαθ' οἱ ἄλλοι] οὕτως Ζηνόδοτος. ὁ δὲ Ἀρίσταρχος πευθοίατο ἄλλοι, χωρὶς τοῦ ἄρθρου, ὡς Ἡρωδιανός φησιν. H.M.

72. χαλκοῦ τε στεροπὴν] ἄνω εἰπὼν "οἱ δὲ ἰδόντες θαύμαζον κατὰ δῶμα" (44.), νῦν διὰ Τηλεμάχου τὰ περὶ τῆς ἐκπλήξεως ἐσήμανεν, ὅτι ἐκ τῆς τοιαύτης ὕλης ἦν ὁ κόσμος. H.M.Q.

74. Ζηνός που] τὸ που στοχαστικόν. Q.

γρ. Ζηνός που τοιαῦτα δόμοις ἐν κτήματα κεῖται. P.

75. ὅσσα τάδε] ἤρκει καὶ τοῦτο εἰς ἔμφασιν, ὁ δὲ ἐπιφέρει, ἄσπετα πολλά. καθ' ἕκαστον δὲ αὔξησίς ἐστιν ἱκανή. Q.

ἄσπετα] ἐκ τοῦ ἐνίσπω τὸ λέγω ἄσπετον, ἄρρητον. E.

78. τέκνα φίλ', ἤτοι Ζηνὶ] μετὰ τὴν προσφώνησιν στικτέον. μετὰ τὸ "Ζηνί" βραχὺ διασταλτέον. οὕτω γὰρ τὰ ἑξῆς σαφέστερα. καὶ ἄλλως ἵνα μὴ δοκῇ τὸν ἕτερον ἐλέγχειν, εὐπρεπῶς πρὸς ἀμφοτέρους ἀποτείνεται, οὐκ ἐπιτιμῶν, ἀλλὰ τὰ ἑαυτοῦ καταβάλλων ἐν ἤθει. H.M.Q.

9. ἐγκωμιάσαι] ἐγκωμιάσειν E.
10. Fort. οὐδὲν εἶπε τυχὸν—ἐπαινετήριον.
15. ὁ δὲ Ἀ. M. Ἀ. δὲ H.
16. ἄλλοι Porsonus. ἄλλως M. ἀλλὰ H.
χωρὶς τοῦ ἄρθρου om. M.
ὡς Ἡρωδιανός φησιν addidi ex M.
18. τὰ περὶ M. τὴν περὶ Q. et fortasse H.
21. τοιαῦτα] τοῖα P. Correxi ex Athen. 5. p. 188. F. ex quo cognoscimus hanc Seleuci scripturam esse (præeunte, ut conjicere licet, Aristophane), vulgatam vero, Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλή, Aristarchi esse, contra quam disputat Seleucus.
27. ἕτερον] ἕταιρον (sic) M.
28. ἐν ἤθει H.M. ἤθη Q.

79. ἀθάνατοι] ἄφθαρτοι· τὰ δὲ ἀνθρώπινα πάντα χρόνῳ φθείρονται. H.

80. ἀνδρῶν δ' ἤ κέν τίς μοι] ἠρέμα θρύπτεται μετὰ ἤθους ἐκφέρων ὅτι ἀμφήριστα ταῦτα ἀνθρώποις. τὰ δὲ θεῖα μείζω ὑπάρχει διὰ τὸ ἄφθαρτα εἶναι. Q.

81. κτήμασιν] εἰς σύστασιν περὶ τοῦ πλήθους. ἴδιον δὲ τῶν ἐκ πόνου πεπλουτηκότων διηγεῖσθαι. καὶ τὸ μὲν κεκτῆσθαι παρὰ προγόνων μικρὸν, τὸ δὲ κτήσασθαι μεῖζον. M.Q.

ἐπαληθεὶς] πλανηθείς. οἱ δὲ, ἐπὶ τοὺς ἀληθεῖς Αἰγυπτίους, ὅτι μαντικῆς ἔμπειροι. V.

84. Αἰθιόπας θ' ἱκόμην καὶ Σιδονίους καὶ Ἐρεμβοὺς] Σιδονίους τοὺς περὶ τὴν ἐρυθρὰν θάλασσαν λέγει, οὓς μετῴκισαν οἱ Φοίνικες. B.E.M. Ἐρεμβοὺς δὲ ἀπὸ τοῦ ἐν τῇ ἕῳ βαίνειν. τοὺς δὲ Τρωγλοδύτας Σαρακηνοὺς λέγει. B.E. Σιδονίους τοὺς παρὰ τῇ ἐρυθρᾷ θαλάσσῃ λέγει, ὅθεν μετῴκησαν οἱ Φοίνικες. V.

Ἐρεμβοὺς] Ἀρίσταρχος Ἐρεμβοὺς τοὺς Ἄραβας ἀκούει. τινὲς δὲ γράφουσιν Ἐρεμνούς, ὅ ἐστι τοὺς Ἰνδοὺς, οἱ δὲ τοὺς εἰς τὴν ἕραν δύνοντας διὰ τοὺς καύσωνας, οὓς καὶ Τρωγλοδύτας φασί. οἵτινες καὶ διὰ τοῦ β γράφουσιν Ἐρεμβούς. κράτιστα δὲ ἀποδιδόασιν οἱ ὀνοματικῶς ἀκούοντες τοὺς Ἐρεμβούς, καὶ παρατιθέντες τοὺς καταλογάδην συγγραφεῖς οὕτως ἀναγράφοντας. ἔνιοι δὲ διὰ τοῦ α γράφουσιν Ἐραμβούς. H.M.Q.R. Ἐρεμβοὺς τοὺς Τρωγλοδύτας τοὺς

6. σύστασιν] Conf. not. ad η, 241. BUTTM.

περὶ M. τὰ παρὰ Q.

12. τοὺς—μετῴκισαν M. οὓς κατὰ τὴν ἑ. θ. μετῴκισαν B.E. In Q. et Vindob. est Σ. τοὺς κατὰ τὴν ἐρυθρὰν μετοικήσαντας Φοίνικας.

16. In accentu nominum Ἐρεμβούς vel Ἐρέμβους et Ἐρεμνούς vel Ἐρέμνους libri sibi non constant. Ego accentu acuto scripsi, quem præcipit Arcadius p. 46, 1.

τοὺς Ἄραβας ἀκούει] Repetit hoc Eustathius p. 1484. sed hanc non potuisse Aristarchi sententiam esse ostendit Lehrs. Aristarch. p. 255.

17. ὅ ἐστι M. in scholio proximo. οἱ δὲ H.Q.R.

20. ὀνοματικῶς M. ὀνομαστικῶς ceteri.

21. ἀναγράφοντας] ἀναγράφοντες H. R.

γράφουσιν om. M.

22. Ἐραμβούς] ἐράμβους M. ἀράμβους H.Q.R.

Ἐρεμβοὺς] καὶ ἐρέμβους H. In M. hoc scholion sic scriptum, Ἀρίσταρχος Ἐρεμβοὺς τοὺς Ἄραβας ἀκούει. καὶ μεταγράφουσιν—Ἄραβάς τε. τινὲς δὲ γράφουσιν Ἐρεμνούς, ὅ ἐστι τοὺς Ἰνδοὺς παρὰ τὸ—Κράτης Ἐρεμνοὺς λέγει. οἱ δὲ ἴδιον ἔθνος. "In Vindob. est ἐρέμβους, παρὰ τὸ εἰς τὴν ἐρυθρὰν δύνειν. Et seorsim alia manu: ἢ Ἐρεμβοὺς τοὺς Τρωγλοδύτας ἀπὸ τοῦ εἰς τὴν ἕραν βαίνειν." BUTTM.

Σαρακηνοὺς παρὰ τὸ εἰς τὴν ἕραν δύειν· οἱ δὲ τοὺς Ἰνδοὺς παρὰ τὸ ἔρεβος, μέλανες γὰρ, ὅθεν καὶ Κράτης τοὺς Ἐρεμνοὺς γράφει· οἱ δὲ ἴδιον ἔθνος. ἔνιοι δὲ τοὺς Ἄραβας, καὶ μεταγράφουσιν οὕτως· "Αἰθίοπάς θ' ἱκόμην καὶ Σιδονίους Ἄραβάς τε." Η.Μ. οἱ μὲν τοὺς Τρωγλοδύτας φασὶ, τοὺς Σαρακηνοὺς, παρὰ τὸ εἰς τὰς τρώγλας ὑπὸ τὰς σχισμὰς δύνειν διὰ τὸν καύσωνα τοῦ ἡλίου. οἱ δὲ τοὺς Ἰνδοὺς παρὰ τὸ ἔρεβος, μέλανες γὰρ, ὅθεν καὶ Κράτης Ἐρέμνους γράφει. ἔνιοι δὲ τοὺς Ἄραβας. καὶ μεταγράφουσιν οὕτως "Αἰθίοπάς θ' ἱκόμην καὶ Σιδονίους Ἄραβάς τε. Ε.V. Vind. πῶς δέ φησι Σιδονίους καὶ Ἐρεμνοὺς καὶ τοὺς ἄλλους, καὶ σὺν αὐτοῖς καὶ τὴν Λιβύην; αἱ γὰρ λεχθεῖσαι χῶραι τῆς Λιβύης εἰσίν· οὕτως δ' ἔοικε διαχωρίζειν. νοητέον δὲ ὅτι ἔλεγεν ὅλας ἐξ ὀνόματος, εἶτα συνάψας λέγει συντόμῳ λόγῳ αὐτὴν τὴν Λιβύην. Ε.

85. ἄφαρ κεραοὶ] ὅ ἐστι γεννῶνται καὶ πρώϊμοι γίνονται. ἢ ἔνθα ταχέως κερατοφυοῦσι διὰ τὴν εὐδίαν. οἱ δὲ ἐπίθετον τῶν ἀρνῶν τὸ κεραοί. Ε.Η.Μ. τὸ δὲ ἄφαρ, ὅτι ταχέως καὶ πρώϊμοι γίνονται. Ε. ἄφαρ, εὐθὺς ἅμα τῷ γεννηθῆναι. Ρ.

86. τρὶς γὰρ τίκτει μῆλα] τινὲς γελοίως γράφουσι "δὶς γὰρ τίκτει." πῶς γὰρ ἴδιόν τι λέγει περὶ τῶν ἐν τῇ χώρᾳ προβάτων; Η.Μ. διόλου τοιαῦταί εἰσιν αἱ γοναὶ, οὐχ ὡς παρ' ἡμῖν μόνῳ τῷ ἦρι τίκτουσιν. Q.V.

89. ἐπητανὸν] ὁλοχρόνιον, αὐταρκὲς, ἀρκετόν. Β.Ε.Q. τὸ εἰς πολὺ καὶ εἰς κόρον. γίνεται παρὰ τὸ ἄτω τὸ κορέννυμι ἄτανος, καὶ ἐν πλεονασμῷ τοῦ ε ἐάτανος, καὶ ἐπαυξήσει τοῦ ε εἰς η ἠέτανος, καὶ μετὰ τῆς ἐπί προθέσεως ἐπητανός. Τ.

γάλα θῆσθαι] κυρίως μὲν τὸ θηλάσαι, νῦν δὲ τὸ ἀμέλγειν εἶπε, παρὰ τὴν θηλήν. V. θηλάζειν, ἀπὸ τοῦ θῶ τοῦ σημαίνοντος τὸ θηλάζω. Β. τὸ θηλάσαι· νῦν δὲ τὸ ἀμέλγειν εἶπεν. Ε.

90. ἕως] εἷως. Ε.Q.

91. τείως μοι] φιλάδελφον τὸ ἦθος. καί ἐστιν ἴδιον ἀνθρώπων πρό-

4. Σιδονίους et τε om. H., habet M.

Ἄραβάς τε] Hoc Zenonis Stoici commentum est, merito rejectum ab Strabone 1. p. 41. De quo dixit Lehrs. Aristarch. p. 246.

8. καὶ om. E.

14. ὅ ἐστι γεννῶνται—ἢ ἔνθα addidi ex H.

15. κερατοφυοῦσι] κέρατα φέρουσι M.. φέρουσι κέρατα H.

εὐδίαν] θερμότητα E.

20. διόλου] ἄλλοτε ἄλλα, ἢ διόλου V.

30. καί M. κἂν Q.

χειρον ἔχειν τὸν ἐπὶ τοῖς φιλτάτοις ὀδυρμὸν, καὶ ἐκ πάσης ὁμωνυμίας ἐπὶ τὴν ὑπὲρ ἐκείνων μνήμην ἀπαντᾶν. M.Q.

92. λάθρη, ἀνωϊστὶ] λάθρη μὲν ἀντὶ τοῦ μυρεὸς εἰδότος, ἀνωϊστὶ δὲ ἀνυποπτήτως καὶ ὡς οὐκ ἄν τις προσδοκήσειε. B.

περιπαθῶς πάνυ εἰς τὸ μὴ δυνηθῆναι ὅτι οὖν χρήσασθαι τὸν ἥρωα. B. 5

ἀνωϊστὶ] ἀνυποπτήτως. ἐκ τοῦ οἴω τὸ ὑπολαμβάνω ὠϊστί, τὸ ω μέγα κατ' ἔκτασιν, καὶ μετὰ τοῦ στερητικοῦ α ἀωστί, διὰ δὲ τὴν χασμωδίαν προσθέσει τοῦ ν γίνεται ἀνωστί καὶ ἀνωϊστί. E.

ἐπίτασις. συχνοὶ μὲν γὰρ καὶ λάθρα ἐπεβουλεύθησαν προϋπονοήσαντες τοὺς ἐχθροὺς, περὶ τὸν καιρὸν δὲ σφαλέντες. τοῦτον δὲ 10 οὐδὲ ἔννοιαν λαβεῖν φησι τοῦ δεινοῦ, τὸ δὲ ὑπὸ τῆς πιστοτάτης ἐνεδρευθῆναι καὶ προδοθῆναι τῷ μυχῷ τῶν δεινῶν. M.Q.

93. ὡς οὔτοι χαίρων] οὐ γὰρ ἐν τῷ κτήσασθαι πλοῦτον τὸ ἥδεσθαί ἐστιν, οὐδὲ εὐδαίμονες οἱ πλούσιοι. πολλοὶ γοῦν ἄφθονα κεκτημένοι θρηνοῦντες διατελοῦσιν. ἔστιν οὖν παιδευτικὸν, ὅτι οὐ χρὴ εἰς 15 τὴν πολυτέλειαν τῶν οἴκων ἀφορᾶν, ἀλλ' εἰς τὴν διάθεσιν τῶν ἐνοικούντων. M.Q.

ἕν τισιν ὑπὸ τοῦτον φέρεται στίχος "οὐδέ τι βουλόμενος, ἀλλὰ κρατερῆς ὑπ' ἀνάγκης" γελοίως. οὐδεὶς γὰρ μετὰ ἀνάγκης ἀνάσσει χρημάτων. τὸ γὰρ προειρημένον ἱκανὸν ἔχει νοῦν. H.M.Q. χαρτοῖς 20

9. προϋπονοήσαντες om. Q.

10. τοῦτον M. τούτου Q. τοῦτον ex conjectura posuerat Buttm., sed rejecit in Addendis. "Non satisfaciunt quæ ad hoc scholium emendandum proposui. Nam si τοῦτον δὲ ponimus, de Agamemnone, nulla est oppositio inter hæc λάθρα et οὐδὲ ἔννοιαν. Immo apparet, hæc οὐδὲ ἔννοιαν respondere voci ἀνωϊστί. Hoc autem agit scholiastes ut demonstret, post illa λάθρη, ἀνωϊστὶ, ἐπίτασιν esse in his δόλῳ—ἀλόχοιο. Quare locum nunc tento ita: συχνοὶ μὲν γὰρ καὶ λάθρα ἐπεβουλεύθησαν τοῖς ἐχθροῖς· περὶ τὸν καιρὸν δὲ σφαλέντας τούτους οὐδὲ ἔννοιαν λαβεῖν φησι (sc. ὁ Μενέλαος) τοῦ δεινοῦ. τὸ δὲ ὑπὸ τῆς πιστοτάτης ἐνεδρευθῆναι—τῷ μυχῷ τῶν δεινῶν sc. ἐστί, i. e. hoc in intimis recessibus infortunii ponendum est."

11. τὸ δὲ M. τοῦ δὲ Q.

13. οὔτοι] Sic M. in lemmate scholii, sed οὔτι in textu. οὗτοι Q. et Vind. 133. Et οὔτοι fortasse verum est: vid. Ahrens. in Schneidew. Philol. vol. 4. p. 598.

15. διατελοῦσιν M. διατρίβουσι Q.

18. Huic scholio in Q. præscriptum ἄλλως.

ἕν τισιν Cobetus. ἔντισ M. ἕν τι H.Q.

τοῦτον] τούτων M.

στίχος M. Legebatur τὸν στίχον.

19. κρατερῆς Porsonus. καρτερεῖς M. καρτερεῖν H.Q.

20. ἔχει νοῦν om. M. Post νοῦν in Q. sequuntur verba ᾧ πάντων ἐμπεσὼν etc., de quibus vide ad v. 104.

γὰρ φύσει τοῖς χρήμασιν οὐ χαίρω διὰ τὸ συμβὰν ὑπάλλαγμα λίαν ἀνιαρόν. H.

94. ὔμμιν] Αἰολικῶς ψιλοῦται. E.

95. καὶ ἀπώλεσα οἶκον] ἀμφίβολον πότερον τὸν ἑαυτοῦ ἢ τὸν τοῦ Πριάμου. M.V.

96. κεχανδότα] χωροῦντα. ἀπὸ τοῦ χῶ τὸ χωρῶ χάζω. B.E.

97. ἓν ὄφελον] τὸ ἑξῆς, ὄφελον ἐγὼ ναίειν καὶ οἱ ἄνδρες σόοι ἔμμεναι. τὸ ὄφελον ἀπὸ κοινοῦ λαμβάνων διήλλαξε καὶ περὶ πρόσωπον καὶ ἀριθμόν. H.M.

99. Τροίῃ ἐν εὐρείῃ] ὀβελίζουσι τινὲς τὸν στίχον, λέγοντες αὐτὸν εἶναι περιττόν. διὰ μέντοι τῶν Ἀρισταρχείων ὑπομνημάτων οὐδὲν φέρεται περὶ τοῦ ἔπους. H.M.

Τροίῃ] πιθανῶς, ἵνα καὶ ἀφορμὴν ἔχῃ ὁ λόγος ἐπὶ τὴν Ὀδυσσέως μνήμην καταντῆσαι. H.M.Q.

Ἄργεος ἱπποβότοιο] τῆς Πελοποννήσου, πρὸς τὸ τρέφειν ἵππους ἐπιτηδείου. E.

102. μετὰ τὸ γόῳ βραχὺ διασταλτέον. H.M.

103. αἰψηρὸς δὲ κόρος] ὁ ὑπὲρ τῶν ἄλλων μοι θρῆνος ταχέως θραύεται. V.

104. τῶν πάντων] ἐμπεσὼν εἰς τὸν περὶ τῶν ἡρώων λόγον ἐξαιρέτως Ὀδυσσέα φησὶ θρηνεῖν διὰ τὸ ἀγνοεῖν τὰ περὶ αὐτόν. M.Q.

105. ὡς ἑνὸς] εἰς ἐπίτασιν ταῦτα πάντων καὶ τῶν μεγίστων κακῶν ἀνάπαυλάν τινα παρέχειν πέφυκεν. H.M.Q.

ἀπεχθαίρει] ἀπεχθαίρειν ποιεῖ, ὡς "πάντας μέν ῥ' ἔλπει" (Od. ν, 380.). H.M.Q.

108. ἐμοὶ δ' ἄχος] εἰκότως ἀνιᾶται, ὅτι οὐδὲν ὤναντο τῆς πρὸς ἀλλήλους φιλίας. M.P.Q.

1. φύσει] οὐ φύσει H.
4. τοῦ om. V.
7. τὸ ἑξῆς om. H.
8. ἔμμεναι. τὸ ὄφελον M. ἔμμεναι ὄφελον. ὅτι τὸ ὄφελον H.
10. Τροίῃ ἐκ εὐρείῃ] Hoc lemma recte præfixit Cobetus. In H.M. prima versus proximi verba ἀλλ' ἔμπης præscripta sunt errore manifesto. Ad versum οὐδέ τι βουλόμενος, ἀλλὰ κρατερῆς ὑπ' ἀνάγκης, in libris quibusdam insertum post v. 93. retulerunt Porsonus et Buttmannus: quem versum neque in exemplaribus suis invenisse nec, si invenisset, sine nota prætermissurus fuisse videtur Aristarchus.
14. καταντῆσαι] βατῆσαι Q.
20. τῶν πάντων: ἐμπεσὼν] ᾧ πάντων ἐμπεσὼν Q.
21. αὐτόν M. Legebatur αὐτοῦ.
22. Duo scholia in unum con-

109. κείνου, ὅπως δὴ] μετὰ τὸ κείνου βραχὺ διασταλτέον. H.M.

110. ὀδύρονταί νύ που] ἅπερ ἔμελλεν ἐρωτήσειν ὁ Τηλέμαχος, ταῦτα φράσας ὁ Μενέλαος ἐκφέρει, καὶ γίνεται τὸ πᾶν νοούμενον περιπαθές. ἀλλὰ καὶ τὴν ὁμοιότητα ἐκφεύγει ὁ ποιητής· παρὰ γὰρ Νέστορι ὁ Τηλέμαχος ἤρχετο τῶν λόγων. Q. 5

111. Λαέρτης δ' ὁ γέρων] ἐπὶ τὸ οἰκτρότατον προήγαγε τὸν οἶκτον· διὸ καὶ εὐθέως ἐπήνεγκε "τῷ δ' ἄρα πατρὸς ὑφ' ἵμερον ὦρσε γόοιο." Q.

112. ἔλειπε νέον] νεωστὶ γεγονότα· ὡς καὶ ἐν Ἰλιάδι (ι, 446.) "νέον ἡβώοντα," τουτέστι νεωστὶ ἡβῶντα. M.Q.

113. ὦρσε γόοιο] ἡ αὐτὴ διάθεσις καὶ παρὰ Φαίαξι πρὸς Ὀδυσ- 10 σέως. ὁ μὲν γὰρ τὰς ἑαυτοῦ πράξεις ἀκούων κλαίει, ὁ δὲ τοῦ πατρὸς ἀναμνησθείς. M.Q.

118. σημειοῦνται τινὲς ὅτι παραλλήλως ἔταξε μίν καὶ αὐτόν. H.M.

119. οὕτως ἐπειρήσαιτο ἀντὶ τοῦ ἐπερωτήσειεν. ἔνιοι δὲ γράφουσι 15 κακῶς μυθήσαιτο. H.M.Q.

121. ἐκ δ' Ἑλένη] ἐπειδὴ μέλλει τῶν Ὀδυσσέως ἔργων μνημονεύειν, συμπλέξαι θέλει τὰς ἐν ἑκατέρῳ στρατοπέδῳ πράξεις αὐτοῦ ὑπὲρ τοῦ ποικίλην καταστῆσαι τὴν διήγησιν. ἐπιτηδειότατον δὲ τὸ τῆς Ἑλένης πρόσωπον, ἅτε δὴ παρατυχὸν ἐν Ἰλίῳ. H.M.Q. 20

122. χρυσηλακάτῳ] τῇ λαμπρὰς καὶ χρυσαυγέας ἠλακάτας ἤτοι ἀκτῖνας ἐχούσῃ. E.

123. ἅμ' Ἀδρήστῃ] σημειωτέον καὶ τὰ περὶ τῶν θεραπαινῶν. ἄλλαι μὲν γὰρ ἐν Ἰλιάδι, ἄλλαι δὲ νῦν. οὐ γὰρ εὐπρεπὲς τὰς μετεχούσας τοῦ ἁμαρτήματος ἐπιτρέπειν συνεῖναι τῇ γυναικί. M.Q.R. 25

fusa sic edidit Maius ex Q. ἀπεχθαίρει] ποιεῖ ὡς ἑνὸς εἰς ἐπίτασιν—πέφυκεν.

P. 182, 27. ὤναντο—ἀλλήλους M. ἄνατο — ἀλλήλων P. ὤνατο, omissis reliquis, Q.

P. 183, 9. νέον et τουτέστι addidi ex M. τὸν νεωστὶ Q.

10. πρὸς M. ὑπὸ Q.

15. οὕτως om. H.Q.

ἐπειρήσαιτο M. ἐπερήσαιτο H.Q. Vetus scriptura ΕΚΑΣΤΑΤΕΠΕΙΡΗΣΑΙΤΟ, id est, ἕκαστά τε πειρήσαιτο, male lecta ἕκαστά τ' ἐπειρήσαιτο.

16. κακῶς post μυθήσαιτο habent H.Q.

μυθήσαιτο] Hoc in textu habet M.

18. ἑκατέρῳ H.M. ὑστέρῳ Maii editio.

20. δὴ addidi ex M.

23. καὶ] δὲ καὶ R.

τὰ addidi ex M.R.

25. γυναικί] In Q. additum τινὲς δὲ γράφουσιν ἅμα δραστῇ, οἱονεὶ θεράπαιναν, quæ ex scholio proximo sumta.

τρισυλλάβως τὸ Ἀδρήστη, ὡς Ἡρωδιανὸς καὶ Ἀρίσταρχος, καὶ κύριον ἀκουστέον. τινὲς δὲ δρήστη, οἱονεὶ θεράπαινα. H.M.

κλισίην] ὃν ἀλλαχοῦ δι' ἑτέρων κλισμὸν ὀνομάζει· ἔστι δὲ θρόνος ἀνάκλιντρον ἔχων. H.M. δίφρον ἀνάκλιτον ἔχοντα. V.

124. τάπητα] ἀπὸ τοῦ πατῶ πάτης καὶ τάπης, τὸ ὑποκάτωθεν τῶν ποδῶν ὑπόστρωμα· δάπης δὲ τὸ ἐπάνω, οἷον ἐνάπλωμα καὶ ἐφάπλωμα. E.

125. τάλαρον] τάλαρος γίνεται ἐκ τοῦ τάλας ὁ καρτερικὸς καὶ τοῦ αἴρω τὸ ἐπαίρω, ὁ βαστάζων ἃ ἐν αὐτῷ τίθενται. E.

126. ἐνὶ Θήβῃς] Θῆβαι πόλις Αἰγύπτου ἡ νῦν καλουμένη Διόσπολις. Q.V. Vind.

128. δύ' ἀργυρέας ἀσαμίνθους] σημεῖον πλούτου τοῦτο, τὸ ἀσαμίνθους ὅλας ἀργυρᾶς δοῦναι. M.Q.

129. δοιοὺς] ἀπὸ τοῦ δέω τὸ ἐλλείπω. ἐλλιπέστερα γὰρ τὰ δεύτερα ὡς πρὸς τὰ πρῶτά εἰσι. B.

τάλαντα] τὸ τάλαντον ἦν παρὰ τοῖς ἀρχαίοις σταθμὸς ποσὸς ἀόριστος. ἔπειτα δὲ ἐλέγετο εἶναι εἴκοσι πέντε λιτρῶν καὶ παρ' ἄλλοις πεντήκοντα. τάλαντον δὲ καὶ τὸ σταθμίζον. ἀτάλαντος οὖν ὁ ἰσοκάμπανος, ὃς ἐὰν ἐξῆν ταλαντευθῆναι, ἤγουν σταθμηθῆναι, ἴσος δ' ἂν εὑρεθῇ τοῖς συσταθμιζομένοις αὐτῷ. τὸ γὰρ α ἐπὶ ἰσότητος. ἢ ἀτάλαντος ὁ δίκαιος, ὁ μὴ τῇ ταλάντου ἀοριστίᾳ συμπίπτων. E.

131. χρυσῆν τ' ἠλακάτην] ἠλακάτη τὸ ξύλον ἐν ᾧ περιειλοῦσι τὸ ἔριον, ἠλάκατα δὲ τὰ περιειλούμενα τῇ ἠλακάτῃ ἔρια. M. ἠλακάτη λέγεται τὸ ἐργαλεῖον, ἠλάκατα δὲ τὰ ἔρια τὰ πλεκόμενα τῇ ἠλακάτῃ. E.

ὑπόκυκλον] στρογγυλοειδῆ. E. πρὸς τὸ ἐφέλκειν καὶ περιφέρειν

1. Ἀδρήστη] ἀδράστη M.
καὶ κύριον ἀκουστέον addidi ex M.
2. τινὲς — θεράπαινα] Hæc inter versus scripta habet H. Correxi autem δρήστη pro δραστή. Inepte vero excogitatum illud ἅμα δρήστη, etiam propterea quod masculinum quidem exstitit δράστης (Ionice δρήστης), sed femininum δράστη nullum fuit.
4. ἀνάκλιντρον] ἀνάκλιτρον M.
12. τὸ om. Q.
13. ὅλας ἀργυρᾶς] ἀργυρὰς ὅλας Q.
16. σταθμὸς addidit Buttm.
17. ἀόριστος Buttm. pro ἄριστος.
19. ἰσοκάμπανος] Καμπανός, stater. Gloss. Græcolat. Locos auctorum sat antiquorum vid. ap. Ducang. BUTTM. Est scholion grammatici recentissimi.
20. συσταθμιζομένοις Buttm. σταθμιζομένοις E.

τὸν τάλαρον. ἢ περίκυκλον, ὅ ἐστι κυκλοτερῆ. ἀφ' ἑτέρας δὲ ἀρχῆς τὸ ἔπος ἀναγνωστέον. M.Q.

132. ἐπὶ χείλεα κεκράαντο] ἀντὶ τοῦ ἀπήρτιστο ἢ κεκέραστο. H.Q.

134. νήματος ἀσκητοῖο] τοῦ φιλοκαλουμένου καὶ νήθεσθαι λοιπὸν δυναμένου. M.Q. σημειοῦνται δὲ τινὲς ὅτι τὸ εἰς τὴν νῆσιν εὔθετον μήρυμα ἐρίου νῆμα εἶπεν. H.M.

νήματος] εἰς νῆσιν ἐπιτηδειότητος. ἀσκητοῖο] καλῶς γεγονότος. V.

135. ἰοδνεφὲς] μέλαν ἢ πορφυροῦν, ἢ τὸ λεγόμενον ἰάνθινον. M. βεβαμμένον πορφυροῦν. γίνεται δὲ ἀπὸ τοῦ ἴον τὸ ἄνθος καὶ τοῦ δνόφος. ἤτοι τὸ βεβαμμένον κατὰ τὰ ἴα. B. μέλαν μαλλίον. Q.

136. ὑπὸ δὲ θρῆνυς] ὑπὸ τοῖς ποσὶν ἦν θρῆνυς ἐκ τοῦ θρόνου προσφυής. H.

139. εὐχετόωντο] ἐκαυχῶντο. V.

140. ψεύσομαι] ὃ λέγει τοιοῦτόν ἐστιν, εἴτε ψεύσομαι εἴτε ἀληθεύσω, ὅμως ἐρῶ. οὔπω γὰρ λέγω ὁρᾶσθαί τινα οὕτως ἐοικότα. B.

ψεύσομαι ἢ ἔτυμον ἐρέω] Ἀριστοφάνης οὐκ ἀποφαντικῶς, ἀλλ' ἐν ἤθει. οὐκ ἀναγκαῖον δὲ περισπᾶσθαι τὸν ἤ. ὃ γὰρ λέγει τοιοῦτόν ἐστιν, εἴτε ψεύσομαι εἴτε ἀληθεύσω, ὅμως ἐρῶ. H.M.Q.R.

141. ἰδέσθαι] γρ. γενέσθαι. E.

143. Ὀδυσσῆος υἷι ἔοικε] πῶς τὸν Τηλέμαχον ἐχαρακτήριζον καίτοι μὴ ἰδόντες καὶ ἄλλοτε αὐτὸν, τὸν δὲ Πεισίστρατον οὐκ ἐχαρακτήριζον; πλείονα γὰρ φιλίαν καὶ προσοχὴν εἶχον πρὸς τὸν Ὀδυσσέα παρὸ πρὸς τὸν Νέστορα, καὶ ὡς ἀκμάζοντα καὶ σφριγῶντα. τὸν δὲ Πεισίστρατον καθὸ οὐκ ἐγνώρισαν, δηλοῖ αὐτὸς ἑαυτόν. E.

οὐ Τηλέμαχον εἰδυῖα ταῦτα λέγει, ἀλλ' ἐκ τοῦ χαρακτῆρος τοῦ Ὀδυσσέως. E.

3. ἀντὶ τοῦ H. λείπει τὸ Q.
6. οὐ et τὴν om. H.
νῆσιν] νῆσον H.M.
7. ἐρίου νῆμα H. ἐρίνημα M.
8. ἐπιτηδειότητος scripsi pro ἐπιτηδειότερος. Sic Polyb. 2, 23, 11. σίτου καὶ βελῶν καὶ τῆς ἄλλης ἐπιτηδειότητος πρὸς τὸν πόλεμον. BUTTM.
12. μαλλίον Buttm. quem vid. ad α, 443. μαλίον Q.
15. Sic ed. ant. Nam in recentioribus sic interpolatum scholium: εὐχετόωνται] ἔνιοι, εὐχοτόωντο, ἐκαυχῶντο. Et sic aliquoties in his scholiis cum lemma antiquum a recepta scriptura discrepat; sed multo sæpius lemma tacite mutatum repperi. BUTTM.
18. ἀποφαντικᾶς] ἀποφατικῶς M.
20. ὅμως ἐρῶ addidi ex H.R.
21. γρ. (i. e. γράφεται)] γράφει E.

ὡς ὅδ' Ὀδυσσῆος] τοῦτον ἡ συνήθεια τοῖς ἄνω συνάπτει. δύναται δὲ καὶ θαυμαστικῶς ἀναγινώσκεσθαι, θαυμαστικοῦ ὄντος τοῦ λόγου. H.M.Q. Ἄλλως. ἔοικε, φησὶν, Ὀδυσσέως υἱῷ ὄντως καὶ οὐδενὶ ἄλλῳ. ἐξομοιοῖ δὲ αὐτὸν τῷ πατρὶ οὐχ ἑωρακυῖά ποτε Ὀδυσσέως παῖδα. Q.

μεγαλήτορος] τινὲς, ταλασίφρονος. H.Q. 5

145. ἐμεῖο κυνώπιδος] ὁ ποιητὴς ὑπεραπολογεῖται Ἑλένης ἀεί. E.

146. ἤλθεθ'] γρ. ἦλθον. M.

149. κείνου γὰρ τοιοίδε πόδες] ἐκ γὰρ τῶν ἄκρων καὶ τῆς ὄψεως μάλιστα αἱ ὁμοιότητες τῶν σωμάτων ἐμφαίνονται. ὅσον δὲ βράδιον ἐστοχάσατο, τοσοῦτον ἀκριβέστερον ἀπεφήνατο τὸν μεταξὺ χρόνον 10 δηλονότι κατανοῶν. τὸ δὲ λεγόμενον, ἐκ ποδῶν εἰς κεφαλήν. H. M.Q. καθ' ἓν δὲ διασταλτέον πόδες, χεῖρες, βολαί. M.

151. καὶ νῦν] καὶ νῦν ὡς ἐγὼ περὶ ἐκείνου ἔλεγον εὐθέως οὗτος ἔκλαιε. B.

153. αὐτὰρ ὁ πυκνὸν] οὗτος δὲ συνεχές. Gl. M.

156. ὄρχαμε] ἡγεμών. παρὰ τὸ ἄρχω ἄρχαμος καὶ ὄρχαμος. 15 H.M.Q. ὡς παρδαλῆ ἡ δορὰ καὶ πάρδαλις τὸ ζῷον. H.M.

158—160. οὐκ ἐφέροντο ἐν τῇ Ῥιανοῦ οἱ τρεῖς στίχοι. H.

158. ἀλλὰ σαόφρων] παρὰ τὰ πάτρια καὶ οὐχ ἁρμόττοντα τῷ Πεισιστράτου προσώπῳ. καὶ τὸ νεμεσσᾶται ἀντὶ τοῦ αἰδεῖται οὐχ Ὁμηρικῶς. καὶ αἱ ἐπεσβολίαι δὲ γέλοιαι. ὅθεν Ζηνόδοτος μεταποιεῖ 20 "ἐπιστομίας ἀναφαίνειν." ἀθετοῦνται δὲ στίχοι γ' ὡς περιττοὶ καὶ ὑπὸ νέου παντάπασι λέγεσθαι ἀπρεπεῖς. ἄλλως τε οὐδὲ συμβουλευσόμενος τῷ Μενελάῳ πάρεστιν, ἀλλ' "εἴ τινα οἱ κληηδόνα πατρὸς ἐνίσποι" (Od. δ, 317.). H.M.Q.R.

159. ἐπεσβολίας] ἐπῶν ἐσβολὰς, ἤτοι τὰς τῶν μνηστήρων λοιδο- 25 ρίας. ἐπεσβολία γὰρ ἡ ὕβρις ἡ τοῖς ἔπεσι βάλλουσα. B.Q. βολὰς λόγων ἤτοι προπετείας. P. τὰς γενομένας τῶν μνηστήρων εἰς αὐτὸν

1. τοῦτον] τοῦτο Q.
τοῖς om. Q.
7. ἦλθον M. in textu a m. pr., ἤλθεθ' a correctore, unde a m. rec. adscriptum γρ. ἦλθον.
9. ἐμφαίνονται ex M. scripsi pro ἐκφαίνονται.
βράδιον] ῥᾴδιον H. ῥᾷον Q.
11. ἐκ M. ἀπὸ H.Q. ἐς πόδας ἐκ κεφαλῆς est Il. σ, 353.
16. ὡς παρδαλῆ (sic Cobetus pro πάρδαλις)—ζῷον.] Verba ab hoc loco aliena.
17. Ῥιανοῦ Cramerus. ἀρειανοῦ H.
18. τῷ correxi pro τοῦ.
19. προσώπῳ M. πρόσωπα Q.R.
20. αἱ om. Q.R.
21. ἀθετοῦνται δὲ M. δὲ om. Q.R.
στίχοι γ'] στίχοι ε M. ε̄ στίχοι R. πέντε στίχοι Q. Correxi ex scholio præcedente: nam tres tantum versus 158—160. abesse possunt.
23. τῷ Μενελάῳ] τοῦ μενελάου M.
κληηδόνα] Libri κληδόνα.

φλυαρίας, ἢ τὰς περὶ τὸν οἶκον αὐτοῦ λοιδορίας διεξιέναι. ἢ ὑπὸ σωφροσύνης οὐ βούλεται προκατάρχεσθαι λόγων. ἐπεσβολίας οὖν νῦν τὰς τῶν ἐπῶν εἰσβολὰς καὶ ἀρχάς φησιν. E.V.

161. αὐτὰρ ἐμὲ] οὐκοῦν οὐδὲ οὗτος προπετής, οὐχ ὅτι σώφρων φθέγγεται. σχεδὸν γὰρ τὴν ἔντευξιν τὴν πρὸς Μενέλαον οὗτος ἐμπε- 5 πίστευται ὑπὸ τοῦ πατρός. M.Q.

162. ἐέλδετο] Ζηνόδοτος "ὀίετο" κακῶς. H.

163. ὄφρα οἱ] προειρηκότος τοῦ Μενελάου "οὐδέ τι ἴδμεν, ζώει ὅγ' ἢ τέθνηκεν" (109.), ψυχρὸν ἦν ἐπαγαγεῖν ὅτι ἧκεν ὁ Τηλέμαχος πευσόμενος περὶ τοῦ πατρὸς εἰ ζῇ. ἐπ' ἄλλο οὖν μεταβαίνει, ὅτι 10 μαθήσεως καὶ ὠφελείας τυχεῖν βουλόμενος ἥκει διὰ τὰ ἐνοχλοῦντα ἐν τῇ πόλει. τὸ δὲ ἦθος οὐ συνιέντες τινὲς ἠθέτησαν τὰ ἔπη. H.M.Q.R.

164. πολλὰ γὰρ ἄλγε' ἔχει πατρὸς] ὅρα τὴν σύνεσιν, πῶς τὴν τοῦ πατρὸς σοφίαν ἀπομέμακται. ὥσπερ ἐκεῖνον παρεφυλάττομεν οὐ φανερῶς ἐκθέμενον τὰ περὶ τοὺς μνηστῆρας, ἵνα εἰ μὴ βούλοιτο 15 ἐμφανίζειν ὁ Τηλέμαχος τὰ περὶ αὐτούς, μὴ φαίνηται αὐτὸς περιεργαζόμενος μηδὲ ὀνειδίζων τὴν συμφορὰν τῷ νεανίσκῳ, οὕτω καὶ ὁ Πεισίστρατος μετήνεγκε τὸν λόγον ἐπὶ τὴν κοινὴν ὀρφανίαν. τὸ γὰρ ἐπελθεῖν τὸ κατὰ τοὺς μνηστῆρας περίεργον παρόντος αὐτοῦ τοῦ πεπονθότος. H.M.Q. 20

165. ἀοσσητῆρες] οἱ ἕτοιμοι βοηθοί, παρὰ τὸ μὴ ἀναμένειν ὄσσαν ἤτοι χρησμὸν καὶ μαντείαν εἰς τὸ βοηθῆσαι. ὁ γὰρ μὴ θέλων βοηθῆσαί τινι καλούμενός φησιν ὅτι ἀπελθεῖν θέλω πρῶτον καὶ λαβεῖν χρησμὸν περὶ τούτου, καὶ εἰ ἔστιν ἀπὸ χρησμοῦ δεδομένον, βοηθήσω σοι. ἢ ἐκ τοῦ α ἐπιτατικοῦ καὶ τοῦ ὄσσω τὸ βλέπω. E. 25

ἔωσιν] ὡς λέγωσι, τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα. σημαίνει γὰρ ὑπάρχωσιν· ὅτε δὲ ἀπὸ τοῦ ἐῶ ἐᾷς κέκλιται, προπερισπαστέον, "οὐ μέν σ' οὐδ' ἐῶσιν" (Od. δ, 805.). H.Q.R.

166. οὐδέ οἱ ἄλλοι] ἐγκλιτικὴ νῦν ἐστιν ἡ οἱ· διὸ τοῦ συνδέσμου φυλακτέον τὸν τόνον. H. 30

4. οὐχ ὅτι σ. M. οὐχὶ σ. ὅτι Q.
5. τὴν πρὸς M. πρὸς τὸν Q.
7. ὀίετο Porsonus. ἵετο H.
8. τι M. τε H.Q.R.
12. τινὲς hoc loco M., post ἦθος Q.R.
τὰ om. Q.R. Versus scholiasta dicere videtur duo, 162, 163.
13. πῶς τὴν τοῦ πατρὸς H.M. τοῦ πατρὸς πῶς τὴν Q.
14. ὥσπερ] Inserendum puto γάρ post ὥσπερ. Respicit autem, puto, verba Nestoris γ, 199. 200. et sermones insequentes. BUTTM.
ἐκεῖνον] ἐκεῖνα M.
16. ἐμφανίζειν M. Legebatur ἐκφανίζειν.

167. εἴσ' οἵ κεν κατὰ δῆμον ἀλάλκοιεν] διὰ τί μὴ συμμαχεῖ Μενέλαος; καλὴ γὰρ ἡ πρόφασις γυναῖκα περισῶσαι φίλου εἰς τὰ ὅμοια ὑπὸ Ὀδυσσέως εὐεργετηθείς. διὰ τί δὲ καὶ Τηλέμαχος οὐκ αἰτεῖ συμμαχίαν; ἢ ὅτι ἔλεγεν Ἀθηνᾶ "οὔτοι ἔτι δηρόν γε φίλης ἀπὸ πατρίδος ἔσσεται, οὐδ' εἴπερ σιδήρεα δέσματ' ἔχῃσι" (α, 203.). 5 μετὰ δὲ τοὺς λόγους τούτους θεασάμενος τὴν ἀπαλλαγὴν τῆς θεᾶς καὶ γνοὺς ὅτι παρὰ θεοῦ ταῦτα ἠκηκόει, εἰκότως ἐκδέχεται τὴν τοῦ πατρὸς παρουσίαν, καὶ τοῦτο μάλιστα σπεύδει μαθεῖν, ποῦ ποτε ἄρα τυγχάνει Ὀδυσσεύς. τὸ δὲ μὴ δεηθέντος τοῦ Τηλεμάχου Μενέλαον συμμαχεῖν περίεργον. δεῖ γὰρ ὠφελεῖν τοὺς φίλους εἰς ἃ βούλονται. 10 ἄλλως τε καὶ ἀφορμὴν ἔχει Νέστωρ τε καὶ Μενέλαος τοῦ μὴ πέμψαι στρατιάν· Νέστωρ μὲν ἐκ τοῦ αὐτόπτης γενέσθαι τῆς Ἀθηνᾶς πιστεύσας τῇ Ὀδυσσέως παρουσίᾳ, ὁ δὲ ἐκ Πρωτέως ἀκούσας. τί οὖν ἔδει ὑφαρπάζειν τῆς Ὀδυσσέως ἐκδικίας; H.M.Q.R.

168. τὸν δ' ἀπαμειβόμενος] γρ. τὸν δὲ μέγ' ὀχθήσας. H. 15

169. ὦ πόποι] οὐκ ἂν ὁμοίως πιστὸς ἦν ὁ λόγος, εἰ μὴ καὶ πρὸ τῆς γνώσεως τοῦ Τηλεμάχου ἀγνοῶν τίνες οἱ παρόντες προείρηκεν ἐκεῖνα τὰ ἔπη, "τῶν πάντων οὐ τόσσον ὀδύρομαι" (104.) καὶ ἑξῆς. H.M.Q.

170. πολεῖς] γρ. πολέας. H. 20

171. ἔξοχα πάντων] γρ. ἔξοχον ἄλλων. M.

175. ἐξ Ἰθάκης] ὥστε χώραν εὐδαίμονα ἀντὶ τῆς λυπρᾶς ἐκείνης ἀνταλλάξασθαι. τὸ γὰρ μόνον μετοικῆσαι ὅμοιον φυγῆς. H.Q.

176. μίαν πόλιν ἐξαλαπάξας] ἀπὸ τῶν πόλεων ἐκείνων, αἵτινες ὑπ' ἐμοῦ βασιλεύονται. τὸ δὲ ἐξαλαπάξας οὐκ ἔστι νῦν πορθήσας, ἀλλ' 25 ἁπλῶς κενώσας, καὶ μεταστήσας τοὺς ἐνοικοῦντας εἰς ἕτερον τόπον. ἀπίθανον γὰρ τὸ ἐξαλαπάξας ἐπὶ τῶν ὑποτεταγμένων πόλεων. B.E. H.M.Q. λάπαθα γὰρ βοτάνη κενωτική, ὅθεν καὶ ἀλαπάζω ῥῆμα. B.E.

178. οὐδέ κεν ἡμέας] οὐκ ἐν τῇ Σπάρτῃ, ἀλλ' ἐν ὅλῃ τῇ χώρᾳ. 30 M.Q.

4. οὔτοι H. οὔτι Q.R.
10. εἰς addidi ex M.
12. στρατιάν] Scribebatur στρατείαν.
αὐτόπτης] αὐτόπτως R.
14. ἐκδικίας H.M. ἐκδικήσεως Q.R.
18. καὶ ἑξῆς om. H.Q.
20. πολέας] πολλέας H.
25. ἔστι νῦν π.] ἔστιν π. Q. in fine scholii præcedentis, ubi post φυγῆς eadem verba τὸ δὲ ἐξαλαπάξας—κενώσας leguntur.
27. ἀπίθανον] πιθανὸν H.
28. λάπαθα Buttm. pro ἀλάπαθα.

179. ἄλλο διέκρινε] οὐδὲν ἡμῖν διέζευξε τῆς φιλίας τὴν εὐφροσύνην, ἢ ὥστε κατὰ διαδοχὴν ἥκειν πρὸς ἀλλήλους, πλὴν θάνατος. E. M.Q.

181. ἀλλὰ τὰ μέν που] περιπαθῶς ὀλοφύρεται ὡς αὐτὸς δεινὰ πεποιθώς. ἔγκειται δὲ, ἀλλὰ καὶ τὸ ἀνθρώπινον. M.Q. ἀγάσσασθαι] ὅτι ταῖς μεγάλαις ὑποσχέσεσι τῶν ἀνθρώπων φθόνος θεῖος ἐπακολουθεῖ. M.Q.

ἀλλὰ τὰ μέν που μέλλεν] ἀλλὰ ταῦτα μὲν ἐῴκει ἐπὶ πάθους παρ' Ὁμήρῳ φθονήσειν, ἐμποδίσαι, ἀποτρέψασθαι παρὰ Διὸς ἡμῖν ἐκπλαγῆναι. E.

184. φανερῶς δείκνυσιν ὅτι πρόφασιν σχόντες τὸν Τηλέμαχον κλαίει εἷς ἕκαστος περὶ τῶν ἰδίων· ἡ μὲν Ἑλένη ὑπὲρ τῶν γεγονότων εἰς αὐτὴν, ἢ ὅτι "κάρτα τοι φίλοικτον ἡ γυνή·" Πεισίστρατος δὲ διὰ τὸν αὐτοῦ ἀδελφόν. κλαίουσι δὲ καὶ Πάτροκλον αἱ ἀμφίπολοι τάχα. καὶ γὰρ ἐκεῖνον πρόφασιν ἔχουσαι κλαίουσι περὶ τῶν ἰδίων (Il. τ, 302.). E.

δαιμονίως ἀντιλαμβανόμενος ὁ ποιητὴς, ὅπως κεκίνηκε τὸν οἶκτον τῶν ἀκροατῶν, φαντασίαν ἐπὶ τοὺς τότε ἀκούοντας μετήνεγκε. δαιμονίως τῇ τάξει κέχρηται, πρῶτα μὲν κλαίειν τὴν Ἑλένην· φύσει γὰρ πολύδακρυ τοῦτο τὸ γένος· εἶτα τὸν παραγενόμενον πρωτοστατοῦντα τοῦ πάθους· ὁ δὲ Μενέλαος τρίτος δεόντως μετὰ τὴν θήλειαν καὶ αὐτὸν τὸν πεπονθότα· τέταρτος δὲ Πεισίστρατος, οὐ μὰ Δία Ὀδυσσέα, οὐ γὰρ οἶδε τὸν ἄνδρα· κεκίνηκε δὲ αὐτὸν ἡ τοῦ ἀδελφοῦ ἀνάμνησις, ὡς καὶ ἐν Ἰλιάδι "Πάτροκλον πρόφασιν, σφῶν δ' αὐτῶν" (τ, 302.). παρατηρητέον δὲ καὶ τὴν ἐν τοῖς ῥήμασι διαφοράν. ἐφ' ὧν μὲν γὰρ παρατατικῶς ἔφη κλαῖε, ἐπὶ δὲ Πεισιστράτου ὡς ἀγνοοῦντος Ὀδυσ-

2. 4. πλὴν θάνατος et δεινὰ om. M.

6. ὅτι—ἐπακολουθεῖ] Hoc scholion in M.Q. cum præcedente conjunctum est. Separavi, adjecto lemmate ἀγάσσασθαι.

8. ταῦτα Buttm. pro τούτοις.

μὲν] μάτην E. Correxi ex V. qui prima tantum scholii verba habet ἀλλὰ—ἐῴκει.

ἐπὶ πάθους παρ' Ὁμήρῳ] Hæc et quæ mox sequuntur παρὰ Διὸς ἡμῖν ἐκπλαγῆναι intelligi non possunt. Videntur loco alieno illata esse.

9. φθονήσειν, ἐμποδίσαι, ἀποτρέψασθαι] Aut φθονῆσαι scribendum, aut in proximis futurum restituendum. Nam scholiasta verbum interpretatur in libris aliis ἀγάσσασθαι, aliis (ut M.) ἀγάσσεσθαι scriptum.

13. κάρτα —] Sophoclis verba Aj. 580. ubi κάρτα τοι φιλοίκτιστον γυνή.

20. πολύδακρυ τοῦτο] πολυδάκρυτον Q.R.

παραγενόμενον om. Q.R.

πρωτοστατοῦντα H. προστατοῦντα Q.

σέα "οὐδ' ἄρα Νέστορος υἱὸς ἀδακρύτω ἔχεν ὄσσε." τοῦτον γὰρ οὐ διατρίβειν κλαίοντα ὡς ἐκείνους, ἀλλ' αὐτὸ μόνον τὸ μὴ εἶναι ἄδακρυν δηλοῖ. H.Q.R.

185. κλαῖε καὶ Ἀτρείδης Μενέλαος] οὐχ ὅτι πέπεισται τεθνηκέναι αὐτόν (πιστεύει γὰρ αὐτὸν ζῆν, ἐξ οὗ τοῦ Πρωτέως ἀκήκοεν), ἀλλὰ τὸ μηδέπω παραγεγονέναι ἀπολοφύρεται. M.Q.

186. οὐδ' ἄρα Νέστορος υἱὸς ἀδακρύτω] μὴ θέλων πολλάκις λέγειν τὸ αὐτὸ, ἤτοι τὸ κλαῖε, δι' ἄλλου τρόπου φησί. ἔστι δὲ θαυμαστικόν. E.

187. μνήσατο γὰρ] τὰ ἐν Ἰλιάδι παραλειφθέντα διὰ τῆς Ὀδυσσείας ὡς μιᾶς οὔσης τῆς πραγματείας παραδίδωσι. Q.

ἀμύμονος Ἀντιλόχοιο] ἤτοι τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ παρὰ τοῦ Τιθωνοῦ υἱοῦ τῆς Ἡμέρας ἀναιρεθέντος ἐν Τροίᾳ. B.

188. τόν ῥ' Ἠοῦς ἔκτεινε] ἴσως διὰ τὸ ἐξ ἀνατολῆς αὐτὸν εἶναι. Τιθωνοῦ γὰρ καὶ Ἡμέρας λέγεται εἶναι υἱὸς Μέμνων. E. τοῦτο λέγει, τὸν Ἀντίλοχον φονευθῆναι ὑπὸ τοῦ Μέμνονος. οὐκ ἄλλο αἰνίττεται ἢ ὅτι νέος καὶ παρὰ τὸν καιρὸν τὸν δέοντα ἐτελεύτησε. Μέμνων γὰρ ἐτυμολογεῖται παρὰ τὸ μένειν νέος. E.

Ἡρώδης ἑρμηνεύεται παρ' Ἕλλησι δερμάτινος νοῦς.

190. Ἀτρείδη] πάντων ἐπὶ δάκρυα τετραμμένων ἔδει τινὰ παρελθεῖν τὸν ἐφέξοντα. τὴν μὲν οὖν Ἑλένην οὐ πιθανὸν τοῦτο πράττειν, ἥτις γε καὶ αὐτῶν πρώτη κατάρχει. οὐδὲ μὴν τὸν Τηλέμαχον, πατέρα γὰρ ἀπολοφύρεται. εὐπρεπὲς δὲ οὐδὲ τῷ Μενελάῳ, αὐτὸς γὰρ αἴτιος τῆς συμφορᾶς. πιθανὸς δὲ πρὸς τοῦτο ὁ Πεισίστρατος Ὀδυσσέα μὲν ἀγνοῶν, πρὸς βραχὺ δὲ δακρύσας ἐκ τῆς τοῦ ἀδελφοῦ μνήμης, ἀλλ' οὐδὲ ἐκείνῳ συνήθης γεγονώς· κομιδῇ γὰρ νέος τυγχάνει, καὶ οὐχ ὁμοία ἡ τελευτὴ εὐκλεής. Q.R.

191. τὸ ἑξῆς, Νέστωρ φάσχ' ὁ γέρων οἷσιν ἐνὶ μεγάροισιν, ἢ ὅτ' ἐπιμνήσομαι σεῖο οἷσιν ἐνὶ μεγάροισιν· ἤγουν ἐν τοῖς αὐτοῦ οἴκοις. H.

192. καὶ ἀλλήλους ἐρέοιμεν] τινὲς, καὶ ἀλλήλοις ἐρέοιμεν, ὅ ἐστι διαλεγοίμεθα. Ἀρίσταρχος δὲ ἀθετεῖ. H.Q.

1. ἔχεν] ἔσχεν R.
2. μὴ habent H.R., om. Q.
5. ἀλλὰ—παραγεγονέναι M. τὸν δὲ μηδέπω παραγινόμενον Q.
15. Τιθωνοῦ] τιθῶνος B.
16. λέγει] λέγων Buttm.
19. Scholion sine sigla positum ab Maio. Est haud dubie ex E.
21. τὸν om. R.
22. μὴν R. μὲν Q.
30. ἀλλήλοις Buttm. pro ἄλλοις.
31. διαλεγοίμεθα ego scripsi. διαλεγόμεθα Q. διαλέγωμεν H. Ἀρίσταρχος δὲ ἀθετεῖ om. Q.

193. *εἴτι πού ἐστι*] *εἴπως ἐστὶν, ἤτοι εἰ δυνατόν ἐστι, πείσθητί μοι. οὐ γὰρ ἔγωγε ὀδυρόμενος μετὰ δείπνου εὐφραίνομαι.* B. *ἐὰν πρέπον ἐστὶν, εἰ ἐνδέχεται.* E. *εἴπως ἐστὶ, τουτέστιν εἴτις μηχανή ἐστι.* Q.R.

194. *τέρπομ' ὀδυρόμενος*] *ἐν δείπνῳ οὐ τέρπομαι ὀδυρόμενος, ὅτε ἀνέσεως μάλιστα τῇ ψυχῇ χρεία. τὸ ἀνεπιτήδειον οὖν τοῦ καιροῦ μέμνηται· ἐπιφέρει γοῦν "ἀλλὰ καὶ ἠὼς ἔσσεται."* Q. *ἐν δείπνῳ οὐκ ἔστιν ὀδύρεσθαι, ἀλλ' ἔλθῃ ἡμέρα καὶ τότε λύπη ἔστω.* E.

μεταδόρπιος] *μετὰ τὸ δεῖπνον. ἢ οὕτως, οὐκ ἀρέσκει μοι θρηνεῖν μετὰ τὸ δεῖπνον.* V. *Ἄλλως. μεταδόρπιος, δείπνου ὥρᾳ, ἤγουν ἐν τῷ δείπνῳ· καὶ μεταδήμιος, ἔνδημος, ὁ ἐν δήμῳ ὤν.* MS. Barnes.

196. *κλαίειν, ὅς κε θάνῃσι*] *ἔοικεν ἐνταῦθα μωρὸς εἶναι ὡς μὴ δεινοπαθῶν ὁ Πεισίστρατος καὶ ἀνάλγητος, πλὴν συνετῶς ἐποίει ἀνακτήσασθαι θέλων ἐκείνους. ἀπρεπὲς γὰρ ἀνδράσι τὸ τοιοῦτον.* E.

199. *καὶ γὰρ ἐμὸς τέθνηκεν ἀδελφεὸς*] *δεξιῶς καὶ τούτου μνημονεύει, ἵνα μὴ δοκῇ ἐκ περιουσίας τὰ τοιαῦτα ἐπιτάττειν, μηδὲν αὐτὸς πεπονθὼς δεινόν.* Q. *Καὶ ἄλλως. δαιμονίως οὗτος γνωμολογεῖ περὶ πάντων ὅτι οὐ χρὴ κλαίειν, ἀλλὰ τὸ ἴδιον πάθος ἐξήνεγκε. τὸ μὲν γὰρ ὡς μαλακιζομένοις ἐπιτιμᾶν οὐ πρέπον νέῳ, τὸ δὲ διὰ τὴν ἑαυτοῦ ἀηδίαν παραιτεῖσθαι δάκρυα ἀνθρώπινον.* Q.

200. *ἔγωγε*] *τὸ φορτικὸν τῶν τοῦ ἀδελφοῦ ἐπαίνων διέφυγε τὸν ἀκούοντα μάρτυρα ἐπαγόμενος.* H.

202. *περὶ μὲν θείειν ταχὺν*] *μετὰ γὰρ τὸν Ἀχιλλέα τὸ τρέχειν ταχὺς ὁ Ἀντίλοχος.* E.

204. *ὦ φίλ', ἐπεὶ*] *περιττεύει ὁ ἐπεί, ὡς καὶ ἐν τῷ "ὦ φίλ', ἐπεί μ' ἔμνησας ὀϊζύος"* (γ, 103.). *τὸ ἑξῆς ἐστιν, ἐπεὶ τόσα εἶπες, ἡμεῖς δὲ κλαυθμὸν μὲν, περιττεύοντος τοῦ συνδέσμου.* Q. *τὸ ἐπεί ἐνταῦθα βεβαιωτικὸν καὶ ἀργόν ἐστι.* B.

205. *καὶ ὃς προγενέστερος εἴη*] *ὃς καὶ τῷ χρόνῳ προὔχοι, ὁ πεπνυμένος ἀνὴρ δηλονότι.* H.

206. *τοίου*] *ἀντὶ τοῦ τοιούτου, οὐχ ὡς οἱ γλωσσογράφοι, πάντως ἀγαθοῦ.* H.

207. *ᾧ τε Κρονίων ὄλβον ἐπικλώσῃ*] *οὐ τῷ γόνῳ, ἀλλὰ τῷ γεννήτορι ὄλβον ἔδωκεν ὁ Ζεὺς καὶ γαμοῦντι καὶ τεκνοῦντι.* B.

214. *χευάντων*] *ἐπιχεέτωσαν, Ἀττικῶς.* E.

1. In H. *ὁ δὲ λόγος, εἴτις μηχανὴ ἔστι, πείσθητί μοι.*
4. *ὅτε* Buttm. pro *οὔτε*.
15. *μὴ* addidit Buttm.
21. *ἐπαγόμενος*] *ἀγόμενος* H.
25. Apodosin sequi v. 212. Eustath. quoque monet p. 1491, 49.

216. Ἀσφαλίων] οἰκεῖον τὸ ὄνομα Μενελάου θεράποντι. τοιοῦτος δὲ καὶ ὁ Ἐτεωνεύς. οὐκ ἀνεπισκέπτως· ἀπὸ γὰρ τῶν συμπτωμάτων καὶ τὰ ὀνόματα τοῖς οἰκέταις τιθέναι εἰώθαμεν, ὡς καὶ ὁ Πηνελόπης δόμος διὰ τὸν τρόπον τῶν δεσποτῶν. Q. πεποίηκε τὸ ὄνομα παρὰ τὴν ἀσφάλειαν· ἀρετὴ γὰρ δούλου τὸ μὴ σφάλλειν. E. 5

221. νηπενθές τ' ἄχολόν τε] ἐξ οὗ ἐπεκράτησε λέγεσθαι τὰ τῆς Ἑλένης νηπενθῆ φάρμακα. H. δαιμονίως τὰ ἀνώτατα δύο παρέλαβε, τὸ πένθους καὶ ὀργῆς ἀπαλλάττειν, οἷς καὶ τὰ λοιπὰ ὑποστέλλεται πάθη. Q.

ἐπίληθον] προπαροξυτόνως, ἵν' ᾖ ἐπιληστικόν. οἱ δὲ προπεριέσπασαν, ἵν' ᾖ ἐπιλανθάνεσθαι ποιοῦν. T.V. 10

ἐπίληθες] προπαροξυτόνως, ἵν' ᾖ ἐπιλαθέσθαι ποιοῦν. E.

κακῶν ἐπίληθον ἁπάντων] ὁ Ἀσκαλωνίτης περισπᾷ μετοχὴν ἀκούων, Ἀρίσταρχος δὲ προπαροξύνει ὄνομα ἐκδεχόμενος. οὕτω δὲ καὶ ἡμῖν ἀρέσκει, ἐπεὶ καὶ τὰ προκείμενα ὀνόματα ἐπίθετα ἦν, "νηπενθές τ' ἄχολόν τε." H.Q. 15

222. καταβρόξειεν] γράφεται καὶ μικρὸν καὶ μέγα. ὅτε μὲν γὰρ λαμβάνεται ἀντὶ τοῦ καταπίῃ, τότε τὸ βρο μικρὸν, ἀπὸ τοῦ βρόχω. ὅταν δὲ ἀντὶ τοῦ καταφάγῃ, μέγα βρω. E. διχῶς ἡ γραφή. H.

μιγείη] ὑποστικτέον εἰς τὸ μιγείη. H.

223. ἐφημέριος] διήμερος, ὅ ἐστι δι' ὅλης τῆς ἡμέρας. B.Q.T. 20 ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν ᾗ ἔπιεν. B.Q. ἀσφαλῶς τὸ ἐφημέριος. ἀπάθειαν γὰρ τῶν τοιούτων κακῶν οὐκ ἔστιν εὑρεῖν. Q.

224. ἐμφαντικώτατα ἡ αὔξησις καὶ καθ' ἕκαστον ἐπιτεινόμενον. H.

226. χαλκῷ δηϊόῳεν] ἀναιροῖεν, φονεύοιεν. B.E.T. ἔστι τὸ θέμα δήω, καὶ κατὰ παραγωγὴν δηϊόω. B.E. 25

χείρους γὰρ αὐτομάτων οἱ βίαιοι δοκοῦσι θάνατοι. Q.

227. φάρμακα μητιόεντα] δραστήρια, ἢ ὑπὸ συνέσεως εὑρεθέντα. B.H. μητιόεντα] γρ. μητιώντα. P.

φάρμακα μητιόεντα] * * * ἢ τὰ ὑπὸ συνέσεως εὑρημένα καὶ κατὰ τέχνην θεωρητικὴν ἐσκευασμένα. τῆς γὰρ ἰατρικῆς τὸ μὲν θεωρητικόν, τὸ δὲ διὰ τῶν καθολικῶν λόγων καὶ διὰ μεθόδου ἐπάγον ἐπὶ τὴν 30

3. ὁ Πηνελόπης δόμος] Hæc videntur spectare nomina Δολίου (qui servus Penelopes proprius erat, δ, 735 sq.), Εὐρυκλείας, Εὐρυνόμης, ad Ulyssem relata. BUTTM.

14. ὀνόματα — νηπενθές] ὀνοματικὰ πενθές H.

17. ἀπὸ] ἀντὶ E.

27. δραστήρια, ἢ om. B. In V. πρακτικὰ, ἢ ὑπὸ συνέσεως ηὑρημένα.

29. * * * ἢ τὰ] Indicavi lacunam. Excidit δραστήρια vel simile quid.

τῶν κατὰ μέρος γνῶσιν. τούτου δὲ αὖ μέρη τὸ μὲν σημειωτικόν. τὸ δὲ αἰτιολογικόν, τὸ δὲ πρακτικόν. ταύτης ἐστὶν ὁ διὰ τῆς ἐνεργείας βαδίζων. τούτου δὲ μέρη τὸ μὲν διαιτητικόν, τὸ δὲ χειρουργικόν, τὸ δὲ φαρμακευτικόν. E.

228. Πολύδαμνα] ἀμφίβολα πότερον τῆς φαρμακίδος ἐστὶ τὸ ὄνομα, ἢ τὰ φάρμακα τὰ πολλοὺς δαμάζοντα. ἐκείνην γὰρ Θοῦμιν Πτολεμαῖος ἐν τῷ πρώτῳ χρόνῳ φησί. M.V. κύριον ὄνομα ἡ Πολύδαμνα κατὰ Ἀρίσταρχον. καὶ Ἡρωδιανὸς ἄμεινον εἶναι φησίν. Q. γρ. πολύδαμνα, τὰ πολλοὺς δαμάζοντα. σχῆμα ἀμφιβολίας. E. εἴτε κυρίον ἐστιν ὄνομα ἡ Πολύδαμνα, ὡς Μήθυμνα, εἴτε ἐπιθετικὸν τῶν φαρμάκων, τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα. βέλτιον δὲ ὄνομα κύριον αὐτὸ δέχεσθαι, ἐπεὶ καὶ Εὐφορίων ἐν Διονύσῳ φησὶ "βλαψίφρονα φάρμακα χεῦεν, ὅσσ' ἐδάη Πολύδαμνα, Κυτηϊὰς ἢ ὅσα Μήδη." H.Q.

Θῶνος παράκοιτις] ἀπὸ τοῦ Θώνος. τὸν αὐτὸν δὲ λέγουσιν εἶναι τὸν Θῶνιν. οὗτός ἐστιν εὑρετὴς τῆς ἰατρικῆς παρ' Αἰγυπτίοις, οὗτινος καὶ φερώνυμός ἐστιν ὁ πρῶτος μήν. Q.T.Vind. ὁ Θῶνος βασιλεὺς ἦν τοῦ Κανώβου καὶ τοῦ Ἡρακλείου στόματος, ὃς πρὶν μὲν ἰδεῖν Ἑλένην ἐφιλοτιμεῖτο Μενέλαον, ἰδὼν δὲ αὐτὴν ἐπεχείρει βιάζεσθαι· ὃ γνοὺς Μενέλαος ἀναιρεῖ αὐτόν. ὅθεν ἡ πόλις Θῶνις ὠνόμασται, ὡς ἱστορεῖ Ἑλλάνικος. Q.Vind.

229. τῇ] ἀντὶ τοῦ ᾗ, τουτέστιν ὅπου, ἐν Αἰγύπτῳ δηλονότι. τῇ, ἐνταῦθα, ὡς "τῇ εἴη, ὃς ἄποινα φέρει" (Il. ω, 139.). H.

230. φάρμακα] παρὰ τὸ φέρειν ἄκος ἢ ἄχος. E.

231. ἰητρὸς δὲ ἕκαστος] ἕκαστος δὲ τῶν ἐκεῖθι ἰατρῶν ὑπὲρ τοὺς ἄλλους ἐστίν, ἐπεὶ Παιήονος ἀπόγονοί εἰσι. γράφεται καὶ "περὶ πάντων φαρμακέων." οὐ γὰρ πάντες πάντα ἴσασιν. M.V. ὁ νοῦς, ἕκαστος δὲ ἰατρὸς Αἰγύπτιος ἐπιστήμων ἐστὶν ὑπὲρ πάντας ἀνθρώ-

7. χρόνῳ] χρονικῶν Barnes.
κύριον om. H.
8. γρ. (i. e. γράφεται)] γράφε E.
9. Κυτηϊὰς ἢ ὅσα Μήδη Meinek. Anal. Alex. p. 46. Legebatur τε κυταῖς (κυταῖς H.) ἢ ὅσα Μήδεια. Apud Eust. p. 1493, 47. κυταῖς ὅσα Μηδεία.
14. τοῦ] τινος Vindob.
16. Θῶνος] Non mirandum diversas in his duobus scholiis Θῶνος nominis formas poni, quum de forma nominativi et declinatione diversæ fuerint grammaticorum veterum sententiæ, quas exposuit Lehrs. ad Herodian. p. 107. Nominativus tamen ὁ Θῶνος βασιλεύς non scholiastæ, sed librario imputandus videtur. Scribendum igitur aut ὁ Θῶν (vel ὁ Θών) aut ὁ Θῶνις. Conf. Eustath. p. 1493, 55.
18. ἐφιλοτιμεῖτο] ἐξένιζε Vindob. φιλοτίμως διακεῖσθαι πρὸς Μενέλαον dixit Eustath. p. 1493, 56.
24. ἕκαστος δὲ] δὲ om. V.
26. φαρμακέων Buttm. φαρμάκων M. φαρμακευτῶν V.
ὁ νοῦς addidi ex H. et qui verba ὁ νοῦς—βοτανῶν habet T.

πους τῆς εἰδήσεως τῶν βοτανῶν. Ἀρίσταρχος δὲ γράφει οὕτως "ἰητρὸς δὲ ἕκαστος, ἐπεί σφισι δῶκεν Ἀπόλλων ἰᾶσθαι· καὶ γὰρ Παιήονός εἰσι γενέθλης" κακῶς. διαφέρει ὁ Παιήων Ἀπόλλωνος, ὡς καὶ Ἡσίοδος μαρτυρεῖ, "εἰ μὴ Ἀπόλλων Φοῖβος ὑπὲκ θανάτοιο σαώσαι, ἢ καὶ Παιήων, ὃς ἁπάντων φάρμακα οἶδεν." B.H.Q. 5

232. Παιήονος] Παιήων ἰατρὸς θεῶν, οὐχ ὁ αὐτὸς τῷ Ἀπόλλωνι, ἀλλὰ κεχωρισμένος. παρὰ μέντοι τοῖς νεωτέροις ὁ αὐτὸς νομίζεται εἶναι. καὶ Ἡσίοδος δὲ μάρτυς ἐστὶ τοῦ ἕτερον εἶναι τὸν Παιήονα τοῦ Ἀπόλλωνος, λέγων "εἰ μὴ Ἀπόλλων Φοῖβος ὑπὲκ θανάτοιο σαώσαι, ἢ καὶ Παιήων, ὃς ἁπάντων φάρμακα οἶδεν." M.T.V. ἰατρὸς οὗτος 10 ἄριστος. ἐκ τοῦ παύω Παιών, καὶ πλεονασμῷ τοῦ η Παιήων. E.

233. ἐνέηκε] Ἰωνικόν. E.

235. τὸ ἑξῆς, Ἀτρείδη Μενέλαε καὶ ὦ παῖδες, ἤτοι νῦν δαίνυσθε. Ζεὺς γὰρ ἄλλοτε ἄλλα δίδωσιν, ὡς καὶ νῦν ἡμῖν τὸ εὐωχεῖσθαι. Q.T.V.

236. ἀτὰρ] τὸ ἀτάρ ἀντὶ τοῦ δέ, ὁ δὲ δέ ἀντὶ τοῦ γάρ. Q. 15

240. πάντα μὲν] ἰδίως τὸ πάντα ἐπήνεγκε τῷ ὅσσοι τὸ γένος ἀλλάξας. Q. παραληπτικὸν σχῆμα. P.

241. ἄεθλοι] ὁ ἆθλος ἀρσενικῶς μόνον ὁ ἀγών, τὸ ἆθλον δὲ καὶ τὸ ἐπινίκιον καὶ ὁ ἀγών. H.

242. ἀλλ' οἷον τόδ' ἔρεξε] Παρμενίσκος ἐψίλου τὸ οἷον, ἵν' ᾖ, τοῦτο 20 μόνον ἐρῶ. ἄμεινον δὲ θαυμαστικῶς ἀναγινώσκειν. H.P.Q.

244. αὐτόν μιν] ψιλῶς. οὐκ οἶδε τὴν αὐτῶν συνήθειαν ὁ ποιητής. H. δύο ἰσοδυναμοῦσαι ἀντωνυμίαι ἀντὶ τῆς μιᾶς παραλαμβάνονται.. T.V.

αὐτόν μιν πληγῇσιν] ταύτην ἐπελέξατο τοῦ ἀνδρὸς τὴν πρᾶξιν, ἐν ᾗ τὸ πᾶν ὠφεληκυῖα αὐτὸν φαίνεται. αἰτία γὰρ πᾶσι καθεστῶσα 25 τῶν συμφορῶν οὐκ ἄλλην ἀπολογίαν εὕρετο. δεόντως οὖν ἐπιλεαίνει τὰ χαλεπά. Q. πληγῇσιν ἀεικελίῃσι] δαμαστικαῖς, δειναῖς, ἀπρεπέσιν. ἀπὸ τοῦ ἀεικὲς τὸ ἀπρεπές. E.

5. σαώσαι—οἶδεν] σαώσει ἢ αὐτὸς παιήων, ὃς πάντα τε (τε om. H.) φάρμακα οἶδεν B.H.Q. Correxi proximi scholii ope.

6. οὐχ ὁ αὐτὸς τῷ Ἀπόλλωνι] οὐχ ὁ τοῦ ἀπόλλωνος M.

8. εἶναι et δὲ om. M. δὲ μάρτυς om T. in lacuna.

9. σαώσαι] σαῶσαι M.T. σώσει Eustathius. σάωσεν V.

10. ἢ καὶ Goettling. ad Hesiod. fragm. 139. Legebatur ἢ αὐτός. αὐτὸς om. Eustath.

ἁπάντων] πάντων Eustath. πάντα T.

13. τὸ ἑξῆς om. Q.

Μενέλαε et ὦ om. V.

14. δίδωσιν, ὡς καὶ] περιποιεῖ, νῦν μέντοι V. In T. ζεὺς γὰρ ἄλλοτ' ἐπ' ἄλλῳ διδοῖ κακόν :—

21. τοῦτο] κατὰ τοῦτο Q.

22. αὐτῶν] Corrigendum videtur Ἀττικῶν: qui αὐτὸν dicunt.

26. ἄλλην Buttm. pro ἄλλων.

245. σπεῖρα] ἱμάτια παλαιὰ ἀπὸ τοῦ σπειρᾶσθαι τὸ ἐντυλίσσεσθαι. B. ἐπεὶ σπεῖρα κοινῶς πᾶν ἱμάτιον, προσέθηκε κακά. H. κοινῶς πᾶν ἱμάτιον. P.

σπεῖρα κακὰ] ἱμάτια. προσέθηκε δὲ κακά, ἵνα δηλώσῃ ῥάκη. V. τὰ ἐνδύματα, ἀπὸ τοῦ διασπείρεσθαι ἐν ὅλοις τοῖς μέλεσι. προσέθηκε δὲ τὸ κακά, ἵνα ῥάκη δηλώσῃ. E.

διὰ πολλὰ τῆς πράξεως ταύτης μνημονεύει ὁ ποιητής, οὐ μόνον ὅτι πρὸς τὴν ποίησιν συμφέρει τὰ μὴ δεδομένα τῆς Ἰλιάδος νῦν ἐμφανίζειν, ἀλλὰ καὶ πρὸς τὴν μνηστηροκτονίαν ταῦτα ᾠκονόμηται, ἵνα μηδὲ τοῖς μνηστῆρσι συνὼν ἐν τοιούτῳ σχήματι ἀπίθανον φαίνοιτο. τὸ πιθανὸν δὲ τοῦτο καὶ πρὸς τὴν Τηλεμάχου πίστιν. δεξάμενος γὰρ ταύτην τὴν διήγησιν, ἑτοιμοτέρως καὶ παρ' Εὐμαίῳ πιστεύει τοῦτον εἶναι τὸν πατέρα τὸν τοῦ πτωχοῦ πρόσωπον ὑποκρινόμενον. Q. πιστεύει αὐτῷ ἐπιθέσθαι βουλευομένῳ τοῖς μνηστῆρσιν. ὁ γὰρ καὶ πληγὰς καρτερήσας ὑπὲρ τῶν κοινῇ συμφερόντων καὶ πόλεως ὅλης καταφρονήσας πῶς τῶν ἰδίων ἀποστήσεται; καλῶς οὖν Λακεδαιμόνιοι παιδεύουσι τὴν μαστίγωσιν τοὺς νέους καρτερεῖν τὰ δεινὰ ἐθίζοντες. Q.

246. κατέδυ πόλιν] ἵνα μετρήσῃ τὰς πύλας διὰ τὸν δούριον ἵππον. P.Q. οἱ μὲν ἵνα μετρήσῃ τὸ τεῖχος, οἱ δὲ ἵνα πείσῃ τὴν Ἑλένην συνεργῆσαι τοῖς Ἕλλησιν. E.V.

247. ἄλλῳ δ' αὐτὸν φωτὶ] ἀπὸ κοινοῦ τὸ αὐτόν, ἵν' ᾖ, κατακρύπτων νῦν ἑαυτὸν ἤϊσκεν αὐτὸν ἄλλῳ φωτὶ καὶ οὐκ Ὀδυσσεῖ. H.M.Q. ἀντὶ τοῦ κατακρύπτων ἑαυτὸν ὡμοιοῦτο. E.

248. δέκτῃ, ὃς οὐδὲν] ὁ κυκλικὸς τὸ Δέκτῃ ὀνοματικῶς ἀκούει, παρ' οὗ φησι τὸν Ὀδυσσέα τὰ ῥάκη λαβόντα μετημφιάσθαι· ὃς οὐκ ἦν ἐν ταῖς ναυσὶ τοιοῦτος οἷος Ὀδυσσεὺς ἀχρεῖος. Ἀρίσταρχος δὲ δέκτῃ μὲν ἐπαίτῃ, τὸ δὲ "ὃς οὐδὲν τοῖος ἔην," τῷ ἐναντίῳ τὸ ἐναντίον,

1. σπειρᾶσθαι] Vid. ad β, 102.

16. ἀποστήσεται] οὐ προστήσεται Eustath. p. 1494, 51.

21. ἀπὸ κοινοῦ] Vid. ad γ, 104. κατακρύπτων] κατακρύπτειν Q.

22. νῦν om. M.

24. ὁ κυκλικὸς H.M.T. οὐ κυκλικῶς Q. Vid. ad η, 115. ὁ κυκλικὸς etiam Eustathius p. 1494, 53., qui de suo addidit ἤγουν ὁ τῶν κυκλίων ποιητής.

τὸ Δέκτῃ om. M.T.

ὀνοματικῶς T. et Eustathius. ονοματικὸς M. ὀνομαστικῶς δ' (δ' om. H.) H.Q. Quæ frequenter in codicibus permutata: vid. Schæfer. ad Greg. Cor. p. 592. 698. et Preller. ad Polemon. p. 16. κατὰ κυριολεξίαν dixit Eustathius. Nomen autem proprium Δέκτῃ recte alteri rationi præferre videtur Lehrs. in Schneidew. Philologo vol. 4. p. 581.

25. μετημφιάσθαι] μετημφιέσθαι H. ἀμφιβαλέσθαι Eustath. p. 1494, 56.

26. ναυσὶ] κλισίαις T.

Ὀδυσσεὺς] ὁ ὀδυσσεὺς Q.

27. ὃς ante οὐδὲν addidi ex M.T.

ὃς οὐκ ἦν τοιοῦτος, ὁ Ὀδυσσεύς, ἀλλ' ἐνδοξότατος καὶ μεγαλοπρεπέστατος, ἵκελος δὲ ἐπαίτῃ. H.M.Q.T. τὸ δὲ δεν παρέλκει. M. ἤτοι ἐπαίτῃ ἀπὸ τοῦ δέχεσθαι, πτωχῷ. E.

τοῖος ἔην ἐπὶ νηυσὶν Ἀχαιῶν] διττῶς νοεῖται. ἢ γὰρ τοιοῦτον πτωχὸν κατέστησεν ἑαυτὸν, οἷος οὐ μὴ εὑρεθῇ ἄλλος εἰς τὸ ὅλον Ἑλληνικόν· ἢ τοιοῦτος ἐγένετο, οἷόν τις ὁρῶν εἶπεν ἂν μὴ εἶναι Ὀδυσσέα· τοιοῦτον εἰργάσατο ἑαυτὸν ὥστε μὴ ἔχειν ἴχνος τοῦ πρώην χαρακτῆρος. ὁ γὰρ Ὀδυσσεὺς ἐπὶ τοῖς Ἕλλησι τοιοῦτος οὐκ ἦν οὐδαμῶς· πλούσιος γὰρ ἦν καὶ ἔνδοξος. πλὴν τότε οἰκονομικῶς γέγονε τοιοῦτος, ἵνα ἴδῃ τὴν θέαν τῆς Τροίας καὶ τὴν ἔσωθεν τοῦ πύργου εἴσδυσιν, εἰ ἄρα ὑψηλός ἐστιν ὡς ἀπὸ τοῦ ἔξω μέρους, ἢ οὐχί. E.

249. τῷ ἵκελος] γεγονὼς διὰ τὴν ἀπαίτησιν τῆς Παλλάδος. E.

ἀβάκησαν] ἠγνόησαν, οὐκ εἶπόν τι. οἱ γὰρ ἀγνοοῦντες οὐ δύνανται βάζειν. ἀπὸ τοῦ βῶ τὸ λέγω γίνεται. B.Q. ἐμωράνθησαν, ἠγνόησαν. ἀπὸ τοῦ α καὶ βάζω. ὃν οὐδεὶς οἶδεν ὥστε ὁμιλῆσαι. E. ἠγνόησαν. παρὰ τὸ βάζω ἐσχημάτισται. ἡ δὲ λέξις τῶν ἅπαξ εἰρημένων ἐστίν. V.

250. τοῖον ἐόντα] ἀντὶ τοῦ τοιοῦτον. τινὲς δὲ οὕτω, καίπερ ἐν τοιούτῳ σχήματι ὄντα· ὃ καὶ ἄμεινον. H.

252. ἀλλ' ὅτε δή μιν ἐγὼν ἐλόευν] οὕτως ἔλουον. ἐπίτηδες δὲ αὐτὸν λούει, ἵνα δι' ὧν τὸ λανθάνειν ἐπορίζετο ῥακῶν, τούτων αὐτὸν ἀφελομένων γνωριμώτερον ποιήσηται, ἐπείτοι γε παρ' Ὁμήρῳ παρθένων ἐστὶν ἔθος τὸ λούειν τοὺς ξένους. H.Q.

ἐλόευν] ἐξεπίτηδες Ἑλένη λούει αὐτὸν διὰ τὸ ἀκριβῶς γνῶσιν σχεῖν, ἐπεὶ ταῖς παρθένοις τοῦτο ἐφεῖται. E. ἐλόευν] ἔλουον. ἵνα ἀκριβέστερον τὰ κατ' αὐτὸν μάθῃ, αὐτὴ ἔλουεν αὐτόν. V.

καὶ χρῖον] Ἰακῶς τὸ χρῖον. H.

καὶ ἔχρισ'] ἢ καὶ χρῖον. M.

1. ὁ Ὀδυσσεὺς om. M.
2. ἐπαίτῃ M. τῷ ἐπαίτῃ ceteri.
δεν Cobetus pro οὐδέν.
6. ἢ τοιοῦτος—οἷον Buttm. pro ἤτοι οὗτος—οἷος.
16. Conf. Apollon. Lex. s. v. ἀβάκησαν.
18. οὕτω scripsi pro τοῦτο ἤ.
20. ἐλόευν] Sic H. in lemmate scholii. In textu λόευν, sed a correctore factum ex λόεον.
22. ποιήσηται] ποιήσειεν H.
24. ἐλόευν] ἐλόεν ed. Mediol.
25. ἐλόευν] ἐλόεν edd. ant. Quo ne quis abutatur ad effingendam scripturam ἔλοον, accentum consulendum moneo, et præterea observo in his codd. ut in P. formam ἐλόευν ita scriptam esse ut υ vix conspiciatur, sed levis inter ε et ν ductus esse videatur. BUTTM.
26. κατ' αὐτὸν—αὐτὴ] Sic correxi pro καθ' ἑαυτὸν—αὕτη. Conf. Eustath. p. 1495, 12.
28. ἢ καὶ χρῖον in textu superscriptum habet M.

254. μὴ μὲν πρὶν Ὀδυσῆα] τί κατήπειγε, φασὶ, μηνύειν τοῖς Τρωσὶν ὅτι ἦν Ὀδυσσεύς; τοῦτο γὰρ καὶ προδοσίας ὑποψίαν παρεῖχε τῇ Ἑλένῃ, εἴ γε ὁμολογοῦσα ἐγνωκέναι τὸν κατασκεψάμενον ὃς ἦν, οὐ τότε ἐμήνυσεν, ἀλλ' ἐπίτηδες αὐτὸν περιέσωσεν. ἔστιν οὖν ὅμοιον τῷ "τὴν δ' ἐγὼ οὐ λύσω, πρίν μιν καὶ γῆρας ἔπεισιν" (Il. α, 29.), καὶ "οὐδέ ποτ' ἐκπέρσει, πρίν μιν κύνες ἀργοὶ ἔδονται" (Il. σ, 283.). H.M.Q.T.

255. πρίν γε τὸν] τὸ πρίν μὴ νόει μοι τοιοῦτον ὅτι μετὰ τὸ ἀπελθεῖν τὸν Ὀδυσσέα εἰς τὰς νῆας ἔμελλεν ἡ Ἑλένη εἰπεῖν. οὐδ' ὅλως γὰρ οὔτε πρώην οὔτε ὕστερον ἔμελλεν εἰπεῖν. τοιοῦτον γὰρ τὸ πρίν ἐνταῦθα. εἰ γὰρ εἶπεν, εὐθέως διεσπάσαντο αὐτὴν ὡς μὴ ὁμολογήσασαν. δῆλον δὲ ὅτι καὶ ἡ Ἑκάβη ἀγνοεῖ τὴν Ὀδυσσέως εἰσέλευσιν· εἰ γὰρ ἔγνω, οὐκ ἂν ἐσίγησεν. E.

256. νόον κατέλεξεν] ὃν εἶχε νῦν περὶ τῆς διὰ τοῦ ἵππου ἐπιβουλῆς. ὅτι δὲ τοῦτό φησι δῆλον ἐκ τοῦ "αὐτὰρ ἐμὸν κῆρ χαῖρε." P.Q.

257. ταναήκεϊ χαλκῷ] τεταμένην ἔχοντι τὴν ἀκμήν. V. ἀπὸ τοῦ ταναὸν τὸ μακρὸν καὶ τοῦ ἀκονῶ. ταναήκεϊ γὰρ τῷ πολλὰ ἠκονημένῳ. B. τῷ εἰς μῆκος ἥκοντι, ἢ τῷ ἐπιτεταμένην ἔχοντι τὴν ἀκμὴν, τῷ ταναῷ γινομένῳ ἀκόνῃ. E.H.Q. δῆλον δὲ ὡς παρὰ τῆς Ἑλένης ἔλαβε τὸ ξίφος· ἐν ῥάκεσι γὰρ παρῆλθεν εἰς τὴν πόλιν. E.H.Q.T.

258. κατὰ δὲ φρόνιν ἤγαγε πολλήν] καταφρόνησιν αὐτῶν ἤγαγεν, τουτέστιν ἢ αὐτὸς κατεφρόνησε τότε αὐτῶν, ἢ τοὺς Ἕλληνας ἐποίησεν αὐτῶν καταφρονῆσαι δι' ὧν ἔπεισε τὴν Ἑλένην. ἢ φρονήσεως ἀπείρου ἑαυτῷ περιέθετο ὄνομα ταῦτα ποιήσας. οἱ δὲ νεώτεροι φρόνιν τὴν λείαν ἀπεδέξαντο. M.V. ἤγαγε δὲ πολλὴν καταφρόνησιν τοῖς πολεμίοις· ἢ τοῖς οἰκείοις φρόνησιν καὶ δόξαν πολλὴν κατήγαγεν, ὅ ἐστιν ἐπηνέγκατο. ἕτεροι δὲ ἀντὶ τοῦ, κατήγαγε πολλὴν φρόνησιν ἤτοι γνῶσιν τῶν ἐν Τροίᾳ τοῖς Ἕλλησιν. E. ἤγαγεν Ἕλλησι πολλὴν καταφρόνησιν τῶν πολεμίων, καταγνοὺς αὐτῶν τὸ ἀσθενές. τινὲς δὲ κατήγαγε πολλὴν φρόνιν, ὅ ἐστι πολλὴν δόξαν ἀπηνέγκατο ὁ Ὀδυσσεύς. H.Q.

6. ἐκπέρσει M.T. ἐκπέρσειν H.Q. ἔδονται H.M.T. ἔπονται Q.
11. διεσπάσαντο Buttm. pro διεσπουδάσαντο.
14. νῦν om. P.
20. δῆλον δὲ ὡς π.] δηλονότι π. T.
21. παρῆλθεν H.T. εἰσῆλθεν E.Q. εἰς τὴν πόλιν om. E.Q.
25. ὄνομα M. τὸ ὄνομα V.
29. ἤγαγεν] ἤνεγκε τοῖς T.
31. ἀπηνέγκατο H.T. et qui partem hujus scholii habet P. ἐπηνέγκατο Q.

260. χαῖρ'] λύσις τοῦ ἀντιπίπτοντος· ἤρετο γὰρ ἄν τις διὰ τί τοῦτο Ἑλένη πεποίηκεν. E.

χαῖρ', ἐπεὶ ἤδη μοι] ἄμεινον τὸν δή χρονικῶς δέχεσθαι κατὰ Ἀρίσταρχον. Κράτης δὲ δύο ποιεῖ, ἦ καὶ δή· διὸ καὶ περισπᾶται τὸ ἦ. οὐδέποτε δὲ ὁ ἦ ὢν βεβαιωτικὸς μεταξὺ τοῦ ἐπεί καὶ τοῦ δή εὑρέθη. H.Q.

ἐπειὴ δή μοι] τὸ ῆ πλεονασμός. E.

264. οὔ τευ δευόμενον οὔτ' ἄρ φρένας οὔτε τι εἶδος] ἐνῆν μὲν εἰπεῖν, οὐ γὰρ φρένας οὔτε τι ἔργον, ἡ δὲ τὸ εἶδος ἐπαινεῖ. διόπερ καὶ ἐξημαρτηκέναι διεβάλλετο ἡττηθεῖσα τῆς τοῦ Πάριδος εὐμορφίας. οἱ γὰρ ἄνδρες οὐχ οὕτως ἐπὶ ταῖς φθοραῖς τῶν γυναικῶν ἀγανακτοῦσιν ὡς ἐπὶ ταῖς προαιρέσεσιν, ὅταν αἴσθωνται ὑπ' ἄλλων παρ' αὐταῖς. H.M.Q.

269. ἀλλ' οὔπω] θαυμαστικὸς ὁ λόγος, εἰ χωρίζοιτο, ὁμοιωτικὸς δὲ, εἰ τοῖς ἄνω συνάπτοιτο· ὃ καὶ ἄμεινον. H.Q.

270. ἔσκε] Ἰωνικόν. E.

272. ἵν' ἐνήμεθα] ὅπου ἐκαθήμεθα, ἐνεβεβλήμεθα. B.

274. ἦλθες ἔπειτα] τοῦτο πρὸς τὴν Ἑλένην φησὶν ὁ Μενέλαος. E.

κελευσέμεναι δέ σ' ἔμελλεν] προτρέψαι δέ σε ἐῴκει ὁ θεὸς ὅστις ἐβούλετο τοῖς Τρωσὶ δόξαν παρασχεῖν. B.

275. ὃς Τρώεσσιν] ὁ τὰ τῶν Τρώων αἱρούμενος, μὴ βουλόμενος δὲ τὴν Ἑλένην ἐλέγχειν τοῦτο παρενέβαλλεν. H.

276. καί τοι Δηΐφοβος] προηθετεῖτο κατ' ἐνίους. καὶ εἴη ἂν ἐγκείμενος ὑπὸ τῶν ἱστορούντων τρίτον Δηΐφοβον γεγαμηκέναι τὴν

3. τὸν δή] Male Porsonus τὸ ἤδη. Nam aliter accipi non poterat ἤδη nisi χρονικῶς. Scripsit itaque Aristarchus ἐπειὴ δή, et τὸν δή (σύνδεσμον) accepit χρονικῶς. Crates autem scribebat ἐπεὶ ἦ δή. Cetera sic sunt constituenda: διὸ καὶ περισπᾶται τὸ ῆ. οὐδέποτε δὲ ὁ ἦ βεβαιωτικὸς μεταξὺ τοῦ ἐπεί καὶ τοῦ δή εὑρέθη, BUTTM. Recepi Buttmanni correctiones, nisi quod ὢν ante βεβαιωτικός servavi. Maius hæc sic scripta edidit ex Q. δύο ποιεῖ ῆ (ἦ H.) καὶ δή. διὸ καὶ περισπᾶται τὸ ἤ. οὐδέποτε δὲ τὸ ῆ, οὐδέποτε δὲ ὢν βεβαιωτικὸς μεταξύ που, ἐπεί καὶ ποῦ εὑρεθῇ (ἐπεὶ καὶ δὴ ηὑρεθῇ annotatum ex H.).

4. περισπᾶται] Fortasse περισπᾷ.

9. φρένας om. Q.

ἡ δὲ Buttm. pro ἤδη.

10. ἡττηθεῖσα] ἡττηθεῖσαν Q.

12. ὡς] ὅσον ὡς H. ὅσον Q.

αἴσθωνται] Post hoc verbum excidit ὑποσκελισθέντες vel simile. BUT.

14. ὁμοιωτικὸς] ὁμοιωματικὸς Q.

15. εἰ τοῖς ἄνω Friedlaender. de Nicanore p. 36. εἴ τις ἄνω H.Q.

19. De alio ad v. 274. scholio vid. ad α, 232.

23. προηθετεῖτο] Vid. ad α, 185.

κατ' ἐνίους H. παρ' ἐνίαις Q.

24. γεγαμηκέναι Buttm. ἐγγεγαμηκέναι Q. Ex H. ἦν γεγαμηκέναι annotatum.

Ἑλένην. καὶ δι' ἄλλων δὲ ὁ τόπος ἐμφαίνεται "αὐτὰρ Ὀδυσσῆα προτὶ δώματα Δηϊφόβοιο βήμεναι ἠὔτ' Ἄρηα σὺν ἀντιθέῳ Μενελάῳ" (Od. θ, 517.). H.Q. τοῦτο ἐκ τῶν ὕστερον ἐγνωσμένων φησὶ μαθὼν ὅτι περιεστήκεσαν οἱ πολέμιοι, ἐπεὶ τότε ἠγνόει καὶ τὴν Δηϊφόβου πρόσοδον. H. 5

Δηΐφοβος] Ἀλεξάνδρου ἀδελφὸς, ὃς εἶχε τὴν Ἑλένην. τελευτήσαντος γὰρ τοῦ Ἀλεξάνδρου ὑπὸ Φιλοκτήτου Δηϊφόβῳ ἐγαμήθη ἡ Ἑλένη. E.Q.

277. περίστειξας] περιῆλθες. ἀπὸ τοῦ στίχειν, ὅ ἐστι πορευθῆναι. V. περιῆλθες, ἀπὸ τοῦ στείχειν, ἢ ἀπὸ τοῦ στίξ ἡ τάξις, 10 ἤτοι κατὰ τάξιν, περιεκύκλωσας. B.Q. περιῆλθες, ἀπὸ τοῦ στίχω τὸ βαδίζω. B.Q. περιεπάτησας, περιῆλθες, ἀπὸ τοῦστείχω. E.

περίστιξας] Ἀρίσταρχος βραχέως. δηλοῖ τὸ περιῆλθες, ἀπὸ τοῦ στείχειν. Q.

ἀμφαφόωσα] ψηλαφῶσα, μὴ δόλος τις ᾖ ἐν τῷ κατασκευάσμα- 15 τι. B.H.Q.

279. πάντων Ἀργείων] ἐμιμήσατο γὰρ ἡ Ἑλένη τὰς φωνὰς τῶν γυναικῶν ἑκάστου αὐτῶν. P. ὁμοιοῦσα. ταῖς γυναιξὶν ἑνὸς ἑκάστου ἀπεικάζουσα σεαυτὴν ἐκάλεις ἐξ ὀνόματος. E.

μιμουμένη τὴν Ἑλληνίδα φωνήν. οὐ γὰρ ἂν πασῶν ἠπίστατο τὰς 20 φωνάς. ἢ ἴσως οὐκ ἠγνόει τῶν ἀρίστων τὰς φωνάς. E.

πάντων Ἀργείων] ὅ ἐστι τὴν Ἑλληνικὴν φωνὴν τῶν Ἀχαϊάδων μιμουμένη. πόθεν γὰρ ὅλας ᾔδει, ἵνα καὶ τὰς φωνὰς αὐτῶν μιμήσηται; πάνυ δὲ γέλοιος ἡ τῶν φωνῶν μίμησις καὶ ἀδύνατος. πῶς δ' ἂν ἐπίστευον ὅτι πάρεισιν αὐτῶν αἱ γυναῖκες; B.H.M.Q.T. τοῦτο ἑκατέ- 25 ροις δύναται πορσδίδοσθαι, μᾶλλον δὲ τοῖς ἄνω, ἵνα μὴ ἀλογώτερον γένηται τὸ ζήτημα. οὐ δυνατὸν γὰρ ταῖς ἁπάντων γυναιξὶν ὁμοφωνῆσαι, ἀλλὰ ταῖς τῶν ἀριστέων, αἷς καὶ ἐν ἔθει ἐτύγχανεν. B.H.M.Q.

283. ὑπακοῦσαι] ἀποκριθῆναι. E.

1. ὁ τόπος] Legendum videtur ὁ λόγος, h. e. hæc de Helena et Deiphobo narratio. BUTTM.

3. τοῦτο —] Hoc schol. H. in marg. v. 292. CRAMER.

14. βραχέως] Id est περίστιξας, quod in textu habet M.

18. ὁμοιοῦσα] Hoc est glossema verbi ἴσκουσα.

19. ἀπεικάζουσα σεαυτὴν Buttm. pro ἀπεικάζουσαν ἑαυτήν.

23. τὴν solus habet T.

24. δὲ om. H. γὰρ T.

γέλοιος] γελοῖος B.H.Q.T. γελοίως M. γελοία Eustath. p. 1496, 23.

25. τοῦτο H. τοῦτο δ' ceteri. Nicanoris scholion esse conjicit Friedlaender. de Nican. p. 43. Idem p. 91. προσδίδοσθαι correxit pro προδίδοσθαι.

28. αἷς H. ἐν αἷς ceteri.

284. ἀλλ' Ὀδυσεὺς] καὶ πῶς ἦν νομίζειν αὐτοὺς εὑρεθῆναι ἐκεῖσε τὰς γυναῖκας αὐτῶν; ἴσως ἤλπισαν ὅτι πορθηθεῖσαι ἀπήλθοσαν ἐκεῖ. E.

285. ἔνθ' ἄλλοι μὲν πάντες] Ἀρίσταρχος τοὺς ε' ἀθετεῖ, ἐπεὶ ἐν Ἰλιάδι οὐ μνημονεύει Ἀντίκλου ὁ ποιητής. ἀλλ' οὐδὲν τὸ κωλῦον οὐ βασιλέα ὄντα τοῦτον, ἀλλὰ γενναῖον, εἰς τὴν ἐνέδραν ταχθῆναι, οὐ τῶν ἡγεμόνων μόνον, ἀλλὰ καὶ τῶν ἄλλων ἐπιλέκτων ἐπὶ τὴν πρᾶξιν ἠρημένων. ἄριστον νῦν (272.) οὐ τῷ ἀξιώματι, ἀλλὰ τῇ ἀνδρείᾳ φησίν. H.Q. ὁ Ἄντικλος ἐκ τοῦ Κύκλου. οὐκ ἐφέροντο δὲ σχεδὸν ἐν πάσαις οἱ πέντε. τὰ γὰρ τῆς διαθέσεως ψυχρά. H.

286. Ἄντικλος] οὗτος παρ' Ὁμήρῳ ἐν Ἰλιάδι οὐκ ἀναγέγραπται, νῦν δ' ἤρηται· στρατηγὸς γὰρ ἄριστος ἦν. E.

287. ἐπὶ μάστακα] ἐπεπίεζε τὴν μάστακα, ὅ ἐστι τὸ στόμα, ἀπὸ τοῦ μασᾶσθαι. τουτέστιν ὁ Ὀδυσσεὺς ταῖς χερσὶν αὐτοῦ ἐκώλυσε τὸ στόμα τοῦ Ἀντίκλου μὴ λαλῆσαί τι. B. μάσταξ ἡ τροφή, ἀπὸ τοῦ μασᾶσθαι τὰ βρώματα. E.

292. ἄλγιον] δεινότερον καὶ ἐπιπονώτερον τὸ περὶ Ὀδυσσέα πάθος εἰ οὕτω σοφὸς ὢν οὐδέν τι ἀπήλαυσε τῆς σοφίας, ἀλλ' ὑπὸ τῆς εἱμαρμένης ἐκρατήθη, καὶ ὁ τοὺς ἄλλους σώσας ἑαυτὸν σῶσαι οὐ δεδύνηται. B.E.P.Q.

294. τράπεθ' ἡμέας] ἀπόλυτος ἡ ἡμέας· διὸ τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα. H.

ὄφρα κεν ἤδη] γρ. καί. H.

295. ὑπὸ] περιττὴ ἡ ὑπό. ἢ δοτική ἐστιν ἀντὶ γενικῆς. H.

ταρπώμεθα] γρ. παυσώμεθα, ἀντὶ τοῦ ἀναπαυσώμεθα. H.P.

297. δέμνι' ὑπ' αἰθούσῃ θέμεναι] τινὲς οὕτω τὸ ὑπέρβατον, δέμνι' ὑπ' αἰθούσῃ θέμεναι, στορέσαι τ' ἐφύπερθε τάπητας, καὶ ῥήγεα καλὰ πορφύρε' ἐμβαλέειν καὶ χλαίνας οὖλας καθύπερθεν ἕσασθαι, ὅ ἐστι περιβαλέσθαι. Q. ὑπ' αἰθούσῃ] ἠχητικῇ. V.

θέμεναι] καθ' ἕκαστον βραχὺ διασταλτέον, θέμεναι, βαλέειν, τάπητας. H.

4. ε' Porsonus (i. e. versus 285–289.) δύο H.Q. Sed H. recte πέντε in scholio proximo.

7. μόνον om. H.

ἠρημένων Buttm. pro εἰρημένων.

9. ἐφέροντο correxi pro ἀνεφέροντο.

12. ἤρηται Buttm. pro εἴρηται.

23. γρ. καί correxi pro γρ. κἂν. Habet autem H. hanc annotationem ab alia manu in margine scriptam rubro liquore.

24. ἀντὶ γενικῆς] Conf. schol. Il. λ, 121. σ, 11. τ, 62.

29. ἠχητικῇ] Sic hic scholium ita explicat αἰθούσῃ ἐριδούπῳ γ, 399.

298. ὕπερθε] ὑπεράνωθεν. V.

299. χλαίνας οὔλας] ἁπαλὰς, ἢ τελείας καὶ ἀνδρομήκεις. P.Q.

ἕσασθαι] ἀναπαυθῆναι, καθίσαι. B. ἐνδυθῆναι, σκεπασθῆναι. P.

300. δᾷδας] γράφεται δάος, ἤγουν μερισμὸν, σπουδὴν, ἢ ταχύτητα, ἢ φῶς. ἀφ' οὗ καὶ αἱ δεκτικαὶ τοῦ φωτὸς αἱ δᾷδες. E. 5

302. ἐν προδόμῳ δόμου] προστώῳ, προθύρῳ τῷ πρὸ τοῦ θαλάμου. E.

304. προπερισπωμένως τὸ καθεῦδε. H.P.

305. ταυύπεπλος] ἡ τεταμένον καὶ ἐπιμήκη τὸν πέπλον ἔχουσα. ὡς ἂν εἰ ἔλεγεν ἡ νεωτέρα καὶ εὐμήκης τὴν ἡλικίαν. τεταμένου γὰρ τοῦ σώματος ἀνάγκη τετάσθαι καὶ τὸν πέπλον. B.E.Q. 10

309. ποσσὶ δ' ὑπὸ λιπαροῖσι] στερεοῖς, ταχυτάτοις. E.

311. Τηλεμάχῳ δὲ πάριζεν] ἐὰν ἓν μέρος λόγου ᾖ τὸ πάριζεν, προπαροξυνθήσεται, ὡς "Νέστωρ αὖ τότ' ἔφιζεν" (Od. γ, 411.). ἐὰν δὲ ἡ παρὰ πρὸς τῷ Τηλεμάχῳ συντάσσηται, προπερισπᾶται. οὐκ ἀναστρέφεται δὲ ἡ παρά, ἐπεὶ κατ' ἔκθλιψίν ἐστιν. ἄλλως τε καὶ 15 μέσον πέπτωκεν ὁ δέ. Q. διχῶς, πάριζεν καὶ παρίζεν. P.

312. Τηλέμαχ' ἥρως] πρὸς τὴν ἑρμηνείαν, τί ποτέ σε χρειὼ ἤγαγε δήμιον ἢ ἴδιον; H. προσαγωγὸν τὸ ἥρωα καλεῖν τὸν νέον διὰ τὰ τοῦ πατρὸς κατορθώματα. H.Q.

313. νῶτα θαλάσσης] μεταφορικῶς τὸ πλάτος τῆς θαλάσσης εἶ- 20 πεν. V.

314. ἔνισπε] γρ. ἐνίσπες. Q.

317. κληδόνα πατρὸς] ἀπὸ τοῦ κλέος κλείζω κλεϊδὼν καὶ κληδὼν, ὡς τὸ χρέος χρείζω χρήζω. μένει δὲ τὸ ι προσγεγραμμένον. E. λείπει ἡ περί, ἵνα ᾖ, εἴ τινά μοι φήμην περὶ τοῦ πατρὸς ἐνίσποις. Q. 25

318. πίονα ἔργα] τὰ ἐκ τῶν ἰδίων κτημάτων γεώργια, ἃ δι' ἐργασίας κτᾶταί τις. E.

320. μῆλ' ἀδινὰ] λεπτὰ, πρὸς σύγκρισιν τῶν βοῶν. ἢ ἀντὶ τοῦ πυκνῶς. τὸ δὲ ἕλικας βοῦς τοὺς ἑλικοειδῆ κέρατα ἔχοντας, ἢ τοὺς ἑλικοειδῆ τὴν πορείαν ποιουμένους, ἢ τοὺς μέλανας. E. 30

322. ἱκάνομαι] ἀντὶ τοῦ ἱκάνω. ἡ δὲ λέξις ἀντὶ τοῦ ἱκετεύω. B.Q.

2. ἢ τελείας] ἐντελείας Q.

4. δᾷδας] In M. non μεγάροιο δάος scriptum in hoc versu, sed μεγάροιο δάδας, id est, ut monet Cobetus, μεγάρου δαΐδας.

9. νεωτέρα. τεταμένου—πέπλον] Hæc sunt etiam in P.

11. στερεοῖς Maius. στεροῖς E.

14. συντάσσηται] συντάσσεται Q.

18. προσαγωγὸν H. προσαγωστὸν Q.

22 γρ.] γράφε Q.

ἐνίσπες] ἔνισπες Q. ἐνίσπες habet M. in textu, sed correctum in ἔνισπε.

29. ἕλικας] Conf. ad α, 92.

326. μηδέ τί μ' αἰδόμενος] διὰ δύο πράγματα κρύπτει τις τὸ ἀληθὲς, ἢ δι' αἰδῶ ἢ δι' ἔλεον. E.

μειλίσσεο] μειλίχια καὶ προσηνῆ λέγε, ἢ χαρίζου. E.

329. ἔργον ὑποστὰς] ἐκ μεταφορᾶς τῶν βασταζόντων φορτία μεγάλα καὶ τὸ φορτίον ὅ τι ἂν εἴη ἀναδεχομένων. E. 5

332. μέγ' ὀχθήσας] τὸν θυμὸν ὑψώσας ἢ ἀχθεσθείς. ὀχθίζω ἢ ὀχθῶ. E.

333. ὦ πόποι] ὅρα τὴν ἐξαλλαγήν. ὁ μὲν γὰρ Νέστωρ ὡς ἂν ἐκ πολλοῦ ἀφιγμένος καὶ τῶν κατὰ τοὺς μνηστῆρας οὐκ ἀνήκοος πυνθάνεται τοῦ τρόπου τῆς ἐπηρείας "εἰπέ μοι ἠὲ ἑκὼν ὑποδάμνασαι" 10 (γ, 214.), ὁ δὲ Μενέλαος πρῶτον πυνθανόμενος σχετλιάζει οὐ φέρων τὴν εἰς τὸν Ὀδυσσέως οἶκον ὕβριν. Q.

335. ἐν ξυλόχῳ] ξύλοχον τὴν κατάδυσιν τοῦ λέοντός φησιν, ἢ τὸν φωλεὸν τὸν ἔχοντα ξύλα πολλά. B. ἐν τόπῳ ὑλώδει καὶ συνδένδρῳ, ἔνθα τὴν εὐνὴν ὁ λέων ἔχει καὶ ἐνεδρεύει τὰ παρατυχόντα τῶν 15 ζῴων. E.

336. νεβροὺς] νεβρούς φησι τοὺς μνηστῆρας, λέοντος δὲ ξύλοχον καὶ κοίτην τὴν τοῦ Ὀδυσσέως εὐνὴν, λέοντα τὸν Ὀδυσσέα, εἰς ἐλάφου τόπον τάσσει τοὺς γονεῖς τῶν μνηστήρων, οἵτινες τῶν υἱῶν αὐτῶν ὡς νεβρῶν φονευομένων αὐτοὶ ἢ ἐκφύγωσιν ἢ συσχεθῶσιν, ἐὰν εὑρεθῶ- 20 σιν ἐκεῖ. E.

νεηγενέας] Ἀρίσταρχος, νεογενέας. H.Q.

337. κνημοὺς] τοὺς βασίμους τόπους, τὰς προβάσεις τῶν ὀρέων. ἢ κνημοὺς σκληροὺς τόπους καὶ τραχεῖς, ἐκ μεταφορᾶς τῆς κνήμης τοῦ σκέλους, ὡς αὐτοῦ ὀστώδους καὶ νευρώδους ὄντος. B.E. 25

κρημνοὺς] γρ. κνημούς. B.

ἄγκεα ποιήεντα] κοίλους τόπους ὀρέων. ἀπὸ γὰρ τοῦ συγκλείεσθαι καὶ συνάγεσθαι ἐν αὐτοῖς τὰ ξύλα. ἀπὸ τοῦ ἄγω τὸ φέρω, ἄγη, καὶ πλεονασμῷ τοῦ κ, ἄγκη. E.

339. ἀμφοτέροισι δὲ τοῖσιν] Ἀριστοφάνης τὸ ἀμφοτέροισι ἐπὶ 30 τῆς ἐλάφου καὶ τῶν νεβρῶν λαμβάνει. ὁ γὰρ Ἀριστοτέλης ἕν φησι τίκτειν τὴν ἔλαφον, σπανίως δὲ δύο. εἰκότως δὲ Ὅμηρος τούτῳ

22. νεογενέας] Aristarchus νεοιγενέας scripsisse videtur. COBET.

26. γρ.] γράφε B.

27. συγκλείεσθαι] συγκλεῖσθαι E.

30. τὸ ἀμφοτέροισι addidi ex H. et, qui τὸ om., T.

31. τῆς ἐλάφου] αὐτῆς H.

τῶν νεβρῶν ex H. scripsi pro τοῦ νεβροῦ.

Ἀριστοτέλης] Hist. Anim. 6, 29.

ἕν φησι] φησὶ ἓν T.

32. εἰκότως—ἀντίκεινται om. T.

συγχρῆται, ἵνα καὶ κατὰ τὸν ἀριθμὸν ἐμφερὲς ᾖ τὸ τῆς εἰκόνος. ὡς γὰρ οἱ μνηστῆρες πλεῖστοι πρὸς ἕνα, οὕτως καὶ οἱ νεβροὶ πρὸς τὸν ἕνα ἰσχυρότερον ἀντίκεινται. E.H.Q.T.

342. *τοῖος ἐὼν*] *ἐπεὶ μεταξυλογίᾳ ἐχρήσατο, ἐπανέλαβε τὸ τοῖος ἐών.* H.

343. *Φιλομηλείδῃ*] *τινὲς τὸν Πάτροκλον ἤκουσαν· Φιλομήλας γὰρ ἦν υἱός. οὔτε δὲ ἀπὸ μητρὸς τὸ γένος Ὅμηρος σχηματίζει οὔτε οἱ Ἕλληνες ἤσθησαν ἂν Πατρόκλου ἡττηθέντος· "πᾶσιν γὰρ ἐπίστατο μείλιχος εἶναι"* (Π. ρ, 671.). *ἀλλ' οὗτος βασιλεὺς ὢν Λέσβου τοὺς παριόντας εἰς πάλην ἐκάλει, καὶ τοὺς Ἕλληνας δὲ προσορμισθέντας, ὃν Ὀδυσσεὺς καὶ Διομήδης δολοφονήσαντες τὸν τάφον αὐτοῦ καταγώγιον ξένων ἐποίησαν, ὡς Ἑλλάνικός φησιν.* M.

Φιλομηλείδῃ] *τῷ Πατρόκλῳ. Φιλομήλας γὰρ ἦν υἱός.* V. *γρ. Φιλομηλείδη, κατ' Αττικοὺς χωρὶς τοῦ ν.* E.

ἐν Λέσβῃ] *ἐνὶ Λέσβῳ.* P. *βασιλεὺς γὰρ ἦν Λέσβου ὁ Φιλομηλείδης.* P. ab alia manu.

347. *τὸ ἑξῆς, ταῦτα δ' ἅ μ' εἰρωτᾷς καὶ λίσσεαι εἴποιμι ἔγωγε, οὐκ ἄλλα παρακλιδόν. τὸ παρακλιδὸν ἄμεινον τοῖς ἄνω συνάπτειν,*

1. *συγχρῆται* M. Legebatur *συγχρᾶται.* Verbo *συγκέχρηται* utitur schol. ad ζ, 235. κ, 208.

2. *πλεῖστοι*] *πλεῖος* (*πλείους?*) H.

3. *ἕνα ἰσχυρότερον ἀντίκεινται* ex H. scripsi pro *ἕνα, ὃ ἰσχυρότερος ἀντίκειται.* Post *ἀντίκεινται* in H. sequitur scholion brevius, *Ἀριστοφάνης ἀμφοτέροις ἤκουσεν αὐτῇ καὶ τῶν νεβρῶν* (*τῷ νεβρῷ* Nauck. Aristoph. p. 23. qui Aristophanem *νεβρὸν κοιμήσασα νεηγενέα γαλαθηνὸν* scripsisse conjicit)· *ὁ γὰρ Ἀριστοτέλης ἕν φησι τίκτειν τὴν ἔλαφον. εἰρήκει δ' ἂν νεβρὸν κοιμήσασα.*

6. *τινὲς* —] Plura ex hoc scholio excerpsit Eustathius, sed omisit Hellanici mentionem. Cf. schol. ρ, 134. Etym. M. p. 166, 6. ubi de patronymicis in *ειδης* agit, *Φιλομηλείδης.* "*Φιλομηλείδη ἐπάλαισεν ἀναστάς*": *ταῦτα μὲν παρὰ τῶν εἰς δης πατρωνυμικῶν καὶ τῶν τύπῳ πατρωνυμικῶν. τὰ δὲ μητρωνυμικὰ διὰ τοῦ ῑ γράφεται, Λητοΐδης, ὁ τῆς Λητοῦς· Δαναΐδης, ὁ τῆς Δανάης· Νιοβίδης, ὁ τῆς Νιόβης· ὅθεν τὸ Φιλομηλοΐδης κύριον λέγεται εἶναι. εἰ γὰρ ἦν μητρωνυμικόν, διὰ τοῦ ῑ ἐγράφετ' ἄν. ἀλλὰ οὐδὲ Ὅμηρος ἀπὸ μητέρων σχηματίζει πατρωνυμικόν.*

8. *ἤσθησαν ἂν*] *ἂν* om. M. Addidi ex Eustathio p. 1498, 61. qui *οὐκ ἂν ἐχάρησαν* dixit.

13. *γρ.*] *γράφε* E. *γράφεται* Lobeck. Paralip. p. 6.

14. *Φιλομηλείδη* correxi pro *Φιλομήδῃ.* Ineptum autem hoc de accusativo Attico commentum, ut alia multa quæ in scholiis hujus codicis traduntur. Lobeckio l. c. scribendum videbatur *γράφεται Φιλομηδιάδῃ ἢ Φιλομηδίδῃ κατ' ἄλλους χωρὶς τοῦ ε.* Idem Hesychii glossam memorat, *Φιλομηδιάδῃ· οἱ μὲν κύριον ὄνομα· πολλάκις γὰρ πατρωνυμικῷ τύπῳ κύριον* (legitur *κυρίως*) *δηλοῦται, ὡς Εὐριπίδης, Ἡρακλείδης.*

τοῦ addidi.

17. *τὸ ἑξῆς* addidi ex H.

διὰ τὸ ὑπέρβατον. E.H.P.Q. παρατρεπτικῶς, παρακλιθείσης τῆς ἀληθείας· ἐκ τοῦ παρακλίνεσθαι εἰς τόδε τὸ μέρος. E.

349. τά ἀντὶ τοῦ ἅ, προτακτικὸν ἀντὶ τοῦ ὑποτακτικοῦ. H.

νημερτὴς] ἀπὸ τοῦ νη στερητικοῦ μορίου καὶ τοῦ ἁμαρτῶ. ὁ μὴ ἁμαρτήσας περὶ οὓς εἶπέ μοι λόγους. B. 5

351. Αἰγύπτῳ μ' ἔτι] ὁ μὲν Ἀριστοφάνης παρέλκειν φησὶ τὸ ἔτι, ὡς τὸ "ὅν μοι ἔδωκε πατὴρ ἔτι δεῦρο κιούσῃ" (736.). οἱ δὲ οὕτως, εἰς Λακεδαίμονα ὁρμώμενον ἔτι ἐν Αἰγύπτῳ ἔσχον οἱ θεοί. E.H.Q.

353. ἐφετμέων] βούλεται μὲν λέγειν θυσιῶν. ἀσαφέστερον δὲ εἴρηται. διὸ Ζηνόδοτος ἠθέτει. ποῖαι γάρ, φησίν, ἐγένοντο ἐντολαί; 10 E.H.P.Q. ἡμᾶς θυσιῶν, ἐντολῶν. ἐντολὴ γὰρ ἦν θύειν τοῖς θεοῖς, αὐτὸς δὲ οὐκ ἔθυσεν, ἵνα τὴν ἐντολὴν πληρώσῃ. E.

355. Φάρον] Φάρος νῆσος, ἀπὸ Φάρου τινὸς ναυκλήρου ἐν Αἰγύπτῳ τῆς νηὸς ἐκβάντος καὶ ὑπὸ ὄφεως καταποθέντος, ὡς Ἀντικλείδης ἱστορεῖ. B. Ἀντικλείδης ἱστορεῖ ὅτι ποθοῦσα Μενέλαον Ἑλένη 15 λάθρα ἔξεισι τῆς πόλεως, καὶ Καρικὸν εὑροῦσα πλοῖον παρακαλεῖ τὸν ναύκληρον, ὃς ἐκαλεῖτο Φάρος, εἰς Λακεδαίμονα αὐτὴν ἀποκαταστῆσαι. χειμασθέντες δὲ ἧκον εἰς Αἴγυπτον, καὶ ἐνθάδε τῆς νεὼς ἀποβάντα τὸν Φάρον ὄφις ἀναιρεῖ. ἡ δὲ θάψασα αὐτὸν οὕτως ὠνόμασε τὴν νῆσον. E.H.Q.Vind. Φάρος ἐστὶ νῆσος Αἰγύπτου, ἡ νῦν Ἀλε- 20 ξάνδρεια λεγομένη. τινές φασιν ὅτι φάρους τῆς Ἑλένης ἐκπεσόντος οὕτως ὠνομάσθη. H.Q.

356. τόσσον ἄνευθ'] εἰκὸς τοσοῦτον εἶναι κατὰ τοὺς ἡρωϊκοὺς χρόνους τὸ διάστημα. ἔπειτα ἀπογαιωθῆναι τοῦ Νείλου ὑπερχέοντος τὴν ἰδίαν ἰλύν. ποταμόχωστος γὰρ ἡ Αἴγυπτος κατὰ Ἡρόδοτον. V. 25

τόσσον ἄνευθ'] τοσοῦτον γὰρ ἀπέχει Ναυκράτεως ἡ Φάρος, ἔνθα τότε τῆς Αἰγύπτου τὸ ἐμπόριον ἦν, ὥς φησιν Ἀριστοτέλης. μέχρι

7. ἔδωκε] δῶκε H.

10. ποῖαι—ἐντολαί om. P.

11. ἡμᾶς] Accusativus refertur ad infinitivum in textu. BUTTM.

14. καταποθέντος] καταπατηθέντος ἀποθανόντος Struvius.

15. Ἀντικλείδης—] Excerpsit hæc Eustath. p. 1500, 13.

ὅτι] ὡς H.

19. ἀποβάντα] ἀποβάντες E. Q. ἀποβάντων H.

21. ὅτι—] Cod. Vind. hæc addit superioribus ita: τὴν νῆσον. τινὲς δέ φασιν κ. τ. λ.

φάρους] φάρου Q.

23. εἰκὸς—Ἡρόδοτον] Hæc ex Eustath. p. 1500, 21. compilata videntur.

23. τόσσον ἄνευθ'] Porsonus (quem vide in postscripto) e scholio (lemmate. opinor) H. profert ἄνευθεν ὅσον τε. BUTTM.

27. Ἀριστοτέλης] Post Herodotum 2, 179.

Ναυκράτεως τὸ πέρας ἦν τοῦ Νείλου τότε. καὶ Ἡρόδοτος γοῦν φησιν ὅτι τὸ παλαιὸν τὸ κάτω μέρος τῆς Αἰγύπτου πᾶν πέλαγος ἦν, ὁ δὲ Νεῖλος πολλὴν καταφέρων ἰλὺν τὴν καλουμένην κάτω χώραν ὅλην προσέχωσεν· ὅθεν καὶ μέλαινα καλεῖται. ὁρᾶται δὲ καὶ μέχρι νῦν κογχύλια καὶ λοπάδες. ἐγὼ δὲ καὶ περὶ Μέμφιν εἶδον, φησὶν ὁ Πῖος. E.H.Q.

358. εὔορμος] εὐκαθόρμιστος. H.

ὅθεν τ' ἀπὸ] ἀφ' οὗ λιμένος ἀρύονται ὕδωρ ἐκ τῆς ἠπείρου ἐπὶ τὰς νῆας. B.

359. ἀφυσσάμενοι] ἐὰν διὰ τοῦ ο, ἀρυόμενοι, ἐὰν διὰ τοῦ α, ὑδρευσάμενοι. E.P. τὸ ὕδωρ τῇ νηῒ κομισάμενοι. E.

360. ἔνθα μ' εἴκοσιν] γρ. καὶ χωρὶς τοῦ ν τὸ εἴκοσι. H.

361. ἁλιαέες] οἱ ἐν τῇ θαλάσσῃ πνέοντες. ἀπὸ τοῦ ἄω τὸ πνέω, καὶ ἐκ τοῦ ἅλς, ἢ τοῦ ἄλη ἡ πλάνη. B.E.

363. καί νύ κεν] ὡς μήπω τῶν ὅλων ἀναλωθέντων. τάχα οὖν φησιν ὅτι πεφεισμένως ἤσθιον τῇ προσδοκίᾳ τῆς βραδύτητος οὐ πρὸς κόρον ἄρτον σιτούμενοι. E.Q.

364. εἰ μή τίς με θεῶν ὀλοφύρατο] βραχὺ διασταλτέον ἐπὶ τὸ ὀλοφύρατο, εἰ μὴ ἄρα στικτέον καὶ ἀφ' ἑτέρας ἀρχῆς τὰ ἑξῆς. E.Q.

καί μ' ἐλέησεν] διέσωσεν. Gl. M.

καὶ τοῦτο παιδευτικόν. ὡς γὰρ ἡ αἰτία θεοῖς ἀνάκειται, οὕτως καὶ ἡ λύσις. E.H.Q.

365. Πρωτέος ἰφθίμου] ἡδέως τῷ ἐπιθέτῳ· ὡς γὰρ εὐεργέτην ἐγκωμιάζει. E.Q.

366. Εἰδοθέη] ἀπὸ τῆς εἰδήσεως καὶ ἐπιστήμης τοῦ πατρὸς τὸ ὄνομα. καὶ Αἰσχύλος δὲ ἐν Πρωτεῖ Εἰδοθέαν αὐτὴν καλεῖ. ὁ δὲ Ζηνόδοτος γράφει Εὐρυνόμη. E.H.Q.

367. ἤ μ' οἴῳ ἔρροντι] μετὰ λύπης μόνῳ πορευομένῳ, φθειρομένῳ, καὶ μετὰ φθορᾶς βαδίζοντι. καταστρέφει δὲ εἰς τὸ ἀλύοντι. P.

6. Πῖος scripsi pro Πίος.

16. τῆς βραδύτητος] τοῦ βράδους E.

22. ἡ λύσις Maius. ἡ λίας E.Q. ἡλιας τῆς H.: ut ἡ λύσις τῆς . . . scribendum videri possit, si ἡ λύσις recte scripserit Maius, de quo dubito.

23. ἐπιθέτῳ] χρῆται addit Buttm. Frustra: v. ad δ, 720.

26. Αἰσχύλος—Εἰδοθέαν] Æschylus non Εἰδοθέαν dixerat, sed Εἰδώ, de quo dixi ad Fragm. 210.

27. εὐρυνόμη H. εὐρυνόμην E.Q. Conf. Eustath. p. 1500, 40. Mox verbo ὄρινα superscriptum in P. ὤϊα.

29. ἀλύοντι] ἁλιεύοντες E.Q. ἀελύοντι P. qui hoc scholion habet inde ab verba φθειρομένῳ.

368. ἰχθυάασκον] ἀλλαχόσε οὐ λέγει ὁ Ὅμηρος ἐσθίειν τοὺς Ἕλληνας ἰχθύας. νῦν δέ φησι τούτους ἀγρεύειν ἰχθύας διὰ τὸ τείρεσθαι ὑπὸ τοῦ λιμοῦ. B.

370. ἡ δ' ἐμεῦ ἄγχι στᾶσα] Ζηνόδοτος, ἡ δέ μοι ἀντομένη. E.H.

371. νήπιος εἶς, ὦ ξεῖνε] ἀντὶ τοῦ ἀμαθής, ἔτι τὰ παίδων φρονῶν. χαλίφρων δὲ χαυνωθεὶς καὶ διαρρυεὶς τῆς προτέρας φρονήσεως. ἑκὼν δὲ μεθίεις ἀντὶ τοῦ ἑκὼν πάσχεις καὶ τέρπῃ ὑπερβολικῶς. τρία δὲ ταῦτά εἰσι δι' ἃ ἄνθρωποι ἁμαρτάνομεν. E.Q.P. ὁ νοῦς, τοσοῦτον ἀνόητος εἶς, ὦ ξεῖνε, ὅτι δηθὰ ἐνὶ νήσῳ ἐρύκεαι. E.Q.

εἰς] ἐγκλιτικὸν τὸ εἰς. E.

χαλίφρων] χαυνόφρων, καὶ μὴ πεπυκνωμένος τὰς φρένας, ὅ ἐστι πρώην μὲν πυκνός, νῦν δὲ κεχαυνωμένος τὸν νοῦν, κεχαλασμένας καὶ παρῃωρημένας ἔχων τὰς φρένας. B.E.H.Q.

372. ἠὲ ἑκὼν μεθίεις] ἄμεινον κοιμίζειν τοῦ ἠέ τὴν ἐπὶ τέλους ὀξεῖαν, ἵνα γένηται διαζευκτικός. ὅτε γάρ ἐστι διαπορητικὸς ὁ ῆ, περισπᾶται, ὡς τὸ "ῆε χόλον παύσειεν ἐρητύσειέ τι θυμόν" (Il. α, 192.). E.Q.

373. θαυμαστικὸς ὁ λόγος, ἐὰν καθ' αὑτὸ τὸ ἡμιστίχιον προάγωμεν. E.

374. μινύθει δέ τοι ἦτορ ἑταίρων] γρ. μινύθει δέ τοι ἔνδοθεν ἦτορ. E.

376. ἐκ μέν τοι] ὁ μέν ἀντὶ τοῦ δή. ἐξερῶ δή σοι ἥτις ἐσσὶ θεάων. καὶ περιττὴ ἡ πρόθεσις. E.M.Q.

378. ἀθανάτους ἀλιτέσθαι] λείπει ἡ εἰς, ἀλλὰ ἔοικα ἡμαρτηκέναι εἰς τοὺς θεούς. B.E.Q.

379. εἰπὲ] Ζηνόδοτος ἔειπε κακῶς· τὴν διαφορὰν γὰρ ἠγνόησεν. H.

4. ἀντομένη om. E. Neque codicis H. scriptura integra est. Nam si Zenodotus scripsit ἡ δέ μοι ἀντομένη, non potuit reliquam versus partem ἔπος φάτο φώνησέν τε servare, sed aliter scribere debuit, velut ἔπεα πτερόεντα προσηύδα, vel ἔπεα πτερόεντ' ἀγόρευεν, quod recte observavit Duentzer. p. 133.

13. κεχαυνωμένος H. χαυνώμενος ceteri.

15. κοιμίζειν correxi pro κομίζειν. Hoc dicit, scribendum esse, non ῆε, sed ἠὲ acuto consopito. BUTTM. De grammaticorum veterum præcepto ἢ (vel ἠέ)—ῆ (vel ῆε) scribendum esse v. Lehrs. Quæst. Epic. p. 53.

19. προάγωμεν Friedlaender. de Nican. p. 36. προσάγωμεν E.

21. γρ.] γράφε E.

δέ τοι ἔνδοθεν] δ' ἔνδοθεν E. Conf. v. 467.

23. πρόθεσις M. ὑπέρθεσις E.Q.

26. εἰπὲ] εἶπε H. in textu, et in scholio Ζηνόδοτος εἰπέ, quod Ζηνόδοτος

384. πωλεῖται] ἀντὶ τοῦ ἀναστρέφεται· κατὰ Ἀττικοὺς, ἐπιφοιτᾷ. ἐξέτεινε δὲ τὸ ο μικρὸν διὰ τὸ μέτρον. B.E. καὶ ἐν Ἰλιάδι (δ, 231.) ἐπὶ τῆς αὐτῆς σημασίας τῇ λέξει χρῆται "πεζὸς ἐὼν ἐπιπωλεῖται." καὶ τὸ "δεῦρο" δὲ εἰς τοῦτον τὸν τόπον. E.Q.

γέρων ἅλιος νημερτής] ἠλληγόρηται παρὰ τῷ Ἡρακλείτῳ οὕτως· ὁ Πρωτεὺς ἄνθρωπος ἦν οἰκῶν κατὰ θάλασσαν, εἴτε πλησίον αὐτῆς εἴτε ἐν νήσῳ, χρώμενος μαντικῇ ἀπὸ τῶν ἐναλίων ζῴων, ὡς ἄλλοι ἀπὸ τῶν ὀνείρων καὶ ἄλλοι ἀπὸ τῶν ἱερείων. Εἰδοθέη δὲ γυνὴ καὶ αὐτὴ θνητὴ ὡς ἐκεῖνος, θυγάτηρ αὐτοῦ. καί τινές φασιν ὡς τεθνήκει πρὸ τοῦ τὸν Μενέλαον ἐκεῖσε ἰέναι. ἀλλ' ὅμως εἰ καὶ αὐτὸς σωματικῶς οὐ παρῆν, ἀλλ' ἦσαν αὐτῷ βίβλοι καὶ ἑρμηνεῖαι περὶ μαντείας, αἷς ἐχρήσατο ὡς ἐκείνῳ Μενέλαος, ἀναγκασθεὶς ὑπὸ τῶν ἀπουσιῶν τῶν ἀνέμων καὶ παντελοῦς ἀπνοίας. τινὲς δὲ καὶ ἀλληγορικῶς Πρωτέα τὴν ὕλην. ἄνευ γὰρ ὕλης φασὶ τὸν δημιουργὸν πάντα τὰ ὁρώμενα * * * * ὕλης δὲ τῆς μὴ φαινομένης ἡμῖν, ἐξ ἧς ἄνθρωποι, δένδρα, ὕδατα καὶ πάντα τἄλλα. Εἰδοθέη γὰρ τὸ εἶδος. ὕλη γὰρ ἀποτελεῖ εἶδος κατεργασθεῖσα. ἄλλοι δὲ Πρωτέα φασὶν ἀλληγορικῶς τὸν πρὸ τοῦ ἔαρος καιρὸν, μεθ' ὃν ἄρχεται ἡ γῆ εἴδη ποιεῖν βοτανῶν καὶ γενῶν. ὁ δὲ Μενέλαος μὴ ὄντος καιροῦ ἐπιτηδείου πρὸς τὸ πλεῖν φθάσαντος τοῦ ἔαρος ἀπέπλευσε. τὸ δὲ Πρωτέως ὄνομα εἰς τὴν ἀλληγορίαν ἐπιτήδειον. E.M.

386. ὑποδμώς] ὁ ὑποτεταγμένος θεράπων τοῦ Ποσειδῶνος. ἔμφασιν γὰρ ἔχει ἡ ὑπό. E.Q. θεράπων ὁ ὑπείκων τῷ οἰκείῳ δεσπότῃ καὶ δαμαζόμενος. παρέλκει ἡ ὑπό, διαφυλάττει δὲ τὴν ὀξεῖαν. E.Q.

387. Ἐρώτησις. ἐκ ποίας διανοίας ἡ Εἰδοθέα ὁρμωμένη φησὶ πρὸς

ἔειπε scribendum fuisse patet ex v. 468. ubi in H. pariter, etsi omisso Zenodoti nomine, annotatum γρ. ἔειπε. Eustath. p. 1499, 50. τὸ "ἀλλὰ σύ πέρ μοι εἰπέ" ἔειπε γράφεσθαι Ἡρακλείδης φησὶν, ὡς καὶ προγέγραπται ἐν τῇ Α ῥαψῳδίᾳ. Idem p. 1410. extr. ubi de formis ἔργων et ἐέργων dixit, addit καὶ τὸ "ἀλλὰ σύ πέρ μοι ἔειπε" ἀντὶ τοῦ εἰπέ· ὃ καὶ σημείωσαι ὡς καινόν. τὰ πλείω γὰρ τῶν Ὁμηρικῶν ἀντιγράφων "ἀλλὰ σύ πέρ μοι εἰπέ" γράφουσιν.

P. 208, 26. τὴν διαφορὰν] Imperativi, cujus una forma est εἰπέ, et indicativi, cujus duplex, εἶπε et ἔειπε.

P. 209, 5. ἠλληγόρηται ι— οὕτως addidi ex M.

Ἡρακλείτῳ] ἡρακλητῷ M.

7. μαντικῇ Buttm. pro μάντῃ, quod in μαντείᾳ mutabat Maius.

8. Εἰδοθέη] Sic, non Εἰδοθέα, hic scholiasta etiam infra ad v. 437.

γυνὴ pro ἡ γυνή Buttm.

11. αὐτῷ] αὐτοῦ Maius.

μαντείας] Fort. μαγείας. Vid. ad 403. BUTTM.

13. Πρωτέα] πρῶτα E. hic et infra.

14. τὴν ὕλην] Vid. infra p. 214, 20.

ὁρώμενα] πεποιηκέναι addit Maius: immo οὐ πεποιηκέναι, ni fallor. BUTT. Indicavi lacunam.

Μενέλαον τάδε "πωλεῖταί τις δεῦρο γέρων, τὸν δέ τ' ἐμόν φασιν πατέρ' ἔμμεναι;" τὸ γὰρ "φασίν" ἀμφιβαλλούσης ἐστὶ καὶ διανουμένης περὶ τοῦ πατρός. Ἀπόκρισις. τὰ μὲν περὶ τῶν μητέρων ἐκ γενέσεως ἱκανά φησιν Ὅμηρος ἔχειν τεκμήρια, τὸ δὲ τῶν πατέρων ἀδιόριστον εἶναι. ἔφη γάρ που (Od. α, 215.) "μήτηρ μέν τέ με φησι τοῦ ἔμμεναι." ὅθεν καὶ Εὐριπίδης "ἀεὶ δὲ μήτηρ φιλότεκνος μᾶλλον πατρός· ἡ μὲν γὰρ αὐτῆς οἶδεν ὄνθ', ὁ δ' οἴεται." M.

388. τὸν δ' εἴπως σὺ] ἐπίτηδες αὐτὸν προδίδωσιν, ὅπως γνωστὸς παρὰ τοῖς ἀνθρώποις γένηται. E.Q.

λελαβέσθαι] ἀναδιπλασιασμὸς, ὡς τετυπέσθαι. E. γρ. δὲ λαβέσθαι. B.Q.

396. ἀλέηται] ἐκφύγῃ. ἀπὸ τοῦ ἀλέω τὸ ἐκφεύγω, καὶ πλεονασμῷ τοῦ υ ἀλεύω, ὡς τὸ χέω χεύω καὶ δέω δεύω. E.

399. τοιγὰρ ἐγὼν ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι] ἢ οὕτως, τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως ἀγορεύσω. M.P.

400. ἀμφιβεβήκει] δίχα Ἀρίσταρχος, ἀμφιβεβήκει. H. τὴν γῆν. πρὸς ταῦτα νοητέον τὸ ἀμφιβεβήκει. τινὲς γάρ φασι τὸν ἥλιον πολλῷ μείζονα τοῦ κόσμου. πῶς οὖν τὸ ἀμφιβαῖνον μεῖζόν ἐστι τοῦ ἀμφιβαινομένου; E.

402. φρικὶ] τῇ ἐπιγενομένῃ μελανίᾳ πόντῳ ἐκ τῆς ἐπιπολαίου κινήσεως τῶν ὑδάτων. V. φρίκην λέγουσι τὴν ἐπιγενομένην μελανίαν τῷ ὕδατι ἐν τῇ ἐπιπολαίῳ κινήσει τοῦ ὕδατος κατὰ τὰς ἀρχὰς τῶν ἀνέμων τοῦ πνεῖν. E.H. εἰς τὸ λανθάνειν συντελεῖ καὶ τὸ μελαίνῃ φρικὶ καλυφθείς. φρῖκα δὲ λέγει τὴν ἐπιγενομένην κ. τ. λ. P.

403. ἀμφὶ δέ μιν φῶκαι] συνδιαιτᾶται γὰρ φώκαις ὁ Πρωτεὺς, διότι ἐπιτηδειότατον εἰς μαντείαν τῶν ἄλλων ἐναλίων τοῦτο τὸ ζῷον. E.

3. ἐκ] τε M.
5. εἶναι Cobetus. οὖν M.
6. ἀεὶ] αἰεὶ M.
7. αὐτῆς οἶδεν ὄνθ'] οἶδεν αὐτῆς ὄντα M. Correxi ex schol. ad α, 215.
10. Addidi γρ.
12. ἀλέω Buttm. pro ἀλέγω.
14. ἢ οὕτως M. γρ. P.
15. ἀγορεύσω abscissum in P. Scriptura sumta ex α, 179.
16. Scholion non integrum. Duplex in eo memorata fuit scriptura, altera ἀμφιβεβήκει, altera haud dubie ἀμφιβεβήκειν, ut colligi potest ex scholio Il. θ, 68. ubi idem versus legitur eademque scripturæ diversitas memoratur, quanquam non addito nomine Aristarchi, quem tamen aliunde colligi potest formas plusquamperfecti in ειν terminatas probasse.
18. οὖν] γοῦν E.
20. πόντῳ pro ἐν τῷ Lehrs. Arist. p. 99.
22. ἐπιπολαίῳ] ἐπιπολέῳ H.
25. In V. est περὶ αὐτὸν δὲ φώκαις (corr. φῶκαι, αἷς) συνδιαιτᾶται ὁ Π. ἐπιτηδειότατον γὰρ τῶν ἐναλίων ζῴων τοῦτο εἰς μαγείαν.

404. νέποδες] αἱ διὰ τοῦ νήχεσθαι τὴν πορείαν ποιούμεναι· ἢ ἄποδες. V. αἱ ἐστερημέναι τῶν ποδῶν, εἰ πρὸς τὰ μεγέθη τῶν σωμάτων αὐτῶν συγκρίνῃ τις. τὸ νέποδες ἀντὶ τοῦ σχεδὸν ἄποδες. σφόδρα οὖσαι μεγάλαι σμικροτάτους ἔχουσι πόδας. πρὸς ἀντιδιαστολὴν νῦν τῶν ἰχθύων ἀπόδων ὄντων τὸ νέποδες, ὡς τοῖς ποσὶ νηχόμεναι. E. 5 βοσκήματα τῆς θαλάσσης. ὡς καὶ ἀλλαχοῦ "ἢ ἔτι μοι καὶ κῆτος ἐπισσεύῃ μέγα δαίμων, οἷά τε πολλὰ τρέφει κλυτὸς Ἀμφιτρίτη" (Od. ε, 421.). ἐπιτήδειον δὲ εἰς μαγείαν φώκη. P.Q. Καὶ ἄλλως. νέποδες ἢ ἄποδες, τοῖς ποσὶ νηχόμεναι. P.

καλῆς] ἤτοι τῆς εὐμόρφου, τῆς χρησίμου, ἀπὸ τοῦ ἐμπορεύεσθαι 10 δι' ἐκείνης καὶ ἔχειν τροφὰς τοὺς ἀνθρώπους. ἀλλὰ τὸ μὲν εὐμόρφου, εἰ Νηρηΐδα εἶπες τὴν Ἁλοσύδνην, τὴν Ἀμφιτρίτην καλουμένην· εἰ δὲ ἐπὶ θαλάσσης, τὸ καλῆς ἤτοι χρησίμου. E.

Ἁλοσύδνης] τῆς θαλάσσης, παρὰ τὸ ἐν ἁλὶ σεύεσθαι. V. ἐπιθετικῶς τῆς Ἀμφιτρίτης, παρὰ τὸ ἐν ἁλὶ σεύεσθαι. E.H.P. 15

406. ὀδμήν] ἡ λέξις μέση, καὶ σημαίνει ποτὲ μὲν εὐωδίαν, ποτὲ δὲ δυσωδίαν. B.

410. ὀλοφώϊα] ἢ σκοτεινὰ καὶ ἀπόκρυφα, ἀπὸ τοῦ ἑλεῖν τὸ φῶς· ἢ ὀλέθρια, ἀπὸ τοῦ ὀλοὸν τὸ ὀλέθριον καὶ τοῦ φαίνω. B.

ὀλοφώϊα λέγονται τὰ ποιοῦντα πάτον καὶ ὄλεθρον, ἀπὸ τοῦ ὄλω τὸ 20 φθείρω καὶ τοῦ φῶ τὸ λέγω. E. ὀλοὰ ποιήματα, ἢ ἀπόκρυφα, ὀλέθρια, ἢ δόλια. P.

411. ἀριθμήσει καὶ ἔπεισιν] πρωθύστερον. καταλάβῃ, ἐπέλθῃ. μέλλοντα νοητέον, παραχρᾶται γὰρ ταῖς λέξεσι. E.

412. πεμπάσσεται] κατὰ πεντάδας μετρήσῃ, ἀριθμήσῃ. πεμπά- 25 ζειν γὰρ λέγεται τὸ κατὰ πεντάδας μετρεῖν. παρὰ δὲ τοῖς Δωριεῦσι πέμπε τὰ πέντε κατονομάζονται. E. κατὰ πέντε ἀριθμήσει. τὰ γὰρ πέντε πέμπε λέγουσιν Αἰολεῖς. P.Q.

413. λέξεται] ἀντὶ τοῦ κοιμηθήσεται, ἀπὸ τοῦ λέχους. B.Q.

415. καὶ τότ' ἔπειτ' ὕμμιν] διὰ τούτων δείκνυσιν ὁ ποιητὴς ὅτι οὐ 30 δεῖ ποτε προχείρως χαρίζεσθαι καὶ ὠφελεῖν, ἀλλὰ δοκιμάσαντα. Q.

4. σφόδρα] Malim σφόδρα γάρ.

6. ἢ ἔτι—ἐπισσεύῃ] ἠέτι—ἐπισσεύει P.

8. μαγείαν] μάγον Q.

14. τὸ ἐν ἁλὶ σεύεσθαι] τὸ ἐν ἁλὶ σύεσθαι Eustathius p. 1502, 33. ἐπιθετικῶς om. E. θαλάσσης ἐπιθετικῶς P.

15. τῆς Ἀμφιτρίτης] ἀμφιτρίτη P. παρὰ τὸ] ἀπὸ τοῦ E.

30. 31. Hoc scholion una cum lemmate suo apud Maium inter scholia ad v. 456. legitur.

415. ἔργον τε ἔπος τε] γρ. κάρτος τε βίη τε. P. Vind.

416. αὖθι δ' ἔχειν] ἀντὶ τοῦ ἔχετε. P.Q. βραχὺ διασταλτέον ἐπὶ τὸ ἔχειν, πρὸς τὸ σαφέστερον. H.Q.

417. γιγνόμενος πειρήσεται] ἀντὶ τοῦ πειρώμενος γενήσεται. Q.

418. ἑρπετὰ] κυρίως μὲν οἱ ὄφεις, καταχρηστικῶς δὲ νῦν πάντα τὰ θηρία. V. νῦν καταχρηστικῶς τὰ ζῷα ἑρπετὰ λέγει. B.P.

θεσπιδαὲς] θεῖον, ἐκ θεοῦ πῖπτον, θείως καῖον, ἐκ τοῦ δαίω τὸ καίω. Q.

419. ὑμεῖς δ' ἀστεμφέως ἐχέμεν] πάλιν ἀντὶ τοῦ ἔχετε. καὶ πιέζειν δὲ ὡς δικάζειν. φησὶ γοῦν "ἐπὶ μάστακα χειρὶ πίεζε" (287.). Ἀπίων μέντοι περισπᾷ· "χερσὶ στιβαρῇσι πιέζευν" (Od. μ, 174.). Q.

420. αὐτός] Ἀρίσταρχος, αὐτός. H.

421. ἴδησθε] γρ. ἴδηαι. M. rec.

423. εἴρεσθαι, ὡς φθείρεσθαι. ἔστι γὰρ ἐνεστῶτος καὶ παρατατικοῦ. P.

427. πόρφυρε κιόντι] ἐν βάθει τῆς διανοίας διενοεῖτο, ἐκινεῖτο, ἐταράσσετο, ὅπερ συμβαίνει ἐπὶ τῶν ὑδάτων ἃ ἐκ βάθους κινούμενα μελαίνεται. B.E.P.Q.V.

428. αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα] ὑποστικτέον εἰς τὸ θάλασσαν, καὶ ὁπλισάμεσθα, καὶ ἀμβροσίη νύξ. Q.

429. δόρπον] ἄριστον. τοῦ Ἀριστάρχου σημειοῦνται τινὲς ὅτι δόρπον τὸ δεῖπνον. H.

434. πεποίθεα] Ἰωνικόν. E. ἰθύν] ὁρμὴν, πρᾶξιν, ἐκ τοῦ ἰθύω τὸ πορεύομαι. B.E.Q.

436. φωκάων] τὰ δέρματα φώκας καλεῖ, ὡς βόας τὰς βύρσας. B.E.P.Q.

437. νεόδαρτα] τὰ γὰρ ξηρὰ οὐ συναρμόζονται τοῖς σώμασιν. E. πιθανῶς, ὑπὲρ τοῦ φαντασίαν ζώντων παρέχειν. P.Q.

δόλον δ' ἐπεμήδετο] τὸν δόλον ἐνταῦθα αἴτιον τιμῆς μεγίστης μάλιστα νοητέον τῷ Πρωτεῖ παρὰ τῆς θυγατρὸς Εἰδοθέης. E.

3. ἐπὶ] μετὰ H.
πρὸς τὸ σ. om. Q.
6. λέγει] φησὶ P.
7. πῖπτον] Fort. ἄπτον. BUTTM.
13. Ἀρίσταρχος αὐτός] Nimirum ob v. l. αὖτις, quæ est in Vindd. et P. BUTTM.
18. ὅπερ—μελαίνεται] ὥσπερ—τὰ ἐκ—μελαίνεσθαι P.V.
26. In P. hoc scholion adscriptum versui 450. Aliquanto minus inepte quam ad utrumque locum referretur hoc schol. ad 442. BUTTM.

438. διαγλάψασα] διαγλύψασα, διακοιλάνασα, ἐκ τοῦ γλάφω. καὶ πῶς οὐκ εἶπε γράψασα; ἀλλὰ τὸ ρ ἐπὶ τραχυτήτων λαμβάνεται, οἷον τὸ μετὰ χαλκοῦ κονδύλου τοῖς πίναξι τῶν ζωγράφων ἐγξέειν καὶ γράφειν. ἔστι δὲ καὶ τὸ διὰ μέλανος γράφειν. ἡμεῖς γὰρ προστιθέαμεν τῷ μέλανι γράφοντες, ἐκεῖνοι δὲ μᾶλλον ἀφαιροῦσιν ἀπὸ τοῦ 5 ἐν πίνακι κειμένου εἴτε κηροῦ εἴτε ὀστράκου. τὸ γλάπτειν δὲ ἐπὶ τραφερῶν, οἷον ἐπὶ ψάμμου. B.E. διακοιλάνασα. πιθανῶς, ὑπὲρ τοῦ φαντασίαν ζώντων παρέχειν. Q.

441. κεῖθι δὴ αἰνότατος] αἱ πλείους "ἔνθα κεν αἰνότατος," ὡς τὸ "ἔνθα κε λοιγὸς ἔην" (Il. θ, 130.). ἀντὶ τοῦ δυσχερέστατος. H.P.Q. 10

442. ὀλοώτατος ὀδμή] ὅμοιον τῷ "κλυτὸς Ἀμφιτρίτη" (Od. ε, 422.) καὶ "θερμὸς ἀϋτμή" καὶ "κλυτὸς Ἱπποδάμεια" (Il. β, 742.). P.

445. ἀμβροσίην] νῦν τὸ θεῖον καὶ εὐῶδες ἔλαιον. V. ἀλληγορικῶς ἀμβροσίην τὴν εὐελπιστίαν τοῦ ἀποτελέσματος. ὑπέμεινε γὰρ 15 τὴν δυσωδίαν διὰ τὸ μέλλειν κατορθῶσαι τὸ ἑαυτοῦ συμφέρον. E.

447. ἠοίην] τὸν ἑωθινὸν καιρὸν τὸν ἀπὸ πρώτης ὥρας ἕως ἕκτης λέγει ἠοίην. B.E.H.P.Q. τὴν ἄχρι μεσημβρίας ὥραν. ἐπιφέρει γοῦν "ἔνδιος δ' ὁ γέρων ἦλθεν." P.

450. ἔνδιος] μεσημβρινός. τότε γὰρ ἄρχεται λοιπὸν ἐνδεῖν ἡ ἕλη, 20 ὅ ἐστιν ἡ ἀκτὶς ἡλίου. V. μεσημβρινὸς, ἤτοι κατὰ τὴν μεσημβρίαν, ἐν ᾗ ἐνιδίουσιν ἤτοι ἱδροῦσιν, ἐνίδιός τις ὢν, καὶ ἐν συγκοπῇ ἔνδιος, ἤτοι βεβρεγμένος. B. κατὰ τὴν συνήθη ὥραν. μεσημβρινὸς, ἀπὸ τοῦ ἐνδεῖν καὶ ἐλλείπειν. αὔξεται γὰρ ἕως ἕκτης ὥρας, ἕκτοτε δὲ ἐλαττοῦται ἡ ἡμέρα. E. κατὰ τὴν συνήθη ὥραν. ἔστιν οὖν καὶ 25 τοῦτο παίδευμα τοῦ Ὁμήρου, τὸν σοφὸν τεταγμένῃ τῇ διαίτῃ χρῆσθαι καὶ μὴ ἄλλοτε ἄλλῃ. Q.

451. λέκτο δ' ἀριθμόν] ἐμέτρει τὸν ἀριθμὸν, κατηρίθμει. P.

1. γλάφω Buttm. γλύφω E. γλάπτω B.

4. προστιθέαμεν (sc. τι) J. G. Schneider. ap. Buttm. προτιθέαμεν B.E.

7. τραφερῶν correxi pro τρυφερῶν.

9. κεν αἰνότατος] κ' αἰνότατος Q. Sed H. καινότατος. Porsonus: "Per diphthongum αι duxerat ε, volens procul dubio refingere ἔνθα κεν αἰνότατος." Et revera in P. κενότατος. Sed in altero margine ad vocem κεῖθι scriptum hoc tantum: γρ. ἔνθα. BUTTM.

12. θερμὸς ἀϋτμή] Ex Hymn. Merc. 110. Hesiod. Theog. 696. Cf. Od. μ, 369. ἡδὺς ἀϋτμή. BUTTM.

18. λέγει ἠοίην om. H.

26. τεταγμένῃ] ἀντιτεταγμένῃ Q. ἂν τεταγμένῃ Buttm.

λέκτο δ' ἀριθμόν, λέγε κήτεσι (452.), λέκτο καὶ αὐτός (453.)] ὅτι τῇ αὐτῇ λέξει παραλλήλως οὐκ ἐπὶ τοῦ αὐτοῦ σημαινομένου κέχρηται. P.Q.

456. ἀλλ' ἤτοι πρώτιστα] οὐκ ἀληθῶς μετέβαλεν, ἀλλὰ φαντασίαν ἐποίει τέχνῃ μαγικῇ. ἐλήφθη δὲ ἐν δόλῳ οὐ προμαντευόμενος, οὐδὲ προεφεστηκὼς ἐπὶ τὰς μεθόδους τῆς μαντείας. V. λέων γένετ'] οὐκ ἀληθῶς, ἀλλὰ κατὰ φαντασίαν. P.Q.

μάντις ὢν καὶ φρόνιμος ὁ Πρωτεὺς μερίζεται καὶ τρέπεται εἰς πολλὰ, εἰς λέοντα, καὶ εἰς τὰ τοιαῦτα διὰ δριμύτητος, καὶ δι' ἄλλων ποικίλων τρόπων, θέλων ἰδεῖν εἰ ἔστιν ἄξιος τοῦ εὐεργετηθῆναι. ὁ δὲ ἔμεινεν ἀστεμφέως ἔχων ὁ Μενέλαος ἤτοι μειδιάσας. ἀλλ' ἀνθρωπικῶς νοητέον. ὁ γὰρ θεὸς οἶδε καὶ οὐκ ἀγνοεῖ. E.

λέων γένετο] ὄπισθεν ἑρπετὰ εἶπε μόνον, καὶ νῦν λέοντα καὶ πάρδαλιν καὶ σῦν. καὶ μὴν αὐτὰ ἑρπετὰ οὐκ εἰσὶν, ἀλλ' εἰπὼν "ὅσσ' ἐπὶ γαῖαν" (417.) δηλοῖ ἀπὸ μέρους τὸ πᾶν. ἐν γὰρ τῇ γῇ καὶ ἑρπετὰ, οἷον δράκοντες καὶ ἄλλα ὅσα ἂν εἴπῃς. τὸ γὰρ "ὅσσ' ἐπὶ γαῖαν" πάντα δηλοῖ καὶ ἑρπετὰ καὶ ἀλλοῖα. μάγος γὰρ ὢν καὶ ποικίλος ἐκ μαγειῶν ἐδοκίμαζεν αὐτὸν εἰ ἄξιός ἐστιν ἐλεηθῆναι. καὶ γὰρ οὐκ ἀληθῶς μετέβαλεν, ἀλλὰ φαντασίαν ἐποίει μαγικῇ τέχνῃ. E.

Ἄλλως. ἀλληγορικῶς. ἡ ὕλη ἐγένετο πρὸ τῶν ἄλλων, καὶ ἐξ αὐτῆς ἔπειτα ἐγένετο ζῷα καὶ τὰ λοιπά. ἡ Εἰδοθέη δὲ εἰδωλοπλαστήσασα πάντα, πρόνοια. διὰ μὲν γὰρ λέοντος ἐμπύρου ζῴου τὸν αἰθέρα δηλοῖ, διὰ δὲ τοῦ δράκοντος καὶ τῶν λοιπῶν ὡς αὐτοχθόνων τὴν γῆν· τὸ δὲ ὕδωρ προῦπτον· διὰ δὲ τοῦ δένδρου τὸν ἀέρα διὰ τὴν ἀπὸ γῆς τοῦ δένδρου μεταρσίαν ὁρμήν. E.

460. ὀλοφώϊα] ὀλέθρια καὶ πανοῦργα βουλεύματα. H.

461. ἀμειβόμενος] γρ. ἀνειρόμενος. P. ἀνειρόμενος, ἡ γραφή. H

462. συμφράσσατο] γρ. ἐφράσσατο. H. βουλὰς] γρ. βουλήν. P.

ἐν ἤθει λέγεται ὥσπερ ἐξελέγχοντος τὴν θυγατέρα. διὸ καὶ ὁ Μενέλαος, "οἶσθα, γέρον." P.Q.

465. τὸ ἑξῆς, οἶσθα ὡς δὴ δηθὰ ἐν νήσῳ ἐρύκομαι, τὰ δὲ ἄλλα διὰ μέσου. P.Q.T.

2. παραλλήλως] Cf. schol. Il. ν, 276.
6. προεφεστηκὼς] προεφθακὼς cod. Barnes.
μαντείας] μαγείας Buttm.
20. ἀλληγορικῶς] Excerpta hæc ex Heracliti Alleg. Hom. c. 66. BUTT.
ἡ ὕλη—] Conf. schol. ad 384.
30. γέρον] γέρων P.
31. διὰ] ὡς διὰ Q.
32. μέσου T. μέσου διορθωτέον P.Q.

ἐρεείνεις] γρ. ἀγορεύεις. H. Ἀρίσταρχος, ἐρεείνεις, γράφει, οὐκ ἀγορεύεις. P.

468. γρ. ἔειπε, θεοὶ δότε. H.

472. ἀλλὰ μάλ' ὤφελλες] Ὁμηρικὸν τὸ ἀπὸ συνδέσμου ἄρχεσθαι. P.Q.

473. βραχὺ διασταλτέον πρὸς τὸ καλά διὰ τὸ σαφέστερον. P.

474. πόντον] ἰστέον ὅτι δύο σημαίνει, τὸν ποταμὸν τὸ ῥεῖθρον, καὶ τὸν ἐπιστατοῦντα δαίμονα, ὡς εἶπον οἱ θεολόγοι. E.

476. οἶκον ἐς ὑψόροφον] γρ. εὐκτίμενον. P.

477. Αἰγύπτοιο] ὁ γὰρ Νεῖλος πρότερον Αἴγυπτος ἐκαλεῖτο. E.V. ὅτι τὸν Νεῖλον Αἴγυπτον ὀνομάζει. ὁ δὲ Ἡσίοδος ὡς ὢν νεώτερος Νεῖλον αὐτὸν οἶδεν ἤδη καλούμενον. H.M.P.Q.T.

διιπετέος] τοῦ ἐξ ἀέρος ἀρδευομένου ἢ πίπτοντος. E. τοῦ ὑπὸ Διὸς πληρουμένου. οἱ δὲ, διαπεπετασμένου καὶ μεγάλου. οἱ δὲ, διαφανοῦς. B. πολλῶν λεγομένων περὶ τῆς τοῦ Νείλου ἀναβάσεως πρῶτος Ὅμηρος τὴν ἀληθεστάτην αἰτίαν εἶπε διιπετῆ προσαγορεύσας αὐτὸν, διότι πληροῦται ἐκ τῶν ἐν Αἰθιοπίᾳ γινομένων ἀδιαλείπτων τοῦ θέρους καὶ σφοδρῶν ὑετῶν, ὡς καὶ Ἀριστοτέλης καὶ Εὔδοξος, πεπύσθαι ταῦτα φάσκοντες ἀπὸ τῶν ἐν Αἰγύπτῳ ἱερέων. ὁ δὲ Ἡσίοδος ὡς μεταγενέστερος Νεῖλον καλεῖ. E.H.P.Q.T.

Αἰγύπτοιο διιπετέος] θαυμάσαι τις ἂν πῶς τὸν ποταμὸν τοῦτον διιπετῆ εἴρηκεν. διὰ τὸ ἀφανεῖς ἔχειν τὰς πηγὰς καὶ κατὰ τοὺς Αἰγυπτίους οὐρανόθεν ῥεῖν. πρῶτον μὲν καὶ τὸν Σπερχειὸν διιπετῆ λέγει, "υἱὸς Σπερχειοῖο διιπετέος ποταμοῖο" (Il. π, 174.). καὶ τὸν πρὸς τῇ Φαιάκων γῇ "ἐγὼ δ' ἀπάνευθε διιπετέος ποταμοῖο" (Od. η, 284.). καὶ ἁπλῶς δὲ πάντας διιπετεῖς ἐν παραβολῇ λέγει, "ὡς δ' ὅτ' ἐπὶ προχοῇσι διιπετέος ποταμοῖο βέβρυχεν μέγα κῦμα" (Il. ρ, 263.) διι-

1. ἐρεείνεις] Sic H.M. in textu.
3. ἔειπε] Vid. ad schol. v. 379.
δότε] Librarii error pro δέ τε.
4. Ὁμηρικὸν] ἑλληνικὸν Q.
11. ὅτι τὸν N.] τὸν δὲ ν. T. qui hoc scholion habet post p. 216, 21.
ὡς ὢν M. ὡς ἂν H. ὡσὰν P.Q. ὡς T.
οἶδεν ἤδη H.P. οἶδε Q.T., omisso ἤδη.
17. ἐκ P.T. et Eustath. p. 1505, 60. ἀπὸ E.Q.
18. τοῦ θέρους et ὡς—καλεῖ om. T.
19. φάσκοντες] φάσκων H.
20. ἱερέων Eustath. ἱερῶν E.P.Q.
ὁ δὲ Ἡσίοδος—Νεῖλον καλεῖ om. E.
22. θαυμάσαι scripsi pro θαυμάσῃ.
23. εἴρηκεν] εἰρῆσθαι H.
διὰ τὸ—οὐρανόθεν ῥεῖν om. H.
24. ῥεῖν] Adde τοῦτο δὲ ψεῦδος ex p. 216, 12.
πρῶτον—μέγα κῦμα om. E.
25. καὶ—ἀπ. δ. π. addidi ex H.

πετεῖς οὖν τοὺς ποταμοὺς λέγει τοὺς ἐκ Διὸς γεγενημένους. τῷ γὰρ πεσεῖν ἀντὶ τοῦ γενέσθαι χρῆται, ὥσπερ τῷ "ὅστις ἐπ' ἤματι τῷδε πέσῃ μετὰ ποσσὶ γυναικός" (Il. τ, 110.). ἀλλαχοῦ δὲ ἔφη ἀντὶ τοῦ διιπετοῦς, "Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς" (Il. ξ, 434.) τοῦτο δὲ ὅτι φύσει οἱ ποταμοὶ ἐκ Διὸς πληροῦνται, ὥς που ἔφη "καί σφιν Διὸς ὄμβρος ἀέξει" (Od. ι, 111.). οἵῳ λόγῳ καὶ τὰς νύμφας Διὸς θυγατέρας λέγει, "νύμφαι κρηναῖαι, κοῦραι Διός" (Od. ρ, 240.). ἔτι "νύμφαι ὀρεστιάδες, κοῦραι Διός," ἐπειδὴ καὶ τὰ ἐν τοῖς ὄρεσι φυτὰ τῷ τοῦ Διὸς ὕδατι τρέφεται. Ζηνόδοτος δὲ διιπετῆ τὸν διαυγῆ ἀποδίδωσι. διὰ τοῦτο καὶ γράφει διειπετέος διὰ τῆς ει διφθόγγου. E.H.Q. τινὲς διιπετῆ, ἐπεὶ καὶ Αἰγύπτιοί φασιν οὐρανόθεν ῥεῖν τὸν Αἴγυπτον. τοῦτο δὲ ψεῦδος. φησὶ γὰρ "υἱὸς Σπερχειοῖο διιπετέος ποταμοῖο." οὕτως οὖν αὐτοὺς καλεῖ ὡς διογενεῖς τινας ὄντας, τῷ πεσεῖν ἀντὶ τοῦ γεννηθῆναι χρώμενος, ὥσπερ τῷ "ὅστις ἐπ' ἤματι τῷδε πέσῃ παρὰ ποσσὶ γυναικός" (Il. τ, 110.). H.Q.T. διιπετῆ εἶπε διὰ τὸ ἀφανεῖς ἔχειν τὰς πηγάς. τοῦτο δὲ ψεῦδος. φησὶ γάρ, "υἱὸς Σπερχειοῦ διιπετέος ποταμοῖο." καὶ οὕτως καλεῖ πάντας διιπετεῖς ἐν παραβολῇ, "ὡς δ' ὅτ' ἐπὶ προχοῇσι διιπετέος ποταμοῖο." καλεῖ δὲ καὶ ὡς διογενεῖς τινας ὄντας, τῷ πεσεῖν ἀντὶ τοῦ γεννηθῆναι χρώμενος. P. τὸ δὲ ὅλον ἐπεὶ τῷ ὑετῷ πληροῦνται. καὶ νύμφαι κοῦραι Διός. H.P.T.

481. κατεκλάσθη φίλον ἦτορ] ἐλυπήθη. πάθος γὰρ ψυχῆς ἡ λύπη. B.P.Q.

484. ἀλλὰ καὶ ὥς μιν ἔπεσσιν] γρ. ἀλλὰ καὶ ὣς μύθοισιν. M.

485. τελέω] τελέσω, ἐνεστὼς ἀντὶ μέλλοντος. E.

486. κατάλεξον] γρ. ἀγόρευσον. H.P.

487. εἰ πάντες σὺν νηυσὶν] ταῦτα ἀφ' ἑτέρας ἀρχῆς ἀναγνωστέον, ἵν' ὁ πρότερος σύνδεσμος ἀντὶ τοῦ ἆρα διαπορητικοῦ κέηται. ἢ συναπτέον, ἵνα ὁ ἤ σύνδεσμος ἀντὶ συναπτικοῦ κέηται τοῦ εἰ. Q.

περὶ τῶν ἅμα Ἀγαμέμνονι ἀπομεινάντων, ὧν ἦν καὶ Ὀδυσσεὺς ἐξ ὑποστροφῆς. τὸ γὰρ περὶ πάντων πυνθάνεσθαι ἀφορμὴν ταυτολογίας

1. τοὺς π. λέγει] λέγει τοὺς π. H.
2. ὥσπερ τῷ addidi ex H. Cf. l. 14.
8. ἔτι—κοῦραι Διός addidi ex H.
9. Ζηνόδοτος] ζηνόδωρος E.
10. ἀποδίδωσι] ἐκδίδωσι H.
13. οὕτως οὖν H.T. οὕτως οὖν οὕτως Q. ὡς διογενεῖς scripsi pro διογενεῖς ὡς (ὡς om. T.) hoc loco et l. 19.
14. χρώμενος] χρωμένων H. Conf. l. 2. et 20. ὥσπερ τῷ] ὥσπερ τὸ H.Q., om. T.
28. δ. κέηται] δ. κέοιτο Q.
29. ἵνα ὁ ἤ] ἵνα ἦ ὁ Q. Correxit Friedlaender. de Nicanore p. 32. ἅμα addidi ex H.

παρεῖχε τῷ Πρωτεῖ ἄνωθεν τοῦ νόστου ἐπεξιόντι, ἅπερ φθάνει διηγησάμενος ὁ Νέστωρ. καὶ τὸ μὲν ὅλον διὰ τὸν ἀδελφὸν πυνθάνεται δεδιὼς ὅτι κατέλιπεν αὐτὸν ἐν Τροίᾳ, διὰ δὲ τὸ νεμεσητὸν κοινοποιεῖται τὸν λόγον. H.Q.

489. ὀλέθρῳ ἀδευκέϊ] ἀδοκεῖ, ἀπροσδοκήτῳ, ἀπὸ τοῦ δεύχω τὸ δέχομαι. ἢ πικρῷ, ἐκ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ γλεύκους. B.E.

490. τολύπευσεν] ἐμηχανήσατο. μετὰ κακοπαθείας ποιηθέν. τολυπεύειν ἐργάζεσθαι, τολύπη ἡ ἐργασία, τολυπευτὸν κατασκευαστὸν καὶ πεφιλοκαλημένον ἔριον. V. τολύπη, εἶδος βοτάνης. μεταφορικῶς δὲ καὶ τὴν ἐρίων τῶν ἤδη κατειργασμένων εἴλησιν τολύπην λέγομεν. τολύπευσε γοῦν ἤτοι κατειργάσατο, ὑπέμεινεν, ἢ ἐξέφυγεν. E.

494. ἐπεί κ' εὖ πάντα] γρ. ἐπὴν εὖ πάντα. H.

495. δάμεν] οὕτως αἱ Ἀριστάρχου. αἱ κοινότεραι θάνον. H.

496. ἀρχοὶ δ' αὖ δύο] τὸν Αἴαντα τὸν Λοκρὸν λέγει καὶ τὸν Ἀγαμέμνονα. καὶ γὰρ αὐτὸς οὐδέπω εἰς τὴν αὐτοῦ παρῆν οἰκίαν. H.V. Αἴας ὁ Λοκρὸς καὶ Ἀγαμέμνων. ἀμφοτέρους δὲ ἐν νόστῳ ἀπολέσθαι φησὶ, παρόσον καὶ Ἀγαμέμνων ἀγροῦ ἐπ' ἐσχατιῆς ἀπώλετο, οὐ φθάσας οἴκαδε ἀνελθεῖν καὶ τοὺς φίλους ἰδεῖν καὶ συγγενεῖς. διὸ καὶ ἐν νόστῳ ἀπώλετο, ἤτοι ἅμα τῷ νοστῆσαι. E.Q.T.

497. μάχῃ] τὸ "μάχῃ δέ τε καὶ σὺ παρῆσθα," τάχα ὁ Πρωτεύς φησι πρὸς τὸν Μενέλαον. ὁ δ' Ὅμηρος πρὸς τὸν ἀκροατὴν, ἐδιδάχθης, φησὶν, ἐν τῇ Ἰλιάδι τίνες ἀπώλοντο, καὶ διὰ τοῦτο οὐδὲ θέλει αὐτοὺς πάλιν ἀπαριθμεῖν. E.

παρῆσθα] γρ. παρῆας. ἦν ἔα ἦα παρῆα καὶ παρῆας. H.

498. εἷς δ' ἔτι—] Ζηνόδοτος τοῦτον περιγράφει. ἀναγκαῖον δὲ καὶ αὐτὸν εἶναι διὰ τὸ λέγειν ὕστερον (551.) Μενέλαον "σὺ δὲ τρίτον ἄνδρ' ὀνόμαζε." H.

499. Αἴας μὲν] ἡ διάθεσις τοῦ μύθου ὠφέλιμος τοῖς νέοις, ὅτι

1. τοῦ] Fort. τὰ τοῦ vel περὶ τοῦ.
5. ἀδοκεῖ, ἀπρ. habet etiam T.
13. ἐπὴν εὖ] εὖ om. H.
16. αὐτὸς] αὐτοὶ H. οὗτος Buttm.
18. ἀπολέσθαι Buttm. pro ἀπολέσαι.
φησὶ T. φασὶ E.Q.
ἀπώλετο om. E.Q.
19. ἀνελθεῖν :— T.
22. ὁ δὲ Ὅμηρος—ἀπαριθμεῖν] Similis observatio Eustathii p. 1507, 4.
26. περιγράφει correxi pro ὃς γράφει, quod est apud Cramerum : nisi quis οὐ γράφει malit cum Duentzero Zenod. p. 13.
27. εἶναι] Excidit verbum a quo pendet infinitivus, nisi ἀναγκαῖον pro ἀναγκαῖόν ἐστιν accipiendum.

ἐφ' ἑνὶ ἁμαρτήματι ἐσώθη ἂν ὁ Αἴας διὰ τὴν τῶν θεῶν φιλανθρωπίαν, εἰ μὴ καὶ ἄλλο προσέθηκεν. P.Q.

500. γυρῇσιν] πέτραις πλησίον Μυκόνου τῆς νήσου οὕτως καλουμέναις, ἐπεί εἰσι περιφερεῖς. V. στρογγύλαις πέτραις, ἐξ οὗ καὶ γυρὸς ὁ κυρτὸς, διὰ τὸ δοκεῖν κυκλοῦσθαι. B. γυραὶ πέτραι εἰσὶ περὶ τὴν Μύκονον πλησίον, Μύκονος δὲ καὶ Νάξος τῶν Κυκλάδων νήσων. H.P.Q. γυραὶ πέτραι εἰσὶν ἢ αἱ μεγάλαι πέτραι αἱ ἐξέχουσαι τῆς θαλάσσης, αἱ λεγόμεναι χοιράδες. T.

ἐπέλασσε] γρ. ἐδάμασσε. H.P.

504. λαῖτμα] τὸ κῦμα, παρὰ τὸ λίαν ἀΐσσειν. T.

505. τοῦ δὲ Ποσειδάων μεγάλ' ἔκλυεν αὐδήσαντος] οὐκ ἔστι, μεγάλα ἔκλυεν, ἀλλὰ, μεγάλα αὐδήσαντος, τουτέστιν ὑπερήφανα εἰπόντος, ὡς καὶ ἐν ἄλλοις ὑψαγόρην καλεῖ τὸν Τηλέμαχον "Τηλέμαχ' ὑψαγόρη μένος ἄσχετε" (β, 85.). καὶ παραινεῖ μὴ μεγαλίζεσθαι θυμῷ μηδὲ ἑαυτὸν ἐπαίρειν. E.H.Q.T. μεγαλορρημονήσαντος. τίς οὖν ὁ ὑπερήφανος λόγος; "φῆ ῥ' ἀέκητι θεῶν." Q.T.

506. ἑλὼν χερσὶ] ἀντὶ τοῦ εὐτρεπισθεὶς εἰς τὸ πλῆξαι. H.

507. ἀπὸ δ' ἔσχισε ναυτήν] Ἀττικῶς· πᾶν ἀπέσχισε τῆς πέτρας τὸ μέρος ᾧ ἐκάθητο ὁ Αἴας. H. ἀπ' αὐτῆς δέ τι ἔσχισεν, ὅ ἐστι μέρος αὐτῆς κατέβαλεν εἰς τὴν θάλασσαν. E.P.T.

508. μεῖνε] γρ. μίμνε. H.

τρύφος] ἀπόκομμα. γίνεται δὲ ἐκ τοῦ θρύπτω, ἢ ἐκ τοῦ ἔτρυφον δευτέρου ἀορίστου. E.

511. ὣς ὁ μὲν ἔνθ'] ἐν οὐδεμιᾷ ἐφέρετο. καὶ λίαν γάρ ἐστιν εὐτελής. θαυμάσαιμεν δ' ἂν πῶς παρέλαθε τὸν Ἀρίσταρχον ὀβελίσαι αὐτόν. H.P.

514. Μαλειάων] ἀλλαχοῦ δὲ ἑνικῶς "περιγνάμπτοντα Μάλειαν" (ι, 80.). P.

6. τὴν Μύκονον] τὴν μήκονον H.P. τὴν μήκωνα Q.

πλησίον Μύκονος δὲ καὶ Νάξος] Sic H.P., nisi quod μήκονος. πλησίον μήκωνος καὶ νάξου Q. πλησίον delendum.

7. ἢ delendum, nisi alia interpretatio excidit.

10. Addidi παρὰ τό.

11. In T. præcedit τὸ δὲ ποσειδάων —αὐδήσαντος οὐκ ἔστι μάλ' ἔκλυεν, ἀλλὰ μεγάλα αὐδήσαντος, μεγαλορημονήσαντος ἔκλυεν. τίς οὖν ὁ ὑπερήφαντος λόγος . . . . . ἀέκητι θεῶν φυγέειν μέγα λαῖτμα θαλάσσης. ἀπ' αὐτῆς δέ τι ἔσχισεν, ὅ ἐστι μέρος αὐτῆς κατέβαλεν εἰς θάλασσαν. τοῦ Πορφυρίου:—

13. εἰπόντος H. λέγοντος E.Q.

15. μηδὲ] μὴ H.

16. ὁ om. Q.

24. οὐδεμιᾷ] οὐδεμιᾷ ἐκδόσει Eustath. p. 1506, 40.

25. Verba ὀβελίσαι (δ' addit P.) αὐτόν huc retuli cum Eustathio. In H.P. adscripta versui 515.

516. βαρέα] γρ. μεγάλα. E.

517. Ἄνδρων τὴν Θυέστου οἴκησιν περὶ Κύθηρα ὑφίσταται. H.P.

519. καὶ κεῖθεν] ἐκ πλήρους ὁ καί. P.

521. πατρίδος αἴης] σημειοῦνταί τινες ὅτι ἐπὶ τῆς ὅλης χώρας νῦν τέθεικε τὴν πατρίδα, οὐκ ἐπὶ τῆς πόλεως. P.Q. 5

522. καὶ κύνει] προσεκύνει. B.V. ἁπτόμενος ἐφίλει. ἔθος εἶχον οἱ ἀποδημοῦντες τῆς πατρίδος, ὅταν ἐνδημήσωσι, κυνεῖν αὐτὴν καὶ κατασπάζεσθαι. E.

523. δάκρυα θερμὰ χέοντ'] ἤτοι περιχαρῆ, χαρᾶς ἐκλυόμενα τοῦ σώματος ἐπὶ τῆς ἡδονῆς. E. 10

527. παριὼν] τινὲς, παρεών. H.P. νῦν δὲ ἐγκλιτική ἐστιν ἡ ἑ. P.

μνήσαιτο δὲ θούριδος ἀλκῆς] μνησθείη ὁ Ἀγαμέμνων τοῦ φονεῦσαι τὸν Αἴγισθον. P.Q.

532. βῆ καλέων] ὑπαντήσων αὐτῷ ἐξῆλθεν εἰς τὸν αἰγιαλὸν, ὡς δὴ τιμήσων αὐτόν. B.E.P.Q.T. 15

534. στικτέον εἰς τὸ ἀνήγαγε. P.

535. δειπνίσσας] δεῖπνον ποιήσας ἐκείνῳ. δειπνῶ γὰρ δειπνήσω ἐγὼ, δειπνίζω δὲ ἕτερον. B. βραχὺ διασταλτέον εἰς τὸ δειπνήσας. P. ἀριστήσας κατέκτανεν ὡς βοῦν ἐπὶ φάτνῃ. P.T.

ἔοικεν ὡς τρυφητοῦ κατηγορεῖν τοῦ Ἀγαμέμνονος καὶ μεθύσου καὶ 20 διὰ τοῦτο ἀγνοοῦντος καὶ τὴν αὐτοῦ ἐπιβουλὴν ὡς μεμεθυσμένου. ἀλλ' οὐκ ἔστι τοῦτο. ἐθάρρει γὰρ καὶ τὸν δόλον οὐκ ἐνόησεν. εἰ δὲ καὶ βοῦν εἶπεν, ἀλλ' οὐ πρὸς ὕβριν αὐτοῦ εἶπεν, ἀλλὰ μᾶλλον τὴν ἀνδρείαν αὐτοῦ ἐδήλωσε. κατεκτάνθη γὰρ καθήμενος ἐπὶ τῆς τραπέζης καὶ ἐσθίων, ὡς ὅταν μὲν βοῦς στερρὸς καὶ δυνατὸς ᾖ, σφαγῇ 25 δὲ ὅμως ἐν φάτνῃ δεδεμένος καὶ ἀγνοῶν τὴν ἑαυτοῦ ἐπιβουλήν. E.

537. οὐδέ τις Αἰγίσθου] τοῦτο εἰς σύστασιν τοῦ ἥρως, ὅτι καὶ πλειόνων ὄντων τῶν ἐπιθεμένων καὶ ἐνόπλων οὐδεὶς περιεσώθη, ἐπειδὴ ἅπαξ ἤσθετο τῆς ἐπιθέσεως γινομένης. P.Q.

539. οὐδέ μοι ἦτορ] γρ. οὐδέ νύ μοι κῆρ. H. 30

1. βαρέα] Sic etiam M. in textu. γρ.] γράφε E.

2. Ἄνδρων] ἀνδρῶν H.P.

τὴν θυέστου H. τοῦ θυέστου τὴν P. Κύθηρα Eustath. p. 1507, 44. κύθηραν H.P.

3. ἐκ πλήρους ὁ καί] Hoc dicit scholiasta, non κἀκεῖθεν, sed καὶ κεῖθεν scribendum esse. Vid. ad α, 77.

6. προσεκύνει] γράφε (i.e. γράφεται) præfixum in B., ut sæpe glossematis. Vid. ad β, 334.

14. ὑπαντήσων αὐτῷ—τιμήσων] ἀπαντήσων αὐτὸν—τιμῶν T.

22. οὐκ addidit Maius.

541. ἀνθρωπίνως εἶξε τῇ ἐπιθυμίᾳ αὐτοῦ καὶ παρέσχε καιρὸν ἀποκλαῦσαι τὸν ἀδελφόν. P.Q.

542. γέρων ἅλιος νημερτής] δῆλον ὡς ὁ Πρωτεὺς μάντις ἄνθρωπος ἦν· εἰ γὰρ ἦν δαιμόνιον, παντελῶς ἂν ὑπεχώρησε. τῷ μύθῳ δὲ δοτέον τοῦτο ὅτι θεὸς ἦν. E.

543. ἀσκελὲς αἰεί] ἀμετακινήτως, ἀμεταμελήτως, ἀμετατρέπτως, ἀδιαλείπτως καὶ συνεχῶς. E.

αἰεί] γρ. οὕτω. Q.

545. πείρα] βαρυτόνως καὶ χωρὶς τοῦ ι. προστακτικὸν γάρ ἐστιν. P.T. σπούδαζε, ἀγωνίζου. παρ' ἡμῖν μὲν τὸ πειρᾶν ἐπὶ τοῦ τὴν ἐρωμένην βιάζεσθαι, παρ' Ὁμήρῳ δὲ οὐχ οὕτως. E. πειρῶμαι τὸ ἀπόπειραν ποιῶ, παθητικόν, πειρῶ δὲ τὸ συνεύω ἐνεργητικόν. E.

546. ἤ κεν Ὀρέστης] διαζευκτικοί εἰσιν οἱ δύο σύνδεσμοι. διὸ ὁ μὲν πρῶτος βαρεῖαν δέχεται, ὁ δὲ δεύτερος διὰ τὸν κέν ἐγκλιτικὸν ὄντα τηρεῖ τὴν ὀξεῖαν. Q.

547. ὑποφθάμενος] ἀντὶ τοῦ προφθάσας. ἄλλως γὰρ παρὰ τοὺς Ἀθηναίους οὐκ ἐλέγετο. E.

τάφου] τοῦ δείπνου τοῦ ἐν τῇ ταφῇ. B.T.

ἀντιβολήσαις] ἀντιβολῆσαι παρ' ἡμῖν τὸ παρακαλέσαι λέγεται, ἐκ τοῦ ἄντα καὶ ἔμπροσθεν τῶν ποδῶν βάλλειν ἑαυτόν. νῦν δὲ ἐκ τοῦ ἀντί καὶ ἐξεναντίας τοῦ σκοποῦ βάλλειν. παρ' ἡμῖν μὲν καὶ ἁπλῶς παντὸς τοῦ σκοπουμένου, εἴτε καλοῦ εἴτε φαύλου, ὡς καὶ νῦν τοῦ ἐλπιζομένου. E.

549. αὖτις ἐνὶ στήθεσσι] ὡς καὶ ἐν τοῖς κακοῖς παραμυθίαν φέρει τὸ μὴ ἀτιμωρήτους γενέσθαι τοὺς ἄρξαντας τῶν ἀτυχημάτων. P.Q.

553. ἠὲ θανών] ἐν ἁπάσαις ἠθετεῖτο. τοῦ γὰρ Πρωτέως εἰπόντος "δύο μοῦνοι ἀπόλοντο" (496.) γελοίως τρίτον ζητεῖ ἀπολόμενον. H.P.Q.

1. Hoc scholion v. 546. adscriptum in Q.

8. γρ.] γράφε Q.

12. συνεύω] συνεύνω E. De verbo συνεύω vid. Oudendorp. ad Thom. M. p. 700.

26. Sola conjectura ad hunc versum scholium hoc retulit Porsonus cum hac nota: "Notandum est, non semper pari cum fiducia marginales notas ad loca sua a me referri, propterea quod sæpe nulla textus verba iis præponuntur, sæpe in longe distanti paginæ parte distant. Scholion quod nunc in margine positum est ad α, 386. circiter, pertinet ad 328." Eadem plane nobis sæpe usu venerunt in cod. Pal. et, ut augurari possum, Maio etiam in suis. Et hoc quidem scholium in Pal. positum est e regione versus 550. BUTTM.

καὶ ἀχνύμενός περ] παιδευτικῶς ὁ ποιητής, μὴ ὑπὸ λύπης ἐκκρούεσθαι τῶν μαθημάτων. P.

555. Λαέρτεω] Ἰωνικόν. Λαέρταο ἡ εὐθεῖα Βοιωτικόν. E.

Ἰθάκῃ ἐνὶ οἰκία ναίων] ἀπὸ κοινοῦ τὸ κατερύκεται εὐρεῖ πόντῳ. P.Q. στικτέον εἰς τὸ τέλος τοῦ στίχου. P. 5

556. ἐν νήσῳ] δῆλον κἀκ τούτου ὅτι ἐξῴκισται ἡ νῆσος. ἐπεὶ τί ἐκώλυε τὸν Μενέλαον οὕτως ἔχοντα περὶ τὸν Ὀδυσσέα ὡς καὶ πόλιν ὅλην χαρίσασθαι ἐθέλειν ναῦν πέμψαι καὶ σῶσαι τὸν φίλον; B.P.Q.T.

563. ἀλλά σ' ἐς Ἠλύσιον πεδίον] ἐκ τοῦ λύω. λύονται γὰρ τῶν βιωτικῶν δεσμῶν οἱ ἀπελθόντες ἐκεῖ. καὶ κατὰ πλεονασμὸν τοῦ η 10 Ἠλύσιον. E. τὸ τῶν ἡρώων ἐνδιαίτημα ἦν κεκλημένον ἀπὸ Ἠλυσίου τοῦ Ἐλευθερίου, εὐσεβεστάτου γενομένου. ἢ παρὰ τὸ ἄλυτα ἐν αὐτῷ μένειν τὰ σώματα. ὁ δὲ τόπος ἐν ταῖς καλουμέναις Μακάρων νήσοις, ἔξω τῆς καθ' ἡμᾶς οἰκουμένης. E.V. τὸ Ἠλύσιον πεδίον οἱ νεώτεροι Μακάρων εἰρήκασι νήσους. P.Q.T. 15

Ἠλύσιον πεδίον] παρὰ τὸ λύειν εἶναι τῶν κακῶν, ἢ παρὰ τὸ τοὺς λυσσῶντας ὀνεῖσθαι. ἔστι δὲ εἶδος βοτάνης ἐν ταῖς ὁδοῖς φυομένη, πορφύρεα ἔχουσα φύλλα. T.

Ἀπίων διὰ πολλῶν κατασκευάζει τὴν περὶ Κάνωβον καὶ Ζεφύριον πεδιάδα Ἠλύσιον εἰρῆσθαι ἀπὸ τῆς Νείλου ἰλύος. πέρατα δὲ γῆς, 20 τῆς Αἰγυπτίας· ἐπὶ θαλάσσῃ γὰρ κεῖται. οἷον καὶ τὸ Αἰσχύλου "ἔστιν πόλις Κάνωβος ἐσχάτη χθονός." κινεῖσθαι δὲ αὐτὸν οἶμαι διὰ τὸ Μενελάου τὴν χώραν ἅπασαν ἐκείνην καλεῖσθαι, ᾗ καὶ ὁ Μενελαΐτης νομὸς παράκειται. H.Q.

564. ἀθάνατοι πέμψουσιν] οὕνεκα ἔχεις Ἑλένην (569.), οὕτω τὸ 25 ἑξῆς. P.

567. ἀλλ' αἰεὶ ζεφύροιο] δοκεῖ καὶ τοῦτο φυσικῶς εἰρηκέναι Ὅμη-

7. τὸν alterum et ὡς addidi ex T. Ὀδυσσέα] ὀδυσσέως P.

12. Ἐλευθερίου] Sic Mediol. ex cod. E. Schol. Vulg. et MS. Barnesii Ἐλευθήρου. In Schreveliana Ἐλευθῆρος, quod servavit Barnesius ob Eleutherem Apollinis filium Pausaniæ memoratum. BUTTM. Apud Eustath. p. 1509, 29. τινὲς δὲ ἀπό τινος Ἠλυσίου εὐσεβεστάτου ἀνδρὸς τοῦ ἐν Ἐλευθῆρι τόπῳ κληθῆναι εἶπον πεδίον Ἠλύσιον.

19. τὴν περὶ H. et Eustath. τὸ περὶ Q.

καὶ Ζεφύριον scripsi ex Eustath. Aberat καί.

20. πεδιάδα Eustath. et fortasse H. πεδίον Q.

ἀπὸ τῆς Νείλου ἰλύος] παρὰ τὴν τοῦ Νείλου ἰλὺν Eustath.

21. Αἰσχύλου] Prometh. 852.

22. ἔστιν] ἔστι H.Q.

αὐτὸν Buttm. pro αὐτό.

24. νομὸς om. H.

ρος. ὁ γὰρ ζέφυρος οὐ μόνον ἐστὶ πολύκαρπος καὶ γόνιμος, ὡς καὶ ἐν ἄλλοις φησὶ "ζεφυρίη πνείουσα τὰ μὲν φύει, ἄλλα δὲ πέσσει" (Od. η, 119.), ἀλλὰ καὶ τῆς ψυχῆς τὸ διανοητικὸν ἔχειν δοκεῖ καὶ πρὸς ἐπίνοιαν συντελεῖν. H.P.Q.

τὸ πνείοντος διὰ τοῦ ο πρὸς τὸ ζεφύροιο. H.P. 5

569. καί σφιν γαμβρὸς Διός ἐσσι] τινὲς, φίλος ἐσσί. ἐν ἐνίοις δὲ οὐ φέρεται ὁ στίχος διὰ τὸ ἀκύρως ἔχειν τὴν ἀντωνυμίαν. οὐ γὰρ Διὸς γαμβρὸς ὁ Μενέλαος. H.P.Q. δύναται ἡ σφίν πρὸς τὸ ἀνίησι φέρεσθαι. E.P.

572. πόρφυρε κιόντι] ἐν βάθει ἐμερίμνησε. ἡ μεταφορὰ ἀπὸ τῶν 10 βαθυτάτων φρεάτων, ἅτινα διὰ τὴν ἄγαν βαθύτητα πορφυρίζονται καὶ μέλανα φαίνονται. T.

578. νηῒ μελαίνῃ] γρ. νηὸς ἐΐσης. γρ. νηυσὶν ἑῆσιν. P.

580. ἑζόμενοι] σημειοῦνταί τινες ὅτι ὁμοίως ἐκείνῳ εἴρηται "ἑζόμενοι λεύκαινον ὕδωρ" (Od. μ, 172.). P. 15

581. ἂψ δ' εἰς Αἰγύπτοιο] εἰς τοὐπίσω, ἤτοι εἰς Αἰγύπτου τόπον, ὡς τὸ εἰς Ἅιδου, καὶ εἰς μυσταγωγῶν. E. Ἀττικῶς, ὡς εἰς διδασκάλου. P.

582. τεληέσσας ἑκατόμβας] τὰς ἀλωβήτους. οὐ γὰρ κολοβόν τι ἔθυον. E. 20

584. τύμβον, ἵν' ἄσβεστον] ἐποίησε κενοτάφιον τῷ Ἀγαμέμνονι γράψας ἐκεῖ ἐν λίθῳ τὸ αὐτοῦ ὄνομα καὶ τὴν αἰτίαν τοῦ θανάτου καὶ τὸ ποῦ ἦν καὶ ὅπως πέπονθε. τὸ δὲ ἵνα ἄσβεστον κλέος εἴη, τὸ μὴ σβεννύμενον, ἀλλ' ἀεὶ φαῖνον, ἐκ μεταφορᾶς τοῦ πυρὸς τοῦ ἀεὶ φαινομένου, τοῦ ἀειφανοῦς. τοιαύτη γὰρ ἡ δόξα τρόπον πυρὸς φαίνουσα 25 διαφανῆ ποιεῖ καὶ περίφημον τὸν ἔχοντα. E.

589. ἄτοπόν φησι τὸ προλέγειν. ποιεῖν γὰρ δεῖ, φασὶ, τὰ τοιαῦτα καὶ μὴ προλέγειν, ἵνα μὴ ἀπαρνήσεται ὁ λαμβάνων. ἀλλ' ἔθει παλαιῷ τοῦτο λυτέον. P.

590. τρεῖς ἵππους] ὅτι οὐκ ἂν, εἰ τέθριππα ᾔδεσαν, τρεῖς ἵππους 30 ἐδίδου τῷ Τηλεμάχῳ. νῦν δὲ ξυνωρίδα δίδωσι καὶ παρήορον, ὡς καὶ ἐν Ἰλιάδι χρώμενοι, πλὴν Ἕκτορος. B.P.Q.T.

595. καὶ γάρ κ' εἰς ἐνιαυτὸν] περὶ δύο γέγονεν ὁ λόγος τῷ Μενε-

5. τοῦ ο Porsonus. τοὺς H. P. γὰρ δή.
πνείοντας H. in textu, πνείοντος M.
6. ἐσσί P. ἐσσίν H.Q.
27. ποιεῖν γὰρ δεῖ Buttm. pro ποῖ
28. ἔθει] ἤθει P. Cf. p. 165, 15.
30. ὅτι om. B.Q.T.
31. ξυνωρίδα] συνωρίδα P.

λάῳ, περὶ τῆς ιβ' ἡμερῶν ἐπιμονῆς καὶ δωρεᾶς ἵππων. ὁ δὲ πρὸς ἄμφω συνετῶς ἀνθυποφέρει, τὴν μὲν ἑαυτοῦ ἐπιμονὴν ἑκούσιον ἀποφαίνων, ἀντιτιθεὶς δὲ τὴν τῶν ἑταίρων ἀνίαν, οὓς κατέλιπεν ἐν Πύλῳ· τὸ δὲ δῶρον ὡς ἀνεπιτήδειον οὐ δι' αὐτὸν, ἀλλὰ διὰ τὴν πατρίδα ἀρνούμενος. H.Q. 5

598. ἀνιάζουσιν ἑταῖροι] οὓς λέλοιπα ἐπὶ νηὸς παρὰ Νέστορι. H.P.

599. σὺ δέ με] Ἀρίσταρχος, σὺ δέ κε. H.

602. ἄγαλμα] ὅτι τοὺς ἵππους ἄγαλμα εἴρηκεν ἐν Ἰλιάδι (δ, 144.) "βασιλῆϊ δὲ κεῖται ἄγαλμα." ὥσπερ δὲ ὁ Τηλέμαχος ἐνθάδε παραιτεῖται τοὺς ἵππους, οὕτως καὶ Ὀδυσσεὺς τοὺς ἐκ τῆς κατασκοπῆς ἵππους Διομήδει παραχωρεῖ. P.Q. 10

603. ἔνι μὲν λωτὸς πολὺς] λωτὸς λέγεται ἡ πόα καὶ τὸ δένδρον. παρὰ τοῖς Λωτοφάγοις δὲ τοῦτο, ὅπερ παρέχει καὶ ξηρὰν τροφὴν καὶ ὑγρὰν ἀπὸ τοῦ καρποῦ αὐτοῖς. διὸ καὶ Λωτοφάγοι καλοῦνται. E. 15
λωτός] τριφύλλιον. B.

606. αἰγίβοτος] τραχεῖα, πρὸς βόσιν αἰγῶν ἐπιτηδεία. ἀπὸ ἄλλης δὲ ἀρχῆς τοῦτο, ἵν' ᾖ, καίτοι αἰγίβοτος οὖσα, τῆς ἱπποτρόφου ἐμοὶ μᾶλλον ἐπέραστος. αἰγίβοτος δὲ λειμὼν ὁ τραχὺς, πρὸς βόσιν καὶ νομὴν αἰγῶν ἐπιτήδειος. B.E.H.P.Q. 20

Ἀρίσταρχος, αἰγίβοτον καὶ μᾶλλον ἐπήρατον, τὸ πεδίον. H.P.

607. ἱππήλατος] ἤτοι ἐπιτηδεία εἰς τὸ ἐλαύνειν ἵππους. ἵνα γὰρ μὴ δόξῃ ὅτι τὴν πατρίδα ὑβρίζει, καὶ τὰς ἄλλας τοιαύτας φησίν. E.

609. μείδησε] γρ. γήθησε. H.

611. ἀγαθοῖο] Κράτης γράφει ὀλοοῖο. H. 25

τὸ "οἷ' ἀγορεύεις" καθ' ἑαυτὸ προοιστέον. μᾶλλον γὰρ οὕτως ἐμφαίνει ὁποῖα ἀγορεύεις. P.

612. μεταστήσω] μεταλλάξω. ἀπὸ δὲ τῶν σταθμῶν τὰς ἀμοιβὰς ποιουμένων ἡ μεταφορὰ ὅταν χρυσὸν πρὸς ἄργυρον ἢ ἄλλα ἀντικαθιστῶσιν. B.E.P.Q.T. 30

1. ιβ' addidit Buttm.
2. ἑαυτοῦ H. αὐτοῦ Q.
3. ἑταίρων] ἑτέρων H.
8. Ἀρίσταρχος, σὺ δέ κε] Mira scriptura, nisi ἐρύκοις legit Aristarchus, quod habet H. superscripto tamen εις.
9. ὅτι—ἄγαλμα om. Q.
19. ἐπέραστος] ἐπήρατος H.
21. αἰγίβοτον] αἴγιβον P.Q.
22. ἐλαύνειν] ἐλάσσειν E. quod etiam ex ἐλάσαι corruptum esse potest.
26. τὸ — πρὸς ἑαυτὸν προσοιστέον (sic) habet T.
29. ἀντικαθιστῶσιν E. ἀντιμεθιστῶσιν ceteri. Verbo ἀντικαταλλάσσειν utitur Eustath. p. 1511, 32.

μετασταθμήσω. τὸ γὰρ στῶ στήσω καὶ ἐπὶ σταθμοῦ λέγεται, ὅθεν γίνεται καὶ ὁ σηκὸς στηκός τις ὢν καὶ δηλῶν σταθμόν τινα, ὅθεν καὶ ἡ ἀντισήκωσις ἀντιστάθμησίς τις οὖσα. T.

613. σημειοῦνται ὡς ἀκατάλληλοι. P.

614. καὶ τιμηέστατόν ἐστι] τὰ εἰς ων καὶ εις μακροκατάληκτα ἐκφέρονται διὰ τοῦ έστερος καὶ έστατος, ὡς σώφρων σωφρονέστερος καὶ σωφρονέστατος, καὶ τιμήεις τιμηέστερος καὶ τιμηέστατος. E.

617. φαίδιμος] ἄδηλον εἰ κύριον τὸ φαίδιμος. τινὲς δὲ αὐτὸν Σώβαλον, οἱ δὲ Σέθλον ὀνομάζουσι. P.Q. et posteriora Vind.

618. ἑὸς δόμος] αὐτοῦ τοῦ βασιλέως. οὕτως δὲ Ἀρίσταρχος καὶ τὰ ὑπομνήματα, ὁ τεὸς δόμος. H.P.

ἀμφεκάλυψε] ἀντὶ τοῦ ὑπεδέξατο. H.

619. κεῖσέ με] ὀρθοτονητέον τὸ μέ. H.P.

τεὶν] ἀντὶ τοῦ σοί Δωρικῶς. P.

621. δαιτυμόνες] οἱ τὴν τράπεζαν τοῦ γάμου παρασκευάζοντες. Q. οἱ εἰς τὸν γάμον εὐωχούμενοι, ἢ οἱ τὴν δαῖτα παρασκευάζοντες. P.Q. οἱ μάγειροι. P.

622. εὐήνορα οἶνον] τὸν ἀνδρείαν παρέχοντα, ἢ τὸν ἀνδρείας περιποιητικόν, ἐκ τοῦ κατὰ καιρὸν πίνεσθαι. ἢ τὸν λεπτὸν καὶ διαφανῆ, ἀπὸ τοῦ εὖ ἐν αὐτῷ ὁρᾶν, πρὸς ἀντιδιαστολὴν τοῦ παχέος καὶ δυσοράτου. B.E.

623. καλλικρήδεμνοι] καλὰ περιβόλαια ἐπὶ τῶν κεφαλῶν ἔχουσαι. E.V.

624. πένοντο] σημειοῦνταί τινες, ἀντὶ τοῦ ἐνήργουν. H.P.

625. μνηστῆρες δὲ] τὸ σχῆμα μετάβασις. εἰπὼν γὰρ τὰ περὶ Μενέλαον μετέβη ἐπὶ τοὺς μνηστῆρας. B.

626. δίσκοισιν] τροχὸς ἦν ὁ δίσκος λίθινος ἢ σιδήρεος ἔχων ἱμάντα ἐν τῷ μέσῳ, ὃν στρέφοντες ἐδίσκευον. B.E.H.P.Q.T. ἀπὸ τοῦ δίκω τὸ βάλλω δίκος καὶ δίσκος. E. τροχὸς, ὃν καὶ ἐν ἄλλοις φησὶ σόλον αὐτοχόωνον (Il. ψ, 826.), σόλον μὲν διὰ τὸ στρογγύλον καὶ εἰς ἑαυτὸν συνεστράφθαι, αὐτοχόωνον δὲ τὸ αὐτοφυές. αἰγανέα δὲ λέγε-

5. καὶ εις Buttm. καὶ εἰς η E.

9. Σέθλον] Σέθλων Eustath. p. 1511, 37.

11. ὁ τεὸς] ὅτε ὁς Buttm.

13. ὀρθοτονητέον τὸ μέ] Hoc est, scribendum κεῖσ' ἐμέ.

16. οἱ τὴν δ. π. habet T.

18. τὸν — πίνεσθαι] Sic fere P. quoque et V. In V. est τὸν ἀνδρείαν παρέχοντα ἐν καιρῷ πινόμενον. τὸν ἀνδρείας—πίνεσθαι habet T.

24. ἐνήργουν H. ἐνῆργον P.

28. ἐδίσκευον om. H.

31. ἑαυτὸν] ἑαυτῷ B.E.

ται τὸ σμικρὸν ἀκόντιον. γίνεται δὲ ἐκ τοῦ κατ' αἰγὸς ἵεσθαι, ὅ ἐστι πέμπεσθαι, ἢ ἀπὸ τοῦ ἄγαν ἵεσθαι πλεονασμῷ τοῦ ι, ἢ παρὰ τὸ τὴν ἀγκύλην ἐξ αἰγείων δερμάτων εἶναι, ἢ ἀπὸ τοῦ κατὰ τῶν αἰγῶν νέεσθαι, ἢ ἀπὸ τοῦ ἄγαν νέεσθαι. B.E.

καὶ αἰγανέῃσιν ἱέντες] δορατίοις, παρὰ τὸ τὴν ἀγκύλην ἐξ αἰγείων δερμάτων εἶναι. P.Q.T.

627. τυκτῷ] κατεσκευασμένῳ καὶ λελειωμένῳ ἐδάφει. H.

ὕβριν ἔχεσκον] ταυτὸ ἰδίᾳ οἱ ὑβρισταί. P.

ἔχεσκον] γρ. ἔχοντες. Q.

Ἀρίσταρχος διαστέλλει μετὰ τὸ ὅθι περ πάρος, ἵν' ᾖ τὸ ἑξῆς, μνηστῆρες δὲ ὕβριν ἔχοντες. P.

629. ἀρχοὶ μνηστήρων] γενναῖόν τι λαμβάνει ὁ ποιητής, καὶ τοὺς κακίστους μὴ ἀνάρχους λαμβάνειν. P.Q. αἱρήσονται οἱ μὲν ἀγαθοὶ τὸν ἀμείνω, οἱ δὲ φαῦλοι τὸν φαυλότερον. P.

ἀρετῇ] ἀρετὴν νῦν ποιητικῶς τὴν εὐγένειαν λέγει. P.Q.T.

630. τοῖς δ' υἱὸς Φρονίοιο] ὅτι καὶ ἐν Ἰλιάδι ἡ αὐτὴ εὐστοχία τῆς τῶν ὀνομάτων θέσεως. P.

634. ἐμὲ δὲ χρεὼ] ἐμὲ δὲ χρεία ἐστὶν αὐτῆς, Ἀττικῶς ἀντὶ τοῦ ἐμοί. B.P.

636. δώδεκα θήλειαι] δοκεῖ μαχόμενον εἶναι τῷ ὑπὸ τοῦ Τηλεμάχου λεγομένῳ "οὐ γάρ τις νήσων ἱππήλατος" (607.), εἴπερ οὗτος μέλλει δαμάζειν ἵππους οὐ δυνάμενος χρῆσθαι αὐταῖς ἐν Ἰθάκῃ. ἀγνοοῦσι δ' ὅτι οὐχ ἵππους δαμάσαι βούλεται, ἀλλὰ τὰς ἡμιόνους, ἵν' ἔχῃ ὀρεῦσι χρῆσθαι εἰς τὰς κατ' ἀγρὸν ἐργασίας. E.H.P.Q.T.

9. γρ.] γράφε Q. In T. ordine inverso annotatum γράφεται ἔχεσκον.

10. Addidi περ πάρος. Non post ὅθι, sed post ὅθι περ πάρος distinguere debuit Aristarchus, si ἔχοντες legit.

12. In Pal. lemma est: Τοῖς δ' υἱὸς Φρονίοιο. Mox verbo λαμβάνειν sine ulla interpunctione statim subjicitur ἀρήσονται (sic pro αἱρ.) κ. τ. ε. Tum ὅτι καὶ ἐν Ἰλιάδι κ. τ. ε. quod scholium solum ad lemma illud (v. sq.) rettuli. BUTTM. Scribendum collato Eustath. p. 1512, 27. μὴ ἀνάρχους θέλειν διάγειν, αἱρήσονται δὲ οἱ μὲν—.

15. λέγει om. P.Q.

20. τῷ ὑπὸ τοῦ T. λεγομένῳ] εἶναι τὸ ὑπὸ T. λεγόμενον T. unde εἶναι addidi.

21. οὐ γάρ T. τὸ οὐ γάρ P. οὐδέ ceteri.

22. οὐ δ.] μὴ δ. P. μὴ δ. δὲ T. αὐταῖς H. αὐτοὺς T. αὐτοῖς ceteri. ἀγνοοῦσι δ' ὅτι] ἀγνοοῦσιν ὅτι H.

23. οὐχ] In Mediol. forma οὐχ fere semper apostrophum appictum habet, ut hic οὐχ' ἵππους: quod factum esse auctoritate codicum e Pal. cognovi, qui et hic et alibi eandem rationem sequitur. Nimirum crediderunt decurtatam esse formam ab οὐχί; neque absurde; modo idem de forma οὐκ statuissent ut decurtata ab οὐκί. BUTTM.

τὰς H. τοὺς ceteri.

639. ἀλλά που αὐτοῦ] Ἀττικῶς ἀλλά που αὐτοῦ, ὅ ἐστιν ἐν τόπῳ τινὶ τῶν ἀγρῶν. B.

640. ἢ μήλοισι παρέμμεναι] ἢ τὰ ποίμνια ἐπισκοπεῖν ἢ τὰ συβόσια. E.

641. προσέφη Εὐπειθέος υἱός] ἐν ἄλλῳ "ἀπαμείβετο φώνησέν τε." H.P.

642. καὶ τίνες] οἱ μὲν τὸν καί ὀξύνουσιν, ἵν' ᾖ, καί τινες αὐτῶν, κακῶς· ἐγράφετο γὰρ ἂν, κ' εἴ τινες. H.P. λείπει ἡ σύν. ἀντὶ τοῦ, κ' εἴ τινες. Gl. P.

643. κοῦροι ἕποντο] στικτέον μετὰ τὸ ἕποντο, τὰ δὲ ἑξῆς ἐν πεύσει ἀναγνωστέον. P.

ἦ ἑοὶ] ὁ μὲν ἦ περισπᾶται· διαπορητικὸς γάρ· ἡ δὲ ἑοί ἀντωνυμία κτητική ἐστιν ἐν πλεονασμῷ τοῦ ε. P.

644. θῆτές τε δμῶές τε] σημειοῦνταί τινες ὅτι διέστειλε τοὺς θῆτας ἀπὸ τῶν δμώων. θῆτες γὰρ λέγονται οἱ ἐλεύθεροι μὲν, μισθῷ δὲ δουλεύοντες, δμῶες δὲ αὐτοὶ οἱ δοῦλοι, παρὰ τὸ δεδμῆσθαι, ὅ ἐστιν ὑποτετάχθαι. B.E.P.Q. οἱ μίσθιοι, παρὰ τὸ θῶ τὸ εὐωχοῦμαι. ὁ μέλλων θήσω καὶ ἀποβολῇ τοῦ ω θής τοῦ θητός. ὁ κανὼν, τὰ εἰς ης ὀνόματα διὰ τοῦ η γράφεται, μονοσύλλαβα δὲ διὰ τοῦ η κλίνονται, οἷον θής θητός, σής σητός. T.

646. εἴ σε βίῃ] ἵνα, εἰ μὲν ἑκὼν ᾖ δεδωκὼς, φυλάττηται ὡς φίλον Τηλεμάχου τὸν Νοήμονα· εἰ δὲ βιασάμενος ἔχοι, κἀκεῖνον συνεργὸν πρὸς τὴν ἐπιβουλὴν λάβωσιν. H.P.Q.T.

βίᾳ σε ἀφείλετο. ὁμοίως τῷ "ἐπεί μ' ἀφέλεσθέ γε δόντες" (Il. α, 299.). P.

647. προσπτύξατο] ἐδεξιώσατο φιλοφρόνως τῷ μύθῳ, τουτέστιν ἐξελιπάρησεν. E. ἐκολάκευσεν. Gl. H.

649. τί κεν ῥέξειε] τί ἂν πράξειε καὶ ἄλλος αἰτοῦντος τοιούτου πάντως δοῦναι; P.Q.

650. ἔχων μελεδήματα] ἐτυμολογεῖται τὸ μελέδημα παρὰ τὸ τὰ

5. φώνησέν] φώνησέ τε H.P.
8. ἂν om. P.
12. ἦ ἑοὶ—ἡ δὲ ἑοί ἀντ. κτητική correxi pro ἦέ οἱ (margo ἠέ οἱ αὐτοῦ) —ἡ οἱ ἀντ. κλητική.
19. διὰ τοῦ η γράφεται delet Prellerus.
21. φυλάττηται] φυλάττεται H.T. φίλον] φίλος T.
22. ἔχει T. ἔχει H. ἔχῃ P.Q.
23. λάβωσιν addidi ex T.
28. τοιούτου — δοῦναι] In V. est τοιούτου; πάντως συνέδωκεν.

μέλη ἔδειν καὶ ἐσθίειν. E.P.Q. τὸ δὲ. ὁπότε ἀνήρ, ἀφ' ἑτέρας ἀρχῆς. P.

652. κοῦροι] νεώτεροι. κατ' εἰρωνείαν τοῦτό φησι. E.

κοῦροι δ' οἳ κατὰ δῆμον] ἄνδρες αὐτῷ συμπλέουσι λογάδες Ἰθακήσιοι, οἳ μεθ' ὑμᾶς κρατοῦσιν. V. 5

μεθ' ἡμέας] πρὸ τέλους ἡ ὀξεῖα. ὀρθοτονεῖται γὰρ διὰ τὴν πρόθεσιν καὶ τὴν ἔμφασιν. P.

654. γρ. ἠὲ θεὸν, ἵνα ᾖ καθὰ θεόν. H.

τῷ δ' αὐτῷ] τούτῳ δ' αὐτῷ, τῷ Μέντορι, ἐῴκει ὁ θεός. P.

655. μετὰ τὸ θαυμάζω στικτέον πρὸς τὴν ἔμφασιν. P. 10

659. μνηστῆρες] τοὺς μνηστῆρας δὲ οἱ δύο ἀρχηγοὶ ὅ τε Ἀντίνοος καὶ Εὐρύμαχος κατέπαυσαν τῶν ἀγώνων ἐξ ὧν ἐτέροντο. εἶτα ἄμυδις καὶ ὁμοῦ αὐτοὶ οἱ ἀρχηγοὶ καὶ οἱ λοιποὶ μνηστῆρες ἐκάθισαν. B.

ἄμυδις] ψιλωτέον τὸ ἄμυδις. δῆλον κἀκ τῆς συναλοιφῆς "οἵ τ' ἄμυδις κονίης" (Il. ν, 336.). P.Q. 15

661. ἀχνύμενος] ἐκ τῆς Ἰλιάδος (α, 103.) μετηνέχθησαν οὐ δεόντως οἱ στίχοι. H.Q.

μένεος δὲ] ὅρα τὴν ἀναισχυντίαν. σχετλιάζει γὰρ καὶ ὀργίζεται ὡς δεινὰ πεπονθὼς, ἄλλῳ οὐδενὶ ἔχων ἐγκαλεῖν ἢ τῇ ἑαυτοῦ ῥαθυμίᾳ. P.Q. 20

ἀμφιμέλαιναι] αἱ ἐν βάθει κείμεναι, ἢ αἱ ἀμφοτέρωθεν μελανωθεῖσαι τῷ καπνῷ τοῦ θυμοῦ. E.

662. ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι] οἱ μὲν οὖν φασιν, ὥσπερ ἀπὸ τοῦ θῆρε τοῦ δυϊκοῦ κατὰ ἀποβολὴν τοῦ ε τὸ ἑνικὸν γίνεται θήρ, οὕτως ἀπὸ τοῦ ὄσσε τὸ ἑνικόν ἐστιν ὄσσ διὰ δύο σσ. ἐλέγχονται δέ· οὐ 25 γὰρ ἐπὶ πάντων τοῦτο γίνεται. ἰδοὺ γὰρ ἀπὸ τοῦ δμῶε οὐ γίνεται τὸ ἑνικὸν δμώ, οὐδὲ ἀπὸ τοῦ φῶτε φώτ. οὕτως οὖν οὐδὲ ἀπὸ τοῦ ὄσσε ὄσσ. ἡ δὲ αἰτία ἐστὶν αὕτη. ἐπεὶ τὸ ρ καὶ τὸ ν κατά γε τὸ πλεῖστον τῶν ἀμεταπτώτων ἦν, προσεβλήθη τῷ θήρ καὶ τῷ χήν τὸ ε, καὶ δυϊκὸν γέγονεν. οὐδέποτε εὕροις ἂν τοῦτο συμβαῖνον ἐφ' ὧν ἔσχατον 30 ἦν τὸ σ. τῷ γὰρ Κρής εἰ προσθείης τὸ ε, δυϊκὸν οὐκ ἂν γένοιτο Κρῆσ-

1. ἔδειν] ᾄδειν Q.

6. ὀρθοτονεῖται —] Consequens est, scribi etiam solitum fuisse olim ἥμεας in inclinatione. BUTTM. Vid. schol. ad 294.

8. γρ. ἠὲ θεὸν] Atqui id ipsum legitur in textu. Fort. ὥστε θεόν.

16. οὐ om. Q., nisi Maii typothetæ error est. οὐκ ὀρθῶς schol. Il. α, 103.

17. οἱ στίχοι] Versus dicit 661. 662.

30. ἂν addidi.

31. προσθείης H. προστεθείη P.Q.

σε, οὐδὲ τῷ χρώς καὶ παῖς. οὕτως οὐδὲ τῷ ὄσσ. ἔτι δὲ καὶ ἀδύνατόν ἐστι συλλαβὴν μίαν εἰς δύο σσ λήγειν, οὐδὲ μὴν δύναται ὅς εἶναι δι' ἑνὸς σ· τῶν γὰρ εἰς ος ληγόντων τὰ δυϊκὰ εἰς ω λήγει· ῥητέον οὖν ὅτι τὸ ὄσσε οὐκ ἔστιν ἀρσενικὸν δυϊκόν· φησὶ γὰρ ὁ ποιητὴς "τὼ δέ οἱ ὄσσε ποσσὶν αἱματόεντα χαμαὶ πέσον" (Il. ν, 616.), οὐχ αἱματόεντες. οὐδετέραν οὖν ληπτέον εὐθεῖαν, καὶ ἔσται τὸ ὄσσος ὡς ἕρκος, βέλος, τεῖχος· καὶ δὴ πληθυντικὸν κατὰ Ἀθηναίους μὲν ἕρκη, βέλη, τείχη, κατὰ δὲ τοὺς Ἴωνας ἕρκεα, βέλεα, τείχεα· καὶ δῆλον ὅτι καὶ ὄσσεα. τῶν δὲ εἰς α πληθυντικῶν οὐδετέρων τὰ δυϊκὰ εἰς ε τελευτᾷ, ὄμματα ὄμματε, γράμματα γράμματε. καὶ Ἀριστοφάνης ἐν Πλούτῳ "γρύζειν δὲ καὶ τολμᾶτον, ὦ καθάρματε;" σαφὲς οὖν ὅτι καὶ τείχεε λέξουσι δυϊκῶς καὶ ὄσσεε, εἶτα κατὰ ἀφαίρεσιν τοῦ τελικοῦ ε ὄσσε ἐγένετο. H.P.Q.

664. οὕτως, φάμεν δέ οἱ. τινὲς, φαμὲν δέ μιν, κακῶς. P.H.

665. τόσσων δὲ] οἱ πλείους ὡς δύο μέρη τοῦ λόγου ἀνέγνωσαν ἐν δυσὶν ὀξείαις, ὡς τὸ "τοίῃ δ' ἀμφὶ γυναικί" (Il. γ, 157.). ὁ δὲ Ἀσκαλωνίτης περισπωμένως κατ' ἐπίτασιν. P.Q. διχῶς, τόσσων δέ, καὶ τοσσῶνδε. P. inter versus.

Ἄλλως. ἐκ τόσσων δὲ] ταῦτα ἀφ' ἑτέρας ἀρχῆς προενεκτέον μετὰ ἤθους καὶ ἐρωτήσεως· μᾶλλον γὰρ οὕτως ἐμφαίνει τὴν ἀγανάκτησιν. τὸ ἑξῆς οὕτως. ἐκ τόσσων δ' ἀέκητι οἴχεται. τὸ δὲ ἀέκητι ἐπὶ τῆς προαιρέσεως αὐτῶν κεῖται. P.Q.

667. ἄρξει] ἰσχυροποιήθη ὁ Τηλέμαχος καὶ εἰς τὸ μετὰ ταῦτα κακὸν ἐπενεγκεῖν ἡμᾶς. E. Ἄλλως. οἷον προκακώσει ἡμᾶς. οἱ δὲ ὄνομα, ἀπὸ εὐθείας τῆς ἄρξις, ἵν' ᾖ, ἀπὸ ταύτης τῆς ἀρχῆς χεῖρον ἡμᾶς ἐργάσεται. E.P.Q.V.

ἄρξει καὶ προτέρω] τὸ γενόμενον καὶ προσωτέρω προκόψει ὥστε κακὸν εἶναι. τὸ δὲ προτέρω ἀντὶ τοῦ ἐπὶ πλέον, προσωτέρω, ἐκβολῇ τοῦ σω. B.P.Q.T. Ἄλλως. παρέλκει τὸ ἔμμεναι. ὁ δὲ νοῦς, καὶ εἰς τοὔμπροσθεν ἄρξεται τὸ κακὸν προχωρεῖν αὐτοῦ καὶ μέχρις ἡμῶν τῆς τόλμης τὸ κακὸν φθάσει, τουτέστι καὶ ἡμῶν αὐτῶν ἅψεται. T.

1. τῷ—τῷ] τὸ—τὸ Q.
ἔτι—οὐδὲ μὴν correxi pro ὅτι—οὔτε μήν.
11. Πλούτῳ] 454.
14. οὕτως φάμεν δέ οἱ om. P.
15. οἱ πλείους ὡς δύο P. τινὲς δύο Q.
ἐν δυσὶν ὀξείαις] Conf. schol. Il. ω, 15.
17. ἐπίτασιν Buttm. pro ἐπίστασιν.
19. προενεκτέον Buttm. pro προσενεκτέον.
27. γενόμενον] γινόμενον P.
28. προσωτέρω, ἐκβολῇ τοῦ σω] ἔστι δὲ συγκοπὴ τοῦ προσωτέρω T.

ἀλλά οἱ αὐτῷ] ἐχρῆν ὀρθοτονεῖν τὴν οἱ· ἔστι γὰρ ἀντιδιασταλτικὴ καὶ προηγεῖται τῆς αὐτός· ἀλλ' ὅμως ἐγκλιτικῶς ἀνεγνώσθη. H.

668. πρὶν ἥβης μέτρον ἱκέσθαι, αἱ Ἀριστάρχου. αἱ δὲ κοινότεραι, πρὶν ἡμῖν πῆμα γενέσθαι. H.Q.

670. λοχήσομαι] ἤτοι ἐνεδρεύσω. φυλάξω δὲ τηρήσω. H. 5

671. ἐν πορθμῷ] τῷ διαπεράματι, τῷ στενῷ τόπῳ. πορθμὸς γὰρ λέγεται ἡ στενὴ θάλασσα. E.Q.V. στένωμα τὸ ἀνὰ μέσον γαιῶν. διαφέρει δὲ ἰσθμὸς καὶ πορθμός. ἰσθμὸς μὲν λέγεται τὸ ἀνὰ μέσον θαλάσσης πεδίον, πορθμὸς δὲ τὸ ἐναντίον. T.

Σάμοιό τε] ὅτι τὴν Σάμην Σάμον εἶπεν. ἔστι δὲ Σάμος Ἰωνίας, 10 Σάμος Θρᾴκης, Σάμος Κεφαλληνίας. B.E.T.

672. ἐπισμυγερῶς] ὅπως ἐπὶ κακῷ τῷ ἑαυτοῦ, ἐπιπόνως, ἀθλίως, χαλεπῶς, ἀπὸ τοῦ σμύχω. παρέλκει δὲ ἡ ἐπί. B.E.

673. οὐδεμία ἀντιλογία πρὸς τὸ δυσεπιχείρητον ἢ ἄδικον. ἀλλ' ὁ μὲν ἀπερισκέπτως εἰσηγήσατο, οἱ δὲ ἑτοίμως δέχονται. P. 15

675. πάθος κινεῖ τῇ Πηνελόπῃ τὸ ἐπεισόδιον, ὅταν τὸν Ὀδυσσέα θρηνοῦσα τὴν ἐπὶ τῷ παιδὶ ἀγωνίαν προσλάβῃ. P.

ἄπυστος] ἀνήκουστος. Gl. H.

676. βυσσοδόμευον] ἐμηχανῶντο, κρυφίως συνεβουλεύοντο, εἰς βάθος ἔκρυπτον, ἤτοι ἐν τῷ μυχῷ τῆς αὐτῶν διανοίας διενοοῦντο. B.E.Q. 20 κρυφίως ἐβουλεύοντο. ἐκ τοῦ βυσσὸν, ὃ σημαίνει τὸ ἔνδον, καὶ τοῦ δόμος. T.

677. Μέδων] οὗτος ἐδούλευε τοῖς μνηστῆρσιν ὡς ἐπὶ τὸ πλεῖστον, ἵνα τὰς βουλὰς αὐτῶν διαγγέλλῃ τῇ Πηνελοπείᾳ. ἄλλως τε δὴ καὶ τὰ πρὸς ζωὴν πραγματευόμενος ἐποίει τοῦτο. διὸ οὐδὲ ἀπεκτάνθη σὺν 25 αὐτοῖς. E. πλάττει ὁ Ὅμηρος ὅτι ἔξωθεν τῆς αὐλῆς ὢν ὁ Μέδων ἤκουε τὴν ἐπιβουλὴν τῶν μνηστήρων, ἔνδοθεν ἐκείνων ὄντων. B.

678. αὐλῆς ἐκτὸς ἐών] σημειοῦνταί τινες πρὸς τὸ περὶ τῆς Ὀδυσσέως οἰκήσεως. P.

679. Πηνελοπείῃ] Ἰωνικόν. E. 30

682. ἦ εἰπέμεναι] σημειοῦνται διὰ τὴν ἐν τῷ μέτρῳ συνίζησιν. P.

683. ἔργων παύσασθαι] περιπαθὲς τὸ δυσχεραίνειν ἐπὶ τῇ ἀσωτίᾳ αὐτῶν καὶ βίᾳ τοῦ παιδός. P.

1. ἐχρῆν—ἀνεγνώσθη] Hanc observationem repetit schol. ad o, 285.

6. διαπεράματι H. et Hesychius. διαπεράσματι E.Q. διὰ περάματος V.

7. γαιῶν] γαιὸν T. μεταξὺ δύο γεῶν Eustath. p. 1513, 36.

11. Κεφαλληνίας] κεφαληνίας B.E.T.

14. δυσεπιχείρητον] δυσεπιχείριστον P.

685. ὅτι τὰ ἰσοδυναμοῦντα παράλληλα τέθεικεν, ὕστατα καὶ πύματα. P.

686. διχῶς, οἵ θ' ἅμα, καὶ, οἳ θαμά, ὃ καὶ ἄμεινον, ὡς καλά. H.P.

κατακείρετε] καταναλίσκετε, καταδαπανᾶτε. E.

βίοτον] γράφεται, βρωτόν, ἤγουν τροφήν. E. 5

687. κτῆσιν Τηλεμάχοιο] περιπαθῶς ἄγαν οὐκ ἔφη Ὀδυσσέως, ἀλλὰ Τηλεμάχου. μεῖζον γὰρ φαίνεται τὸ πάθος ὅταν καὶ περὶ ψυχὴν ἐπιβουλευόμενον τοῦτον αἴσθηται, ἥτις οὐδὲ τῆς κτήσεως ἀνέχεται. P.Q.

690. ἐξαίσιον] ἔξω τοῦ καθήκοντος, ἀπὸ τοῦ αἴσιον τὸ ἁρμόδιον. B. 10 τὸ ἔξω τοῦ καθήκοντος, ἔξω αἴσης, ὅ ἐστιν ἄδικον. P.

691. ἐν δήμῳ] τουτέστιν, ἐκ τοῦ δήμου κακολογήσας τινάς. E.

βέλτιον τὸ "ἐν δήμῳ" τοῖς ἄνω προσδίδοσθαι. τὸ δὲ ἐχθαίρῃσιν ἀντὶ τοῦ ἐχθαίρῃ, καὶ τὸ "ἰχθὺς ὅς κε φάγῃσι" (Il. φ, 127.) ἀντὶ τοῦ φάγῃ. B.E.P.Q. 15

ἥτ' ἐστὶ δίκη] ὥσπερ τρόπος ἐστὶ τῶν βασιλέων τὸ ἄλλον μὲν μισεῖν, ἄλλον δὲ φιλεῖν. Καὶ ἄλλως. γνωμικὸς ὁ στίχος περὶ τῶν βασιλέων λεγόμενος, ὅτι τοὺς μὲν μισοῦσι, τοὺς δὲ φιλοῦσιν· ὅπερ οὐ προσῆν Ὀδυσσεῖ. καὶ αὐτὸν οὖν κατ' ἰδίαν προενεκτέον τὸν στίχον. P.Q. 20

τινὲς τὸ μηδὲν ἐξαίσιον δρᾶν. ἀλλ' οὐχ ἁρμόσει ταύτῃ τῇ ἀποδόσει τὰ ἐπιφερόμενα. H.P.

697. εἰ γὰρ δὴ βασίλεια] δαιμονίως ἔχει τὰ τῆς διαθέσεως. ἡ μὲν γὰρ καὶ ἐπὶ τοῖς μετρίοις χαλεπαίνει, ὁ δὲ εὔχεται μὴ δέχεσθαι ἄλλην ἐπίτασιν τὸ τόλμημα τῶν μνηστήρων. P.Q. 25

τινὲς, αἳ γὰρ δή. H.P.Q.

699. et iterum 737. τάχιστα ὅλα ἐξήνεγκε. λέγει γὰρ τὰ φαῦλα συντόμως. P.

700. μεμάασι] προθυμοῦσι. Gl. H.

3. διχῶς om. P.

οἵ θ' ἅμα H. οἳ θάμα (hoc accentu) P. Duplicem scholiasta notat scripturam, οἵ θ' ἅμ' ἀγειρόμενοι (quam H.M. in textu habent) et οἳ θάμ' ἀγειρόμενοι.

14. ἐχθαίρῃ] ἐχθαίροι P.

καὶ τὸ] πρὸς τὸ B.P.

15. φάγῃ scripsi pro φάγοι.

19. προενεκτέον Buttm. pro προσενεκτέον.

21. 22. Hoc scholium in P. appictum est versui 693. Sed videtur referendum esse adhuc ad verba ἥτ' ἐστὶ δίκη. BUTTM. Cum P. consentit H., in quo est τινὲς δὲ τὸ etc.

701. νεισόμενον] τὸ νείσω ποτὲ μὲν διὰ διφθόγγου γράφεται, ποτὲ δὲ διὰ τοῦ ι. γίνονται δὲ καὶ ἀμφότερα οὕτω. νέω τὸ πορεύομαι πρωτότυπον θέμα. ὁ μέλλων νέσω, καὶ ἐπενθέσει τοῦ ι νείσω, καὶ ἐκβολῇ τοῦ ε καὶ προσθέσει τοῦ ι νίσω. θεματοποιεῖται δὲ οὗτος ὁ μέλλων ποτὲ μὲν διφθογγογραφούμενος, ποτὲ δὲ ἰωτογραφούμενος, καὶ ἔχει τὴν κίνησιν εἰς ἐνεστῶτα παθητικὸν, ὡς ἐνταῦθα, οἴκαδε νεισόμενον. B.

νισσόμενον] ἐπανερχόμενον. ἀπὸ τοῦ νέω τὸ πορεύομαι. E.

702. ἠγαθέην] Ῥιανὸς Ἡμαθίην γράφει. H.P.

ἐς Λακεδαίμονα] οὐδὲ ἐνταῦθα ἡ Κρήτη, οὐδὲ Ἰδομενεὺς ὀνομάζεται. H.P.

704. ἀμφασίη] ἀφασία, ἀφωνία. H. ἀφασίη. τὸ δὲ μ περισσόν. B.

705. ἔσχετο] αἱ Ἀριστάρχου "ἔσκετο" ἀντὶ τοῦ ἐγένετο· γέλοιοι γάρ εἰσιν οἱ γράφοντες ἔσχετο. H.P.Q.

707. οὐδέ τί μιν χρεώ] οὐδεμία ἀνάγκη αὐτὸν ἐπιβαίνειν νηῶν. H.

708. αἴθ' ἁλὸς ἵπποι] λείπει τὸ ὡς, ὡς κἀν τῷ "Τηλεμάχου ἑτάρω τε κασιγνήτω τε" (Od. φ, 216.). ἡμάρτηται, διότι ἐν τῷ παθητικῷ οὐ κρατεῖ τοῦ λόγου. ἀλλ' ἔοικεν ὁ ποιητὴς κεχρῆσθαι ποιητικῇ ὁρμῇ, οὐ λογιζόμενος τὸ πρέπον τοῦ προσώπου. P.Q.

709. περόωσι δὲ πουλὺν ἐφ' ὑγρὴν] οἱ ἀρχαῖοι ὁ πολύς καὶ ἡ πολύς ἔγραφον, ὡς ὁ ἠμαθόεις καὶ ἡ ἠμαθόεις καὶ τὰ ἄλλα. E. ἐν σχήματι εἴρηται, ὡς "θερμὸς ἀϋτμή." P.

712. οὐκ οἶδ' εἴ τίς μιν] ἤ τις μιν Ἀρίσταρχος διὰ τοῦ η. καὶ γίνεται ἡ στιγμὴ ἀμφίβολος. εἰ μὲν γὰρ διαζευκτικὸς εἴη, στικτέον πρὸ αὐτοῦ καὶ βαρυντέον τὸν ἑπόμενον, εἰ δὲ ἀντὶ τοῦ συναπτικοῦ κέοιτο τοῦ εἰ, βραχὺ διασταλτέον πρὸ αὐτοῦ. H.P.Q.

714. πατρὸς] λείπει ἡ περί. H.T.

718. πολυκμήτου] τοῦ μετὰ πολλοῦ καμάτου κατασκευασθέντος, ἢ ἐν ᾧ πολλὰ ἔκαμον οἱ κατασκευάσαντες. B.E.H.Q. οὐ κατὰ τὸ ἐπίθετον, ἀλλ' ἔχει τὴν ἀναφορὰν πρὸς τὰ ἔργα τοῦ κατασκευάσαντος αὐτὸν Ὀδυσσέως (Od. ψ, 192.). P.

10. οὐδὲ ἐνταῦθα] Conf. schol. α, 93.

14. αἱ Ἀριστάρχου] ὁ ἀρίσταρχος Q.

23. θερμὸς ἀϋτμή] Vid. schol. ad 442.

25. ἡ στιγμὴ ἀμφίβολος —] Hæc ut aliæ de interpunctione observationis Nicanoris sunt. De hoc loco dixit Friedlaender. de Nic. p. 33.

719. μινύριζον] ποία λέξις; ἡσύχως ἔκλαιον καὶ μικρῶς· μινυὸν γὰρ τὸ μικρόν. E.Q. ἡσύχως ἔκλαιον. H. a m. pr. θρηνῶδες ἐφώνουν. H. a m. sec. T. μεθ' ἡσυχίας ἐφύμνουν, παρὰ τὸ μύρω τὸ ὀδύρομαι, καὶ κατὰ ἀναδιπλασιασμὸν μιμύρω καὶ μινύρω τροπῇ τοῦ μ εἰς ν, καὶ μινυρίζω. T.

720. πᾶσαι ὅσαι] ἄκρως τῇ διαθέσει. ὑπέγραψε γὰρ τὴν μὲν εἰς τοὔδαφος, τὰς δὲ περιεστώσας μετὰ δακρύων. P.Q.

721. ἀδινὸν] τὸ μάλα οἰκτρόν. γίνεται δὲ ἐκ τοῦ ἄδην, ὃ σημαίνει τὸ δαψιλῶς. καὶ ἀδινὸν τὸ συχνὸν καὶ πυκνόν. B.

722. κλῦτε, φίλαι] φίλας καλεῖ τὰς θεραπαίνας οἰκείως τῇ παρ- 10
ούσῃ περιστάσει. τοιοῦτοι γὰρ οἱ δυστυχοῦντες καταβαίνοντες εἰς ταπείνωσιν, ἀπὸ τοῦ ἰδίου ἀξιώματος ἐπαγόμενοι εἰς ἔλεον. H.P.Q.

πέρι γάρ μοι] ὅτι ἐν ἀρχῇ λόγου ὁ γάρ, ὡς καὶ ἐν Ἰλιάδι (η, 328.) "πολλοὶ γὰρ τεθνᾶσι." H.

724. βραχὺ διασταλτέον μετὰ τὸ θυμολέοντα, καὶ Δαναοῖσι, καὶ 15
ἐσθλόν. P.

726. ἐσθλὸν, τοῦ κλέος] περιττὸς ὁ στίχος. καὶ γὰρ προεῖπεν "ἢ πρὶν μὲν πόσιν ἐσθλόν." καὶ οὐκ οἶδεν ὁ Ὅμηρος τὴν καθ' ἡμᾶς Ἑλλάδα, ἀλλὰ τὴν Θεσσαλικὴν οὕτω λέγει καὶ Ἕλληνας τοὺς ἐκεῖθεν. H.Q. 20

καθ' Ἑλλάδα καὶ μέσον Ἄργος] Θεσσαλίαν καὶ Πελοπόννησον. B.T.

727. ἀποκτεῖναι μεμάασιν] ἀνηρείψαντο θύελλαι ἡ χαριεστέρα τῶν Ἀριστάρχου, καὶ ἄλλαι πολλαὶ οὕτως. H. γράφεται "ἀνηρείψαντο θύελλαι." καὶ ἄλλαι δὲ πολλαὶ οὕτως. διὰ τὸ αἰφνίδιον γὰρ καὶ ἀπροφώνητον τῆς ἐξόδου ὡς ἀπολωλότα αὐτὸν θρηνεῖ. E. 25
P.Q.

728. ἀκλέα] ἀγνοούμενον, ἄδοξον· οὐ γὰρ μόνον τὴν ἀπώλειαν ἀπολοφύρεται, ἀλλὰ καὶ τὸν ἀκλεῆ θάνατον. B.E.P.Q.T.

6. ἄκρως (ἄκρως om. Q.) τῇ διαθέσει] Sic schol. ε, 489. ἄκρως τῇ ἐπεξεργασίᾳ. et similiter δαιμονίως τῷ ἐπεισοδίῳ ad ε, 336. καλῶς τῇ τάξει ad ζ, 149. τῇ ὑπερβολῇ δαιμονίως θ, 173. Plene ad θ, 485. δαιμονίως τῇ τάξει ἐχρήσατο.

12. ταπείνωσιν] ταπεινὸν P.

ἀπὸ—ἔλεον om. Q.

18. οὐκ οἶδεν ὁ Ὅμηρος τὴν καθ' ἡμᾶς Ἑλλάδα] Quamobrem versum, qui redit infra 816., obelo notavit Aristarchus, ut colligi potest ex schol. Il. ι, 395.

22. ἀποκτεῖναι μεμάασιν] Sic scriptum etiam in M., qui alteram lectionem in γρ. habet.

Scholion codicis H. sic ut nunc legitur composui. In codice inter Ἀριστάρχου et καὶ ἄλλαι totus interjacet textus. PORSON.

24. ἄλλαι δὲ πολλαὶ] ἄλλα δὲ πολλὰ P.

730. τὸ ἑξῆς, ἐπιστάμεναι σάφα θυμῷ, ὁππότε κεῖνος ἔβη. P. μάλα] γρ. σάφα. H.

732. ὁρμαίνοντα] τινὲς "ὁρμηθέντα" κακῶς. H.P.

733. τῷ κε μάλ'] ἐνταῦθα ἀνέκυπτε τοῦ Τηλεμάχου ἡ πρόνοια λαθεῖν πειραθέντος τὴν μητέρα ἐπὶ τῇ ἐξόδῳ. P.Q. 5

735. ἀλλά τις ὀτρηρὸς] ὅρα τὸ εὔτακτον, μηδ' ἐν τηλικούτῳ δεινῷ γενομένην ἀνεπιτηδείῳ ἀγγέλῳ πρὸς τὸν Λαέρτην χρήσασθαι. H.P.Q.

ὀτρηρῶς] δραστικῶς, σπουδαίως. V.

736. ἔτι δεῦρο κιούσῃ] παρέλκον τὸ ἔτι· τὸ γὰρ κιούσῃ οὐ δέχεται αὐτό. E. 10

737. τάχιστα ὅλα ἐξήνεγκε. λέγει γὰρ τὰ φαῦλα συντόμως. P. (ut ad 699.)

739. μῆτιν ὑφήνας] εἴ τινα ἐξευρὼν μηχανὴν ἐκεῖνος, σύνεσιν, βουλὴν, γνώμην, τέχνην κατασκευάσας. E.

740. λαοῖσιν ὀδύρεται] ἐν τοῖς μνηστῆρσι κλαύσει, καὶ οἰκτειρήσουσι τοῦ μὴ κτεῖναι Τηλέμαχον. B. 15

741. φθῖσαι γόνον] γρ. καὶ φθεῖσθαι δόμον. M.

743. νύμφα φίλη] δεξιῶς οὐ περιμένει τὸν ἔλεγχον οὐδὲ φθάνει. μιᾷ δὲ τῇ μηνύσει καὶ αὐτὴν ἀξίαν τοῦ ἀπολωλέναι φησὶ διὰ τὸ πεισθῆναι τῷ Τηλεμάχῳ. αἰτίαν δὲ τῆς σιωπῆς ὅρκον προβάλλεται. H.P.Q. 20

744. ἢ ἔα ἐν μεγάρῳ] τινὲς δασύνουσι τὸ ἤ ὡς ἄρθρον. τὸ δὲ ἔα ῥῆμα πρώτου προσώπου φασὶν, ἵν' ᾖ, ἥτις ἤμην ἐν τῷ μεγάρῳ. P.Q.

750. βραχὺ διασταλτέον εἰς τὸ ὑδρηναμένη, ἑλοῦσα, γυναιξί, πρὸς τὸ σαφέστερον. P. 25

752. εὔχε'] οὐ παραινεῖ μὴ δακρύειν· οὐ γὰρ πείσει· προτρεπομένη δὲ ἐπ' εὐχὰς καταφεύγειν, ὅθεν λεληθότως παύει τὰ δάκρυα. P.Q.

753. ἡ] δασυντέον τὸ ἡ ἔστι γὰρ ἀντὶ ἀντωνυμίας τῆς αὕτη. P.

4. ἀνέκυπτε] ἀνακύπτεται P.

5. λαθεῖν—ἐξόδῳ] λαθεῖν τὴν μητέρα πειρωμένου Q.

7. χρήσασθαι Buttm. εἰρήσασθαι H.P. εἰρήσεσθαι Q. χρῆσθαι Maius.

8. Sic ed. ant. nam recentt. ita: ὀτρηρός] ἔνιοι, ὀτρηρῶς, δραστικῶς, σπουδαίως. (Vid. not. ad δ, 139.) BUT.

9. τὸ γὰρ Buttm. pro τῇ γάρ.

15. οἰκτειρήσουσι] οἰκτειρίσουσι B.

19. μιᾷ] ἅμα Q.

23. μεγάρῳ] οἴκῳ P.

26. παραινεῖ Buttm. pro παραβαίνει. Quæ correctio peti poterat ex Eustathio p. 1516, 54.

27. δὲ om. Q. Exspectes προτρέπεται δὲ—.

29. αὕτη] αὐτῆς P.

σαώσαι] πρὸ τέλους ἡ ὀξεῖα. ἔστι γὰρ εὐκτικόν. P.

754. μηδὲ γέροντα] οὐ θέλει ὁ Ὅμηρος μηνῦσαι τοῦτο τῷ Λαέρτῃ ὡς ἀπὸ τῆς Πηνελόπης. ἢ γὰρ οὐ πείθει τοὺς Ἰθακησίους, καὶ ἔστι δυσχερὲς αὐτῷ μή πως βιάσωνται αὐτήν· ἢ πείθει αὐτούς, καὶ κωλύουσι τοὺς μνηστῆρας. καὶ τοῦτο ἀπὸ ἱστορίας οὐκ ἔστι τῷ Ὁμήρῳ· εἰ γὰρ συνεστάλησαν οἱ μνηστῆρες, οὐκ ἂν ἀπεκτάνθησαν. E.

755. Ἀρκεισιάδαο ὁ Ἀρκείσιος ἐγέννησε τὸν Λαέρτην, ὁ Λαέρτης τὸν Ὀδυσσέα καὶ ὁ Ὀδυσσεὺς τὸν Τηλέμαχον. Ἀρκεισιάδης οὖν ὁ υἱὸς τοῦ Ἀρκεισίου, ἤτοι ὁ Λαέρτης. B.

756. οἴχεσθ'] γράφεται, ἄχθεσθ'. B.

757. πίονας ἀγρούς] τοὺς πιαίνοντας, ἤτοι λιπαροὺς καὶ πλουσίους ποιοῦντας τοὺς ἀνθρώπους. E.V.

761. ἐν δ' ἔθετ' οὐλοχύτας] ἀντὶ βωμοῦ καθιέρωσε τῷ κανέῳ τὰς κριθάς. H.P.Q.

763. 764. τὸ δίστιχον τοῖς ἑξῆς συνάπτειν βέλτιον. P.

766. ἀπάλαλκε] ἀπότρεψαι. λέγεται γὰρ αὕτη Ἀλαλκομενηΐς. τὸ δὲ "κακῶς ὑπερηνορέοντας" κακῶς βουλευομένους περὶ τοῦ Τηλεμάχου. E.

767. ὀλόλυξε] ὀλοφυρτικὸν ἐφθέγξατο. τὸ δὲ ὀλόλυξεν εὐχὴ γυναικεία. E.

768. μνηστῆρες δ' ὁμάδησαν] θόρυβον ἐποίησαν πρὸς ἀλλήλους διαλεγόμενοι. B.P.Q.T.

769. ὑπερηνορεόντων] ἀπὸ τῶν νέων τῶν ἄγαν ἀνδρείων. E.

770. ἦ μάλα] ἄκρως τὰς δόξας τῶν ἀνθρώπων διελέγχει. πάντα γὰρ ἐλπίζουσι πρὸς τὰς ἐπιθυμίας. ὃ γὰρ βούλεταί τις, τοῦτο καὶ οἴεται. P.Q. πολυμνήστη] ὑπὸ πολλῶν μεμνηστευμένη. H.

771. ἀρτύει] παρασκευάσει. V. ὅ οἱ φόνος] ὅτι φόνος τῷ υἱῷ αὐτῆς ἠὐτρέπισται· ἡ γὰρ οἱ ἀντὶ γενικῆς ἐστι. H.

775. τὸ πάντας τοῖς ἄνω συναπτέον. ἐμφαίνει δὲ καὶ τοῖς ἑξῆς συναπτόμενον. P.

781. ἐν δ' ἱστόν τε τίθεντο] οὐ γὰρ πάντοτε εἶχον τοὺς ἱστοὺς διὰ τὸ μὴ πάντοτε πλεῖν. ὅταν οὖν ἔμελλον πλεῖν, ἐτίθεντο καὶ οἱ ἱστοί. E. πῶς; τῇ εἱρεσίᾳ χρώμενοι· κόσμου χάριν. E.V.

782. τροποῖς] τοῖς λεγομένοις τροπωτῆρσι. B.H.

τροποῖς ἐν δερματίνοισι] δι' ὧν αἱ κῶπαι τρέπονται καὶ στρέφον-

33. κόσμου χάριν] Conf. schol. ad θ, 52.

ται· ἢ ἱμᾶσι τοῖς περιδεδεμένοις ταῖς κώπαις, ἢ τοῖς σκαλμοῖς. E. περισπωμένως. δηλοῖ γὰρ τοὺς τροπωτῆρας, περὶ οὓς αἱ κῶπαι τρέπονται καὶ στρέφονται ἐν ἱμᾶσι τοῖς περιδεδεμένοις ταῖς κώπαις. V.

παρεσκευάσαντο τὰς κώπας τοῖς τροπωτῆροι, περὶ οὓς αἱ κῶπαι τρέπονται. P.Q. 5

783. περιττὸς δοκεῖ οὗτος ὁ στίχος. M.

785. ὑψοῦ δ' ἐν νοτίῳ] ἐν βάθει τοῦ ὕδατος. ἢ ἐπὶ μετεώρῳ. εἰς τὸ νοτιώτερον τῆς γῆς, τουτέστιν ἄνω πολὺ τῆς γῆς, ἐπεὶ μετέωρα φαίνεται τὰ ἐντὸς τῆς θαλάσσης. νοτίῳ δὲ ἢ τῷ πρὸς νότον μέρει, ἢ πρὸς σύγκρισιν τῆς γῆς, ἀντὶ τοῦ ἐν τῷ διύγρῳ. B.E.H.P.Q.T. 10

ἐννοτίῳ] Ἀριστοφάνης εἰνοδίῳ, ὡς ἄν τις εἴποι ἐν ὁδῷ, ἑτοίμην εἰς τὸ πλεῖν. B.E.H.P.Q.

ἐπεὶ τὸ ὥρμισαν καὶ ἐπὶ γῆς λέγεται, ἐπάγει τὸ ἐν νοτίῳ. τὸ δὲ ὑψοῦ ἀντὶ τοῦ ἐν βάθει. τὸ γὰρ ὕψος καὶ βάθος ἔχει. E.P.Q.T. ὑψοῦ δὲ ἐν βαθυτέρῳ τόπῳ. E.P.Q. 15

ἐν ὕψει, ἐν τῷ κατωτέρω τόπῳ. νοτίῳ] τῷ διύγρῳ. οἱ δὲ ἐννοτίῳ, τῷ πρὸς νότον τόπῳ. V.

ὥρμισαν] ἡσύχως ἑστάναι τὴν ναῦν ἐποίησαν. P.V.

786. ἕσπερον] τὴν ἑσπέραν ἕσπερον εἶπεν. Gl. H.

787. ἡ δ' ὑπερῷ' ἀναβᾶσα] γράφεται, ἡ δ' ὑπερῴῳ αὖθι. M.Q. 20

788. Ῥιανός, κεῖτ' ἄρ' ἄναυδος. καὶ ἔστιν αὕτη χαριεστέρα ἡ γραφή. H.P.

791. ὅσσα δὲ μερμήριξε] πρὸς τὸ πυκνὸν τῆς μερίμνης ἡ παραβολή. P.Q.

792. δόλιον περὶ κύκλον ἄγωσι] κύκλον ἂν εἴποι τὸ δίκτυον. H. 25 δόλον, κύκλῳ τὸ δίκτυον. T. ἤτοι περικυκλώσουσι. B.

793. ἐπήλυθε νήδυμος ὕπνος] ἀγνοοῦσί τινες τὸ νήδυμος ὕπνος

6. περιττὸς—] Totum versum om. H. et cod. Vindob.

7. ἐν βάθει P.T. τῷ βάθει ceteri.

εἰς τὸ—γῆς] P. [et H.] ita: εἰς τὸ νοτερὸν τῆς γῆς ὑψοῦ δ' ἐν νοτίῳ. ἄνω πολὺ τῆς γῆς. BUTTM.

11. εἰνοδίῳ] ἐννοδίῳ P. Conf. schol. ad θ, 55. et Hesych. s. v. ἐννοδίῳ. Aristophanes tamen non εἰνοδίῳ, sed εἰνόδιον potius scripsisse videtur Lehrsio Aristarch. p. 134; ἐννοδίῳ probat Nauck. Aristoph. p. 45.

14. ὑψοῦ Buttm. pro ὕψος. δὲ om. E.Q.

16. κατωτέρω] Immo ἀνωτέρω. βαθυτέρῳ Barnes. ex MSS.

ἐννοτίῳ MSS. Barnesii. Vulgo ἐν νοτίῳ.

20. ὑπερῷ' ἀναβᾶσα] Hoc in textu habet M., alteram scripturam a m. rec. in margine.

25. κύκλον ἂν εἴποι τὸ δίκτυον] οὐκ οὖν ἂν εἴποι δόλιον περὶ κύκλον τὸ δίκτυον H.

ἀποδιδόντες τὸ ἡδύς. ἔστι δὲ νήδυμος ὁ μὴ δύνων μηδὲ περιεχόμενος, ἀλλ' αὐτὸς περιέχων. καὶ οὕτως λέγουσιν "οὐδέ μιν ὕπνος ἤρει πανδαμάτωρ" (Il. ω, 4.). τὸ δὲ νη στερητικὸν καὶ ἐν τῷ νήγρετος. ἥδιστος καὶ θανάτῳ ἄγχιστα ἐοικώς. καὶ ἐπ' ἄλλων περιεχόντων καὶ κατειληφότων τὸν ὅλον λέγει "ἀμφὶ δέ μιν θάνατος χύτο" (Il. ν, 544.), "τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε" (Il. ρ, 591.), καὶ "θείη δέ μιν ἀμφέχυτ' ὀμφή" (Il. β, 41.), "θεσπεσίην δ' ἄρα τῷγε χάριν κατέχευεν Ἀθήνη" (Od. ρ, 63.). καὶ "λιμένες ναύλοχοι ἀμφίδυμοι" (Od. δ, 846.) λέγει, εἰς οὓς ἔστι δύνειν. ὅθεν καὶ δίδυμοι, δύο ἐκ μιᾶς καταδύσεως τῆς ἐκ γαστρός. Ε.

794. λύθεν δὲ οἱ ἅψεα] ὁ γὰρ ὕπνος ἐκλύει καὶ χαῦνα ποιεῖ τὰ μέλη. διὰ τοῦτο καὶ λυσιμελής, ἀπὸ τοῦ τὰ μέλη ἤτοι τὰς φροντίδας λύειν. Ε. τὰ βουλεύματα, ἐκ μεταφορᾶς τῶν δεσμῶν· κυρίως γὰρ ἅψεα τὰ δεσμὰ λέγουσι Τ. ἅψεα δὲ τὰ μέλη φησὶν, ἀπὸ τοῦ συνῆφθαι. V. ὅτι οὕτως λέγει τὰς συναφὰς τῶν μελῶν, οὐ τὰ μέλη. οὐκ οὖν ἂν εἴποιμι μηρὸν ἢ χεῖρα ἅψεα. P.Q.

796. εἴδωλον ποίησε] οὐ δι' ἑαυτῆς ἔρχεται ἡ Ἀθηνᾶ, ἵνα μὴ ἀναγκασθῇ τι εἰπεῖν περὶ Ὀδυσσέως καὶ λυθῇ τὰ τῆς ὑποθέσεως. P.Q.

797. Ἰφθίμῃ κούρῃ] ἀμφιβάλλει Ἀρίσταρχος πότερον ἐπίθετον τὸ ἰφθίμη, ἢ κύριον. P. τὸ Ἰφθίμη ὄνομα κύριον, ὅτι γενναία ἦν. λέγει δὲ τὴν ἀδελφὴν τῆς Πηνελόπης. Ε. οὕτως ἐκαλεῖτο κυρίως ἡ ἀδελφὴ τῆς Πηνελόπης. Ἄσιος δέ φησι "Κοῦραί τ' Ἰκαρίοιο, Μέδη καὶ Πηνελόπεια." τινὲς δὲ Ὑψιπύλην λέγουσι. M. οὕτως— Πηνελόπεια. Ἄνδρων δὲ Ὑψιπύλην λέγει. MS. Barnes. Ἰκαρίου καὶ Ἀστεροδίας τῆς Εὐρυπύλου τοῦ Τελέστορος γίνονται παῖδες

5. ἀμφὶ δέ μιν] In loco ipso nunc est οἷ: quo pacto diversa sine caussa est structura in hoc versu et in illo qui mox affertur Il. β, 41. Restituenda itaque hinc videtur verior scriptura μίν etiam Il. ν, 544. BUTTM.

8. ἀμφίδυμοι λέγει Buttm. ἀμφίδυμοι δύο λέγων E.

14. τὰ μέλη—συνῆφθαι habet etiam Q.

15. μελῶν—εἴποιμι] μελῶν. καὶ τὰ μέλη οὐκ ἂν εἴποιμι Q.

22. οὕτως—τῆς Πηνελόπης] Hæc verba sunt etiam in V.

24. Μέδη] In scholio proximo Μήδη: qua forma si uti voluisset Asius, Ἰκαρίου scribendum fuisset.

Ὑψιπύλην in scholio MS. Barnes. in ὀηπύλην corruptum.

25. Ἰκαρίου] Icarii uxorem et liberos varie traditos vid. ap. Apollod. 3, 10, 6. et ibi Heyn. Paus. 8, 34. Eust. ad Od. ο, 16. p. 563, 12. item supra schol. α, [275. et] 277. et infra ο, 16. Nomen Ἀστεροδίας per δ habes in utroque scholio citato. Pro Τελεύτονος in schol.

Ἀμάσιχος, Φαληρεὺς, Θόων, Φερεμμελίας, Περίλαος, θυγατέρες δὲ Πηνελόπη καὶ Μήδη ἢ Ὑψιπύλη ἢ Λαοδάμεια. Δίδυμος δὲ Ἀμειράκην φησὶ προσαγορεύεσθαι τὴν Πηνελόπην, ἢ Ἀρνακίαν. Ναυπλίου δὲ ῥίψαντος αὐτὴν εἰς θάλασσαν διὰ ποινὴν Παλαμήδους, ὑπὸ πηνελόπων αὐτὴν σωθεῖσαν οὕτως ὀνομασθῆναι. ἐν δὲ ἐπιμερισμῷ τοῦ, μῆνιν ἄειδε θεά, Πηνελόπην αὐτήν φησι λελέχθαι, παρὰ τὸ πένεσθαι τὸ λῶπος. H.P.Q.

798. Φερῆς] ἐν ταῖς Φεραῖς. Φεραὶ δὲ πόλις Μεσσηνίας. V.

800. εἴως] εἴως ἀντὶ τοῦ ὅπως. δασυντέον τὸ εἴως, ὅπως. H.

802. παρὰ κληῖδος ἱμάντα] ἀντιστρόφως. H. ἀντιστροφή· παρὰ τὴν κλεῖδα, ἥτις ἱμάντα εἶχε παρὰ τὸ κλεῖθρον. B.E.V. διὰ τῆς ὀπῆς τοῦ ἱμάντος, ᾧ ἔξωθεν ἐπέκλειον τὸ κλεῖθρον, ὅπερ κληῖδα λέγει. B.E.P.Q. ἱμάντος, ᾧ ἔξωθεν ἐπέκλειον τὸ κλεῖθρον, ὅπερ κληῖδα λέγει. B.E.P.Q.

805. οὐ μέν σ' οὐδὲ] τὸ οὐ μέν καὶ τὸ οὐδέν ἀντὶ τοῦ οὐδαμῶς λαμβάνεται. E.

ο, 16. invenies probabiliorem formam Τελέστορος. Pro Ἀμάσιχος in schol. α, 277. Ἀμάσικλος, in quo nomine latet Apollodori Ἰμεύσιμος: nisi hoc etiam mendosum verumque nomen ubique reponendum est Ἀμεύσιμος. Θόωνα alii Θόαντα vocant. Περίλαον s. Περίλεων Apollodorus etiam et Pausanias memorant deque eo vid. Heyn. l. c. BUTTM.

P. 236, 27. Ἀστεροδίας] Ἀστεροδείας potius scribendum esse dixi ad α, 275. ἀστεροπίας Q.

Τελέστορος ex schol. ad ο, 16. τελεύτονος P. τελευτῶντος Q.

P. 237, 1. Ἀμάσιχος] Verum fortasse Δαμάσικλος, quod M. præbuit ad α, 275., ubi H. ἀμάσικλος, quod est in scholio ad α, 277.

Φαληρεὺς] In H. φαρηρεὺς esse dicitur.

Φερεμμελίας correxi pro Μερεμμελίας. Nomen comparandum cum vocabulo epico ἐϋμμελίης.

2. Ὑψιπύλη] ὀψιπύλη Q.

3. Ἀμειράκην Eustathius p. 1422, 8. quod recepi, licet vitii suspectum sit. ἀμιράκιν H. ἀμεράκιν P.Q.

Ἀρνακίαν Eustathius. Libri ἀναρκίαν. Ἀρναίαν Tzetz. ad Lycophr. 792.

5. ἐν δὲ ἐπιμερισμῷ] οὐ γὰρ ἐπὶ μερισμῷ H.Q.

6. φησι] Mediol. e Q. φασί; in P. incertum φησί an φασί. Illud prætuli, ut Didymus hoc etiam tradiderit et quidem in libro cui titulus esset Ἐπιμερισμὸς τοῦ Μῆνιν ἄειδε θεά. De vocabulo autem Ἐπιμερισμοὶ vel ἐπιμερισμὸς vel ἡ μερικὴ προσῳδία Boissonadius (in præf. ad Herodiani Epimerismos p. 9.) docet, indicari eo "syllabas initiales, medias et finales in quibus scribendis ob vocalium ἀντιστοίχων (e. g. ε et αι) sonum dubium aliquid sit difficultatis." Ejusmodi itaque libellum in primam Iliadis rhapsodiam scripsit Didymus, in quo obiter de Penelopes etiam nomine egisse videtur. BUTTM.

8. Confundit scholiasta Φερὰς Thessaliæ et Φαρὰς (vel Φηρὰς) Messeniæ.

12. ᾧ—κλεῖθρον om. B.E., ὅπερ κ. λέγει om. B.E.Q.

15. οὐδαμῶς restituit Buttm. pro ῥᾳδίως, quod est gl. ad ῥεῖα adscriptum.

ῥεῖα ζώοντες] ῥᾳδίως καὶ ἀπόνως ζῶντες. H.

806. ἐλπίζων ἀνακομισθῆναι καὶ σωθῆναι. P.V.

οἱ πλείους, ἀκάχησθαι, ὡς λέγεσθαι, ὡς Αἰολικῆς τῆς κλίσεως οὔσης. ὁ δὲ Ἀσκαλωνίτης ὡς πεποιῆσθαι. H.P.

807. ἀλιτήμενος] ἐστὶ ῥῆμα πρωτότυπον ἀλείτω. τούτου ὁ δεύτερος ἀόριστος ἤλιτον, ὁ μέλλων δεύτερος ἀλιτῶ. θεματοποιεῖται οὖν ὁ μέλλων δεύτερος καὶ γίνεται ἀλιτέω ἀλιτῶ. τούτου ὁ παθητικὸς παρακείμενος ἠλίτημαι, ἡ μετοχὴ ὁ ἠλιτημένος. ὥσπερ δὲ τὸ ἀλαλήμενος καὶ ἀκαχήμενος, οὕτω καὶ ἀλιτήμενος. B. οὐχ ἡμαρτηκὼς εἰς τοὺς θεούς, ἀλλὰ τοὐναντίον προσφιλής. B.H.P.T. τὸ δὲ ἀλιτημένος εἰ μὲν παροξύνεται, παρακείμενός ἐστι κατὰ συστολὴν τῆς ἀρχούσης· εἰ δὲ προπαροξύνεται, ἐνεστώς ἐστιν Αἰολικὸς, ὡς ἀλαλήμενος καὶ ἀκαχήμενος. T.

809. κνώσσουσ' ἐν ὀνειρείῃσι πύλῃσιν] ἀντὶ τοῦ ἐν βάθει τοῦ ὕπνου· διὰ γὰρ τούτου ἔρχεται τὰ ὀνείρατα. E.H.Q.V.

814. ἢ πρὶν μὲν πόσιν] περιπαθὲς τὸ μηδ' ἐν τοῖς ὀνείροις ἀπεῖναι τὴν τοῦ ἀνδρὸς μνήμην. P.Q.

818. νήπιος, οὔτε πόνων] ὅρα τὸ ἐνοχλοῦν. οὐ γὰρ ὅτι ἐπιβουλεύεται, ἀλλ' ὅτι ἄπειρος τυγχάνει ἔργων καὶ λόγων. τούτων γὰρ καὶ ὁ Φοῖνιξ διδάσκαλος ἕπεσθαι τῷ Ἀχιλλεῖ φησι, "τοὔνεκά με προέηκε διδασκέμεναι τάδε πάντα, μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρα τε ἔργων" (Il. ι, 442.). H.P.Q.

819. τοῦ δὴ ἐγὼ καὶ μᾶλλον] γυναικείως τῷ ἤθει. καὶ γὰρ εἰ τὰ μάλιστα στέργουσι τοὺς ἄνδρας, ἐν τοῖς ὑπὲρ τῶν ψυχῶν κινδύνοις μᾶλλον ὑπὲρ τῶν τέκνων ἀγωνιῶσιν. P.Q.

824. εἴδωλον ἀμαυρόν] ἐκ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ μαίρω τὸ λάμπω ἀμαιρόν, καὶ τροπῇ τοῦ ι εἰς υ. ἢ τὸ ταχὺ, τὸ ἅμα αὔραις φερόμενον. ἢ τὸ ἀσθενὲς, τὸ ὡς σκιὰ φαινόμενον. B.E.Q. ἀσθενὲς, δυσθεώρητον, ἅμα ταῖς αὔραις φερόμενον. τὸ δὲ τήν ὡς πρὸς τὴν φανεῖσαν ὄψιν, ἀλλ' οὐ τὸ εἴδωλον. H.P.T.

1. In P. hoc scholium signo refertur ad (805.) θεοὶ ῥ. ζ.: in V. sine lemmate adhæret glossæ ad ῥεῖα ζώοντες. BUTTM.
9. οὐχ om. H.T.
14. βάθει V. βαθυτάτῳ E.H.Q.
15. τὰ ὀνείρατα] ὄνειρος H.
20. Φοῖνιξ] φοίνιξ P.Q.
ἕπεσθαι] ἕπεται H.
21. πρηκτῆρα] πρηστῆρα Q.
29. δυσθεώρητον H.T. δυσθήρατον P.
τὸ δὲ τὴν—] Hæc spectant ad v. 830., ubi eadem habet B. et supra ad v. 808. BUTTM.
30. τὴν om. T.
ἀλλ' addidi ex T.

826. ἅμ' ἔρχεται] γρ. ἅμ' ἕπεται. H.

827. καὶ ἀμύνειν] γρ.δύναται γάρ. P.

830. περίφρων Πηνελόπεια] περιπαθὲς τὸ οὕτως νηφαλέως ἐν τῷ ὀνείρῳ τὴν Πηνελόπην ἔχειν. τοιοῦτοι δὲ οἱ ἄνθρωποι μετὰ τὰ κατεπείγοντα πολυπραγμονοῦντες καὶ περὶ τῶν λοιπῶν. P.Q. 5

836. οὐ μέν τοι κεῖνόν γε διηνεκέως ἀγορεύσω] ἀντὶ τοῦ περὶ ἐκείνου ἕως τέλους τὰ πάντα εἴπω. ἢ ἀκριβῶς. B.E.Q. κεῖνον] ἀντὶ τὰ περὶ ἐκείνου. P.T.

διηνεκέως] σαφῶς, ἀκριβῶς, ἕως τέλους τὰ πάντα. P.V.

837. ἀνεμώλια] τὰ μὴ ἐπιστάμενα μηνύειν. H. ἀνεμόλια, καὶ 10 κράσει τῶν δύο οο εἰς ω μέγα. E.

838. σταθμοῖο] τῆς παραστάδος. B.E.V.

ὅτι νῦν περὶ εἰδώλου ὁ λόγος. διὰ δὲ τῆς αὐτῆς ὀπῆς ἔξεισιν. P.

840. φίλον δέ οἱ ἦτορ ἰάνθη] κατ' ἐκεῖνο, ὅτι περὶ τοῦ υἱοῦ ἐθάρσυνεν αὐτήν. H.P.Q. 15

841. νυκτὸς ἀμολγῷ] ἐν τῇ τοῦ μεσονυκτίου ὥρᾳ, καθ' ἣν ἄρα συμβέβηκεν ἀμέλγεσθαι τὰ ζῷα. τινὲς ἀπὸ ἀμογῶ, ὅταν οὐδεὶς μογεῖ, ὅπερ ἐστὶ κακοπαθεῖ, ἀλλὰ ἀναπαύεται. τινὲς ἀπὸ ἀμολῶ, ὅταν οὐδεὶς μολήσει, ὅ ἐστι βαδίσει. πάντα δὲ ταῦτα εἰς τὴν τοῦ μεσονυκτίου ὥραν καταστρέφει. E.H.Q. ἐν τ. τ. μ. ὥρᾳ. καὶ 20 ἔστι κατὰ τὸ ἔτυμον ἤτοι ἀμολγῷ, καθ' ἣν ὥραν συμβέβηκε μὴ ἀμόλγεσθαι τὰ ζῷα, ἢ κατὰ ἀφαίρεσιν τοῦ γ, ἀμολῷ, καθ' ἣν ὥραν οὐδεὶς μολίσκει, ὅ ἐστι βαδίζει. ἢ κατὰ ἀφαίρεσιν τοῦ λ, ἀμογῷ, καθ' ἣν ὥραν οὐδεὶς μογεῖ, ὅπερ ἐστὶ κακοπαθεῖ, ἀλλ' ἀναπαύεται. ταῦτα δὲ πάντα κ. τ. λ. H.P.V. μέσῳ τῆς νυκτός. νόει δὲ τὸ 25 ἀμολγῷ ἤτοι ὁπότε οὐκ ἀμέλγει τις, ἢ ἡνίκα τις οὐ μολεῖ, ἀμολός καὶ πλεονασμῷ τοῦ γ ἀμολγός. B.

1. ἕπεται] Lege ἕσπεται. PORS. Sane in edit. Steph. γρ. ἅμ' ἕσπεται et in Palatini textu est ἁμ' ἕσπεται. Tamen natam hanc scripturam suspicor e glossa ἕπεται. Certe nullum aliud illius præsentis formæ exemplum novi. Nam ἕσπωνται, ἐσποίμην, ἑσπόμενος omnia sunt aoristi, ut ἑσπέσθαι. Retinendum igitur utique in Homeri textu ἁμ' ἔρχεται, ut tutum. Ipsæ autem hæ formæ, ἕσπωνται cet. in eandem cadunt disquisitionem quam de infinitivo ἑσπέσθαι movi ad χ, 324. BUTTM.

14. ἐκεῖνο] ἐκεῖνα H.P.

17. 18. ἀπὸ] Scrib. ἀπὸ τοῦ.

21. μὴ ἀμέλγεσθαι] Hoc sane illo συμβέβηκεν ἀμ. in E.Q. verius: sed ita duplex α esset audiendum. BUTTM.

22. τὰ et ἢ om. H.

25. ταῦτα δὲ πάντα] πάντα δὲ ταῦτα H.

245. Σάμοιο] ὅτι τὴν Σάμην Σάμον λέγει. H.

παιπαλοέσσης] τὰ σκληρὰ καὶ κατάξηρα εὐκόλως καὶ χνοώδη γίνονται καὶ ὡσανεὶ παιπάλη. B.

846. Ἀστερίς] ὄνομα νήσου κειμένης μέσον Ἰθάκης καὶ Σάμου. P.Q.V. ὄνομα νήσου ἐπιτηδείας πρὸς τὸ τὰς ναῦς λοχᾶν, ἢ νηῶν δεκτικὴ, οἱονεὶ λέχη νηῶν. E.

ναύλοχοι] νῆας φυλάττοντες. B. ἐν οἷς αἱ νῆες λοχῶσαι καὶ ἐνεδρεύουσαι λαθεῖν δύνανται. ἢ οἱ τὰς ναῦς ὑποδεχόμενοι τόποι. H.P.Q.V. οἱ εὔδιοι καὶ καλοί· καὶ γίνεται παρὰ τὸ ναῦς καὶ τὸ λόχω τὸ κοιμῶμαι, ἐν ᾧ αἱ νῆες ἀναπαύονται. T.

ἔνι] ἔνεισι. διὸ ἀναστρέφεται. P.

847. ἀμφίδυμοι] διττοὶ, ἀμφοτέρωθεν εἰσδύσεις, τουτέστιν ἐξ ἑκατέρου μέρους εἴσπλους καὶ καταγωγὰς ἔχοντες. ἢ διπλοῖ, εἰς οὓς ἔστι δύνειν, ἢ ἑκατέρωθεν εἰσδύσεις ἔχοντες. B.E.P.Q.V.

τῇ τόνγε μένον] ἐκεῖ ἐν τῇ νήσῳ. ἢ ἑκατέρωθεν τῆς νήσου. B.E.

E.

ΥΠΟΘΕΣΙΣ.

Ἐκκλησίαν τῶν θεῶν δευτέραν ποιησάμενος ὁ Ζεὺς Ἑρμῆν πέμπει πρὸς Καλυψὼ κελεύων ἀποπέμπειν τὸν Ὀδυσσέα. ἡ δὲ τὸ κελευσθὲν ποιεῖ. τῇ δὲ ὀκτωκαιδεκάτῃ ἡμέρᾳ ἰδὼν αὐτὸν ὁ Ποσειδῶν καὶ χαλεπήνας, λύει τὴν σχεδίαν. Ἰνὼ δὲ αὐτῷ κρήδεμνον δίδωσιν ἐντειλαμένη ἐπιβάντι τῆς γῆς ἀπορρῖψαι αὐτό. καὶ πολλὰ παθὼν εἰς τὴν τῶν Φαιάκων χώραν ἔρχεται διασωθείς. P.Q.V.

---

1. Τιθωνοῖο] Τιθωνὸς Λαομέδοντος παῖς, Πριάμου ἀδελφὸς, Ἠοῦς ἀνήρ. ὁ Ἐνδυμίων λέγεται συνευνᾶσθαι τῇ Σελήνῃ καὶ ὁ Τιθωνὸς τῇ Ἡμέρᾳ. ἀλληγορεῖται δὲ οὕτως. ὁ Ἐνδυμίων εἰς ἄνδρα κυνηγέτην, καὶ τῇ μὲν νυκτὶ κοιμώμενον, τῇ δὲ ἡμέρᾳ οὐδὲ ποσῶς, διὰ τὸ ἠσχολῆσθαι περὶ τὰ κυνηγέσια· ὁ δὲ Τιθωνὸς εἰς ἀστρονόμον καὶ τῇ

12. Pars hujus scholii est in H. ἀμφίδυμοι δὲ οἱ ἀμφοτέρωθεν εἰσδύσεις ἔχοντες, εἴσπλους καὶ καταγωγάς. In P.V. sunt verba ἀμφοτέρωθεν—διπλοῖ.

13. εἴσπλους καὶ P.V. εἰς πλοῦν B.E.Q., omisso καί.

18—23. Hoc argumentum legitur etiam apud Eustath. p. 1520.

μὲν ἡμέρᾳ κοιμώμενον, τῇ δὲ νυκτὶ ἐπαγρυπνοῦντα, διὰ τὸ ἡσχολῆσθαι περὶ τὰ ἄστρα. V.

ἠὼς σημαίνει ἕξ· ἠὼς ἡ πρωΐα· ἠὼς τὸ ἀπὸ πρωΐας μέχρι μεσημβρίας· ἠὼς τὸ ἀπὸ μέσης ἡμέρας ἕως ἑσπέρας· ἠὼς τὸ νυχθήμερον· ἠὼς ἡ ἀπὸ πρωΐας ἕως ἑσπέρας· καὶ Ἠὼς ἡ σωματοειδὴς θεὰ, ὡς ἐνταῦθα. μῦθος δέ ἐστιν ὅτι ἡ Ἠὼς ἠράσθη τοῦ Τιθωνοῦ καὶ ἐμίγνυτο αὐτῷ. ἐζήτησε δὲ ἀπαθανατισθῆναι, καὶ ἐγένετο αὐτῷ. οὐκ ἐζήτησε δὲ καὶ τὸ μὴ γηράσαι, καὶ ἔζη πολλὰ ἔτη γέρων ὤν. καὶ ἀγανακτήσας τὸ γῆρας ἐζήτησε τοὺς θεοὺς μεταβαλεῖν αὐτὸν εἰς ὄρνεον, καὶ μετεβλήθη εἰς τέττιγα, ἡ δ' Ἠὼς ἀθάνατον ἐποίησεν αὐτόν. καλῶς δὲ τοῦ Τιθωνοῦ γυνὴ λέγεται ἡ Ἠώς. ὁ γὰρ Τιθωνὸς ἀλληγορεῖται εἰς τὸν ἥλιον, καὶ ἡλίου μὴ ὄντος, οὐδὲ ἡμέρα. ὅταν δὲ δύνῃ, τρόπον τινὰ συνεννάζεται τῇ ἡμέρᾳ ἐν νυκτὶ, ἀνίσταται δὲ ἡ ἡμέρα ἐκ τοῦ σκότους τοῦ ἡλίου ἀνατείλαντος. λέγεται δὲ καὶ ὅτι ἡ Ἄρτεμις ἀνεῖλεν αὐτὸν, ἤτοι ἡ σελήνη. τοὺς γὰρ αἰφνιδίους θανάτους ταύτῃ καὶ τῷ ἡλίῳ ἀνετίθουν, ἤτοι τῷ Ἀπόλλωνι. ἡ δὲ θεραπεία τοῦ μύθου, ὅτι τοὺς ἔτι νέους ὄντας καὶ αἰφνιδίως ἀποθνήσκοντας ἔλεγον ἁρπάζεσθαι παρὰ τῆς Ἠοῦς. καὶ σὺν τούτοις ἡρπάγη καὶ ὁ Τιθωνός. διὸ καὶ τοὺς οὕτω θνήσκοντας ἔθαπτον πρὸ τοῦ τὴν ἠῶ παντελῶς ἀνατεῖλαι. ἔλεγον δέ τινες ὅτι ἡ πρόνοια καὶ ἡ εὐταξία ἀπὸ τῶν ἀνθρωπίνων σωμάτων ἄχρι τῆς σελήνης ἐστὶ, τὰ δὲ ἄλλα ἀτάκτως καὶ ὡς ἔτυχε φέρονται διὰ τὰς ἀστραπὰς, τοὺς σεισμοὺς, τὰς ἀνεμοζάλας καὶ τὰ τοιαῦτα. ὁ δὲ Ὅμηρος ἄθροισιν τῶν θεῶν τὴν ἄνω πρόνοιαν λέγει, καθημένην ἐκεῖ καὶ τὰ τῇδε οἰκονομοῦσαν καὶ ὑπὲρ τῶνδε βουλευομένην. ὅτι δὲ λαλεῖν αὐτούς φησι, τοῦ μύθου· ἐπεὶ καὶ σωματοειδῶς αὐτοὺς παριστᾷ ὁμιλοῦντας. E.

2. ἵν' ἀθανάτοισι φόως φέροι ἠδὲ βροτοῖσιν] ἢ ὅτι ἔθος ἦν τοῖς παλαιοῖς μὴ ἐᾶν ὁρᾶσθαι νέκυν εὐγενῆ παρὰ τοῦ ἡλίου, ἀλλὰ θάπτειν τοῦτον πρὸ τοῦ ἀνατεῖλαι τὸν ἥλιον· ἢ λέγουσιν ὅτι ἡ Ἠὼς ἠράσθη τοῦ Τιθωνοῦ καὶ ἥρπαξε τοῦτον, υἱὸν ὄντα Λαομέδοντος, ἀδελφὸν τοῦ

9. ἐζήτησε τοὺς θεοὺς] Cum accusativo constructum ex more recentiorum scriptorum, quorum exempla attuli in Thesauro vol. 4. p. 34.

16. θεραπεία] Idem fere quod ἑρμηνεία. De simili usu verbi θεραπεύειν dixi in Thesauro vol. 4. p. 323. De sepultura matutina cf. infra p. 256, 4.

23. ἄθροισιν] ἄθρησιν E. Correxit Struvius.

Πριάμου. ἀλληγορικῶς δὲ Τιθωνὸς ἡ πρωΐα, ἐν ᾗ τίθενται τὰ ὤνια. B.

τοῖς μὲν βροτοῖς δεόντως· τοῖς δὲ ἀθανάτοις διὰ τί; μὴ οὐκ ἔστι τοῖς θεοῖς φῶς; ἀλλ' ἐνταῦθα φῶς τὸ ἡλιακόν φησιν. ἢ ἀθανάτους τὰ στοιχεῖα ὑποληπτέον, ὃ καὶ κρεῖττον. E. 5

ἀθανάτοισι] τοῖς στοιχείοις. τὰ στοιχεῖα ἤγουν τοὺς ἀστέρας ἢ τοὺς οἰκοῦντας τὸν καλούμενον τόπον Ὄλυμπον, διότι ὁμοίως τοῖς θεοῖς καὶ αὐτοὶ ἔζων. P.

3. οἱ δὲ θεοὶ] οἱ φίλοι τοῦ Ὀδυσσέως. P.

δευτέρα αὕτη περὶ τοῦ Ὀδυσσέως θεῶν ἐκκλησία. ἡ μὲν γὰρ πρώτη 10 βουλὴ περὶ τοῦ σώζεσθαι Ὀδυσσέα, αὕτη δὲ περὶ τοῦ πῶς. κατὰ μὲν τὴν πρώτην ἐκκλησίαν ὁ Ζεὺς παρεῖχεν ἀφορμὴν τῇ Ἀθηνᾷ αὐτὸς ἐναρχόμενος τοῦ λόγου, νῦν δὲ ἡ Ἀθηνᾶ κατάρχεται. καὶ οὐκ ἐκεῖνα λέγει περὶ τοῦ σώζεσθαι αὐτὸν, "ἀλλά μοι ἀμφ' Ὀδυσῆϊ δαΐφρονι δαίεται ἦτορ δυσμόρῳ, ὃς δὴ δηθὰ φίλων ἄπο τῆλ' ἀλάληται" (α, 15 49.), ἀλλὰ τῶν πολιτῶν καταβοᾷ, ὅτι ἐπὶ τοσοῦτον ἀμνημονοῦσι τοῦ ἄρχοντος ὥστε καὶ τῷ υἱῷ αὐτοῦ ἐπιβουλεύειν. ἐν μέσῳ δὲ κατετέθη τὰ περὶ τοῦ Ὀδυσσέως. H.P.Q.T.

5. τοῖσι δ' Ἀθηναίη] ἄλλη ἡ ἄνω φρόνησις καὶ ἄλλη ἡ τῶν ἀνθρώπων. ἡ μὲν γὰρ τῶν ἀνθρώπων πολλάκις ἁμαρτάνει τοῦ δέοντος, 20 ἡ δὲ ἄνω ἤτοι τῆς προνοίας οὐδέποτε. E.

7. ἐκ τῆς ἐν Ἰλιάδι Νέστορος εὐχῆς μετατέθειται. P.

8. ἀγανὸς] ἄγαν τοῖς λόγοις ἱέμενος, ἢ ἡδυλόγος. P.

11. ὡς οὔτις] ἄμεινον ἀφ' ἑτέρας ἀρχῆς ἀναγινώσκειν, ἵν' ᾖ θαυμαστικόν. P. 25

13. ἀλλ' ὁ μὲν—] οἰκειότερον ἐν Ἰλιάδι (β, 721.) κεῖται περὶ Φιλοκτήτου. νῦν δὲ ἔδει τετιημένος ἦτορ εἶναι. H.

16. οὐ γάρ οἱ πάρα νῆες] λεληθότως ἀφορμὴν παρέχει τῷ πατρὶ περὶ τοῦ τρόπου τῆς σωτηρίας αὐτοῦ διατάξασθαι. Q.T. ἀναστρεπτέον τὴν παρά· ἀντὶ γὰρ τοῦ πάρεισί ἐστι. P. πάρεισιν. Gl. H. 30

10. Hoc scholion in T. adscriptum est versui 1., in libris ceteris in duo scholia divisum est, quorum prius δευτέρα—περὶ τοῦ πῶς versui 3., alterum κατὰ—τοῦ Ὀδυσσέως versui 8. adscriptum.

περὶ τοῦ Ὀδυσσέως om. Q.

11. πῶς. κατὰ] πῶς. τὸ αὐτὸ κατὰ T. Illud τὸ αὐτό nihil aliud esse videtur quam εἰς τὸ αὐτό, quod scholiis ut ἄλλως præscribi solet.

15. ὃς—φίλων] ὃ—φίλω κ' H.P.

ἄπο τῆλ'] ἀπὸ τῇδ' Q. In T. est ἄπο πήματα πάσχει.

17. αὐτοῦ ἐ.] ἐ. αὐτοῦ T.

30 πάρεισι] εἰσι P.

22. ὁ νοῦς, ποῖος λόγος ἐξῆλθε τῶν χειλέων σου; Η.

23. οὐ γὰρ δὴ] τοῦτο ἐν ἐρωτήσει προενεκτέον. E.P.V. ἐβούλευσας] ἐβουλεύσω, ἐσκέψω. E.V.

25. ἀπαλλάττει ἀγωνίας τὸν ἀκροατὴν ἐπὶ τῷ Τηλεμάχῳ. P.T.

26. ὥς κε μάλ' ἀσκηθὴς] σχέθω, ἀσχεθής καὶ ἀσκηθής, ἤγουν ἀβλαβής, ὁ μὴ παθὼν ἀεικέλια μηδ' ἄσχετα. τούτῳ ἴσον τὸ ἀρτεμής. E. ὑγιὴς ἐξ ἐπιμελείας. V. 5

27. παλιμπετὲς] ἀντὶ τοῦ παλιμπετεῖς, ὡς "ἐς δ' ἐρέτας ἐπιτηδὲς ἀγείρομεν" (Il. α, 142.). B.P. ἐξ ὑποστροφῆς, εἰς τὰ ὀπίσω. V. εἰς τοὐπίσω στρεφόμενοι. P. 10

29. Ἑρμεία] ἐκτατέον τὸ α διὰ τὸ μέτρον, ὁμοίως τῷ "ἀποπέσῃσιν" (Od. ω, 7.). H. ἐν μὲν Ἰλιάδι τῇ Ἴριδι χρῆται διακόνῳ, καταπληκτικὴ γὰρ καὶ τοῖς πολεμικοῖς ἐοικυῖα· ἡ δὲ Ὀδύσσεια μυθώδης ἐστίν, ὡς καὶ ὁ Ἑρμῆς. παρατηρητέον δ' ὅτι καὶ ἐν Ἰλιάδι ἅπαξ ἐπέμφθη τῷ τοῖς λύτροις διασῶσαι τὸν Πρίαμον. H.P.Q.T. ὡς συγγενῆ ὄντα τῆς Ἀτλαντίδος Καλυψοῦς αὐτὸν πέμπει. P.Q.T. 15

σὺ γὰρ αὖτε] σὺ γὰρ κατὰ ἄλλα ὑπάρχεις, ἐν τοῖς θεοῖς δηλονότι, ἤτοι ὅμοιος τοῖς θεοῖς ἐσσι, εἶ δὲ καὶ ἄγγελος. ἢ ἔξωθεν τὸ γενοῦ, ἵν' ᾖ, σὺ γὰρ κατὰ ἄλλα ὅμοιος τοῖς θεοῖς, γενοῦ δὲ καὶ ἄγγελος. B. ἀντὶ τοῦ ἐπεί· οὐ γὰρ προτίθεται ὁ γάρ. E. 20

30. εἰπεῖν] ἀφ' ἑτέρας ἀρχῆς ἀναγνωστέον. ἀπαρέμφατον γάρ ἐστιν ἀντὶ προστακτικοῦ τοῦ εἰπέ. P.

33. σχεδίης] ἡ ὀρθὴ εὐθεῖα σχεδίη παροξυτόνως. H. λείπει νεώς, τῆς αὐτοσχεδίως πηχθείσης. V. λείπει νεώς. ἡ δὲ σχεδία πηδάλιον οὐκ ἔχει. P.T. εἶδος πλοίου. H.Q. 25

ὥσπερ παρὰ τὸ ἀμφαδὸν ἐγένετο ἀμφάδιος καὶ ἀμφαδία, οὕτω καὶ παρὰ τὸ σχεδὸν σχέδιος λόγος, ὁ μὴ ἀναβολὴν ἔχων κατασκευῆς, ἀλλ' ἐκ τοῦ συνεχοῦς λεγόμενος, καὶ σχεδία ναῦς. E.H.P.Q. πολυδέσμου δὲ ἀντὶ πολυγόμφου. E.Q. ἤτοι γόμφοις ἐμπεπηγμέ-

2. προενεκτέον Buttm. pro προσενεκτέον.

11. ὁμοίως τῷ scripsi pro ὁμοίως τό.

13. πολεμικοῖς vel πολέμοις Buttm. pro πολεμίοις.

14. ὁ Ἑρμῆς] γράφεται ἑρμῆς Q.

15. τῷ τοῖς λύτροις] ἐν τοῖς λύτροις H. Schol. dicere debebat ἐπέμφθη πρὸς τὸν Πρίαμον, ὅπως λύτροις διασώσαι τὸν νεκρὸν τοῦ Ἕκτορος. Vid. Il. α, 144.

17. Schol. legisse videtur τά τ' ἄλλα καὶ ἄγγελος. BUTTM.

21. τὸ ἀπαρ. ἀντὶ τοῦ π. etiam in E.

23. σχεδίη] σχεδίως H.

26. ἐγένετο addidi ex H.

ἀμφαδία H.P. ἀμφαδίως E.Q. Conf. Eustath. p. 1521, 28.

28. συνεχοῦς] σύνεγγυς E.Q.T.

νης. Q. πολλοῖς ἐμπεπηγμένης γόμφοις. H.P. et Ms. Barnes. πολλοὺς σχοίνους ἐχούσης. B.

34. ἤματί κ' εἰκοστῷ] χωρὶς τοῦ κε αἱ κοινότεραι. H.

Σχερίην] Σχερία ἐκαλεῖτο ἡ νῆσος τῶν Φαιάκων, τὸ δὲ μετὰ ταῦτα ἐκλήθη Κέρκυρα. τὸ δὲ ἀρχαιότατον ἐκαλεῖτο Δρεπάνη. P.V. ἡ Σχερία τὸ μὲν πρῶτον ἐκαλεῖτο Δρεπάνη διὰ τὸ ἐκεῖ φυλάττεσθαι τὴν δρεπάνην τὴν τμητικὴν τῶν τοῦ Κρόνου αἰδοίων. ἐκλήθη δὲ Σχερία διὰ τὸ δεηθῆναι τὴν Δήμητραν τοῦ Ποσειδῶνος ὥστε στῆναι τὴν ῥοὴν τῶν ὑδάτων τῶν μελλόντων προσχῶσαι αὐτὴν ὡς πολλῶν ἐπεισρευσάντων. σχεθέντων οὖν τῶν ὑδάτων Σχερία ἐκλήθη. μετὰ δὲ ταῦτα μετωνομάσθη, Κέρκυρα καλουμένη. E.

35. Φαιήκων ἐς γαῖαν] Κέρκυραν τὴν Ἀσωπίδα ἀγαγὼν αὐτόθι Ποσειδῶν καὶ μιγεὶς ἴσχει παῖδα Φαίακα, ἀφ' οὗ οἱ Φαίακες. P.Q.T.

ἀγχίθεοι] ἐγγὺς αἵματος θεῶν. H.T. ἤτοι καθότι τρίτοι εἰσὶν ἀπὸ Ποσειδῶνος οἱ βασιλεῖς αὐτῶν, ἢ ὅτι εὐδαίμονές εἰσιν, ἢ καθὸ οἱ θεοὶ συνδιατρίβουσιν αὐτοῖς καὶ εὐωχοῦνται. V. διὰ τὴν εὐδαιμονίαν καὶ τὴν εὐπάθειαν, ἢ διὰ τὴν εὐγένειαν· ἀπὸ γὰρ Ποσειδῶνος τρίτοι εἰσὶν οἱ βασιλεῖς αὐτῶν· ἢ καθὸ οἱ θεοὶ συνδιατρίβουσιν αὐτοῖς καὶ εὐωχοῦνται διὰ τὴν φιλοξενίαν. E.

38. ἐσθῆτά τε δόντες] ψιλωτέον τὸ ἐσθῆτα. πᾶν γὰρ φωνῆεν τὸ σ ἔχον ἐπιφερομένου δασέος ψιλοῦται, ἀσχάλλων, ἆσθμα, ἐσθλός, ὄσχος. B.H.P.

39. Τροίης ἐξήρατο] διαιρετέον. τὸ γὰρ ἑξῆς, Τροίης ἀπὸ ληΐδος, ἀπὸ τῆς Τρωϊκῆς λείας, ἐξαίρετα ἔλαβεν. H.P.V. Τροίης δισυλλάβως, ἵνα τὴν χώραν ἀκούσωμεν. P.

ἐξήρατ' Ὀδυσσεύς] ὡς ἐξαίρετα ἔλαβεν, ἢ πλείονα τῶν ἄλλων. E.

40. λαχὼν] κληρωσάμενος. P.V.

ἀπὸ ληΐδος] ἡ ἀπό παρέλκει. διὸ τηρεῖ τὸν τόνον. P.

αἶσαν] αἰτῶ ἐπὶ τῶν μὴ ἀντιστρεφομένων, αἰτοῦμαι δὲ ἐπὶ τῶν ἀντιστρεφομένων. B.

43. ὣς ἔφατο] μετηνέχθησαν οὐ δεόντως ἐντεῦθεν εἰς τὰ περὶ τῆς

12. τὴν Ἀσωπίδα] Vid. Pausan. 2, 5. et alios. BUTTM.

13. ἀφ' οὗ οἱ Φ.] καὶ ἐξ αὐτοῦ φ. T.

15. ἀγχίθεοι] τὸ δὲ ἀγχίθεοι T.

22. ἐπιφερομένου δασέος H. ἐπιφερόμενον μετὰ δασέος B.P.

23. ὄσχος] ἄσχος H. ἐσθής B.

25. ἐξαίρετα ἔλαβεν om. P.V.

32. μετηνέχθησαν] Versus 43—

Ἀθηνᾶς ἐν α᾽ λεγόμενα (α, 96.) καὶ εἰς τὰ περὶ Ἑρμοῦ ἡνίκα ἀπ᾽ Ὀλύμπου εἰς τὴν Τροίαν κάτεισιν (Il. ω, 339.). H.P.Q.

διάκτορος] ἐκ τοῦ διάκτωρ διάκτορος. καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν. ἢ παρὰ τὸ διάτορος ὁ μεγάλως φωνῶν, πλεονασμῷ τοῦ κ. E.

45. τά μιν φέρον] ὁ λόγος γὰρ ἐν χάρταις γραφόμενος φέρεται διά τε θαλάσσης καὶ ξηρᾶς καὶ πανταχοῦ. τοῦτο γὰρ αἰνίττεται τὸ καὶ ἐφ᾽ ὑγρὴν καὶ ἐπ᾽ ἀπείρονα γαῖαν. B.

47. εἵλετο δὲ ῥάβδον] λόγου παραίνεσιν νοητέον τὴν τοῦ Ἑρμοῦ ῥάβδον, ὥστε ψυχὰς μὲν τεταραγμένας παύειν, ἐκλελυμένας δὲ διεγείρειν. E.V. ὀρθότητα λόγου σημαίνει ἡ ῥάβδος. τοὺς μὲν νήφοντας κηλεῖ, τοὺς δὲ ἠκαιρημένους ὀρθοῖ, καὶ ψυχὰς παραγομένας παύει, ἐκλελυμένας δὲ διεγείρει. H.P.Q.T. οὐδὲν δέ φασιν ὄφελος ἐνθάδε ῥάβδου, ὥσπερ ἐν Ἰλιάδι (ω, 445.) πρὸς τὸ κοιμίσαι τοὺς πυλωρούς. οὐ συνορῶσι δὲ ὅτι ἴδιά τινά ἐστι θεῶν φορήματα, ὡς εἴ τις μέμφοιτο ὅτι Ποσειδῶν εἰς Αἰθιοπίαν πορευόμενος τὴν τρίαιναν ἔχει. P.Q.T.

Ἄλλως. κατὰ τὰς κοινὰς ἐννοίας Ἀθηνᾷ μὲν ἔγχος, Ποσειδῶνι δὲ τρίαιναν, Ἑρμῇ δὲ ῥάβδον παρατίθησιν. λόγος γὰρ ὢν τοὺς μὲν λυσσῶντας καταπραΰνει, τοὺς δὲ χαλίφρονας μεριμνητὰς λόγων ἐργάζεται. H.P.Q. βραχὺ τὸ α τοῦ ῥάβδον. P.

49. iisdem verbis perscripti leguntur Il. ω, 339—345., pluribus vero mutatis vel additis in Odyssea α, 96—101., ubi 97—101. προηθετῆσθαι (ab Aristophane) dicuntur in scholiis.

1. Ἑρμοῦ] ἐμοῦ H.P.

9. παραίνεσιν] ὀρθότητα V.

11. ὀρθότητα λόγου σημαίνει T. in quo hoc scholion præfixo ἄλλως legitur post scholion proximum. ὀρθοτάτου λόγου σημεῖον ceteri.

12. ἠκαιρημένους] εἰκῆ ἐρριμμένους T. παραγομένας H. παραγενομένας P. Q. Illud confirmat etiam T. qui ψυχὴν παραγομένην habet, licet in plurali ἐκλελυμένας consentiat.

13. διεγείρει] ἐγείρει T.

δέ om. T.

φασιν] φησιν Q.

14. ῥάβδου] τῆς ῥάβδου T.

κοιμίσαι] κατακοιμῆσαι T.

15. φορήματα] φρονήματα H.Q.

16. τὴν τρίαιναν ἔχει] διατί τρίαιναν ἔχει P.Q. Correxi ex T. in quo est ἔχει τὴν τρίαιναν.

19. λόγος γὰρ ὢν τοὺς λυσσῶντας] ὁ λόγος γὰρ τοὺς μὲν λυποῦντας T. Verba λόγος γὰρ ὢν—ἐργάζεται habet etiam E., sed supra lin. 10. post διεγείρειν.

20. λόγων om. P.Q.

21. ἐργάζεται] Post hoc verbum T. pergit, ἐκ τοῦ Ἡρακλείτου. καὶ μὴν καὶ ἡ Καλιψὼ — — οὐδὲν ἐν ἀνθρώποις λόγου. (Hæc ex scholio ad v. 85.) Tum sequuntur verba ex Heraclito (c. 68.) excerpta δεῖ δὲ ἡμᾶς—ἀφορμὴν χαρίζεσθαι, de quibus v. ad v. 121.

ῥάβδον] In codicibus interdum ῥᾶβδος scribitur.

50. Πιερίην] ὄρος Μακεδονίας Μουσῶν ἱερόν. E.Q.V. ἐπίηρος γὰρ ὁ λόγος. E.Q. ὄνομα ὄρους ἐν τῇ Θρᾴκῃ. B.

Πιερίης ἐπιβὰς] ἀναγκαῖον τὸ ἔπος, ὅτι ὄρος Ὄλυμπος θεῶν οἰκητήριον κατὰ τὸν ποιητήν. εἰς δὲ τὸ "ἐξ αἰθέρος" βραχὺ διασταλτέον. δαιμονίως δὲ ἐπὶ μὲν τοῦ ἐδάφους ἐπιβῆναι, ἐπὶ δὲ τῆς θαλάσσης ἐμπεσεῖν φησι. H.P.

ἐξ αἰθέρος ἔμπεσε] ἀθρόως, οἰκειοθελῶς, ὡς οἱ νήχοντες. E.

51. λάρῳ ὄρνιθι ἐοικώς] τὴν ὁρμὴν, οὐ τὸ σῶμα. λάρος δὲ ὄρνεον θαλάσσιον. V. κατὰ τὴν ὁρμὴν, οὐ κατὰ τὴν μορφὴν, ὡς καὶ "Ἶρις μολυβδαίνῃ ἰκέλη" (Il. ω, 80.). P.

διὰ τί λάρῳ καὶ μὴ ἀετῷ ἐοικὼς ἢ ἄλλῳ τινὶ τοιούτῳ; διότι οὔτ' ἀετὸς οὔτ' ἄλλο τι χερσαῖον ὄρνεον δύναται πλέειν ὡς τῶν πτερῶν ἠραιωμένων ὄντων, ὁ δὲ λάρος θαλάσσιος καὶ πυκνότερος. καὶ οὐκ ἦν ὁμοιωθῆναι ἄλλῳ τινὶ θαλασσίῳ δι' εἶδος, ἀλλὰ διὰ τὸ λαμπρὸν καὶ λευκὸν τοῦ θεοῦ· τοιοῦτος γὰρ καὶ ὁ λάρος· ὡς τῷ ἡλίῳ ὁ κύκνος ἀνατίθεται. E.

52. ἀτρυγέτοιο] ἢ τὴν μὴ τρυγωμένην διὰ τὸ πικρὸν τοῦ ὕδατος, ἢ τὴν ἣν οὐ δύναταί τις τρυγῆσαι διὰ τὸ πολὺ τοῦ ὕδατος. B.

53. ἰχθῦς ἀγρώσσων] ἡ ἀμφιβολία τῆς διαστολῆς οὐδὲ τοὺς ἐξηγησαμένους ἔλαθεν. ἤτοι γὰρ ἀγρώσσων πυκινῶς, ἢ πυκνοτέρα ἡ

1. ἐπίηρος] ἐπίερος E.Q. Correxi ex Eustath. p. 1522, 44.

4. κατὰ τὸν ποιητήν] Rationem quære ad v. 55. BUTTM. Conf. schol. Il. ξ, 266. et Lehrs. Aristarch. p. 170.

6. φησι om. P.

9. ὁρμὴν, οὐ κατὰ τὴν addidit Buttm.

15. λάρος Struvius. λόγος E.

19. ἡ ἀμφιβολία τῆς διαστολῆς] Dubitarunt utrum πυκινὰ pro adverbio πυκινῶς acceptum cum verbo ἀγρώσσων conjungendum esset, an πυκινὰ πτερὰ dixisset poeta: quem vix opus moneri non tam absurde locuturum fuisse ut adverbio πυκινῶς adjectivum præferret πυκινά ita collocatum ut nemo non cum πτερά sit conjuncturus, quum præsertim πυκινός vel πυκνός frequens sit alarum epitheton.

20. ἢ πυκνοτέρα ἡ πύκνωσις] Similitudo verborum hic quoque lacunam protulit, sic fere supplendam: ἢ, πυκινὰ πτερά. τῶν γὰρ πτερῶν ἐν τοῖς θαλασσίοις πυκνοτέρα ἡ πύκνωσις κ. τ. λ. BUTTM. Lacunam recte animadvertit Buttmannus, sed parum probabiliter explevit servato πυκνοτέρα ἡ πύκνωσις, quod πυκνοτέρα ἡ πτέρωσις dicendum fuisset. Locum integriorem in libro suo legit neglectus hic ut alibi a Buttmanno Eustathius p. 1522, 60. — πυκινὰ πτερὰ δεύεται ἅλμῃ· τοῦτο δὲ ἴδιον τῶν ἐναλίων ὀρνίθων, οἷα τῆς φύσεως, ὥς φησι Πίος (scr. Πῖος), τὴν πύκνωσιν παρεσχημένης τοῖς ἐξ ὑγρῶν ποριζομένοις τὸ ζῆν, ἵνα μὴ ῥᾳδίως πρὸς τὴν σάρκα διικνούμενον τὸ ὑγρὸν πημαίνῃ αὐτήν. Ex quibus colligi potest scholiastæ verba sic fere esse redintegranda, ἤτοι γὰρ ἀγρώσσων πυκινά, τουτέστι πυ-

πύκνωσις τυγχάνει, τῆς φύσεως πρὸς τὴν χρείαν αὐτοῖς ταύτην σκέπην πορισαμένης, ὡς μὴ ῥᾳδίως πρὸς τὴν σάρκα διικνούμενον τὸ ὑγρὸν πημαίνοι. H.P.Q. τὸ πυκινά δύναται καὶ τὸ πυκνῶς καὶ τὸ πυκνά. P.

54. τῷ ἴκελος—] προσέθηκέ τις οὐ δεόντως τὸν στίχον. καὶ μέντοι καὶ βραδύτερον πορεύεται μὴ χρώμενος τῷ ἰδίῳ τάχει, ἀλλ' ἐποχούμενος κύμασι καὶ μιμούμενος λάρον κατὰ τὸ ἔπος. H.P.Q.

55. ἀλλ' ὅτε δὴ τὴν νῆσον] πρὸς τὰ περὶ τῆς πλάνης, ὅτι πόρρω που ἐν ἐκτετοπισμένοις τόποις ἀορίστοις. φησὶ γοῦν τηλόθι που τὴν νῆσον εἶναι. καὶ πρὸς τὰ περὶ Ὀλύμπου σεσημείωται. εἰ γὰρ μὴ ἀπὸ Μακεδονίας ὁ θεὸς ἐξορμᾷ, ἀλλ' ἄνωθεν ἐξ οὐρανοῦ, οὐκ ἂν πολλὴν ἐπῆλθεν, ἕως εἰς τὴν νῆσον παραγένηται, ἀλλ' εὐθὺς βουληθεὶς κατὰ κάθετον γενόμενος. P.Q.

56. ἤπειρόνδε] τὸ ἤπειρον ἄμεινον τοῖς ἄνω συνάπτειν· ἐκβὰς ἐπὶ τὴν ἤπειρον ἐκ τῆς θαλάσσης. P.Q. καταχρηστικῶς ἀντὶ τοῦ ἐπὶ τὸ ξηρὸν, ὡς καὶ ἐπὶ τῆς Ἰθάκης "ἠπείρῳ ἐπέκελσεν" (ν, 114.). H.P.T.

57. ᾧ ἔνι] ἐν ᾧ. V.

58. τέτμεν] κατέλαβεν. ἐκ μεταφορᾶς τῶν τὴν ὁδὸν τεμνόντων καὶ καταλαβόντων τὸ διωκόμενον. τὸ δὲ τέτμεν, τέτομεν, καὶ ἐκβολῇ τοῦ ο, ὡς τὸ ἴδομεν ἴδμεν. E. τέτμεν ἀντὶ τοῦ μετὰ σπουδῆς καὶ συντομίας κατέλαβεν. B.

59. τηλόσε] πόρρω. V.

60. εὐκεάτοιο] ἢ εὐτρίπτου, ἢ εὐκαύστου. B. εὐσχίστου εἶδος δένδρου, ἢ εὐκαύστου. E. εὐκατακλάστου. Q. εὐσχίστου, ἢ καλῶς καιομένου. T. εὐκατασκευάστου, εὐκλάστου, εὐσχίστου. V.

κινῶς, ἢ πυκινὰ πτερά· τοιαύτη γὰρ, ὥς φησι Πῖος, τῶν ἐναλίων ὀρνίθων ἡ πύκνωσις τυγχάνει, τῆς φύσεως etc. Pii aliquoties in scholiis ad Odysseam mentio fit.

1. φύσεως] χρήσεως H.

3. πημαίνοι] ποιμαίνει H.P.Q. Correxi ex verbis Eustathii.

5. προσέθηκέ τις—] Scholion in H.P.Q. versui 51. adscriptum huc transtuli cum Eustath. p. 1522, 62.

8. πρὸς τὰ περὶ τῆς πλάνης—] Conf. schol. δ, 556. ζ, 204. Est autem hæc haud dubie Aristarchi nota: vid. Lehrs. Aristarch. p. 250.

9. ἐκτετοπισμένοις] De hoc usu verbi v. Lehrs. l. c. p. 254.

10. σεσημείωται] Hoc verbum in Q. omissum et ejus loco, in Mediol. certe, ad sequentia novum lemma Ἔνθ' ἐκ πόντου βάς positum est. BUTTM.

12. παραγένηται] παραγίνεται P.

24. εὐτρίπτου Buttm. pro εὐπίπτου.

26. εὐκατασκευάστου] εὐκατακεάστυο Struvius.

61. γράφεται καὶ οὕτως, δαιομένων, νύμφη δὲ εὔπλοκαμοῦσα Καλυψώ. H.P.Q.

62. ἱστὸν ἐποιχομένη] διότι μέγα ἦν, ἐπορεύετο κάμνουσα αὐτό. E.

64. κλήθρη] εὕρηται ὁ αἴγειρος καὶ ὁ πρῖνος, τὸ δὲ κυπάρισσος μόνον θηλυκῶς. H.P.Q.T.

65. ταυυσίπτεροι] οἱ ἐν τῇ πτήσει τείνοντες τὰ πτερά. σκῶπες δὲ ὄρνεα νυκτονόμα κακόφωνα. B.P.Q.V. σκαιόπες οὖν τινές. V. σκῶπες παρὰ τὸ σκαιὰν ὄπα ἔχειν, ἢ παρὰ τὸ ἐν τῇ σκιᾷ, ἤγουν τῇ νυκτὶ, τὴν ὦπα ἔχειν. T.

66. ταυύγλωσσοι δὲ μεγαλόγλωσσοι. τὰς αἰθυίας δέ φησι. B. P.Q.

67. θαλάσσια ἔργα] αἱ ἐν τῇ θαλάσσῃ διατριβαί. P.V.

μέμηλεν] γρ. μεμήλει. H.

68. ἡ δ' αὐτοῦ τετάνυστο] διὰ τοῦ ἡ ἐμφαίνει τὴν ἀναφορὰν καὶ ἐξοχὴν τῆς ἀμπέλου πρὸς τὰ ἄλλα δένδρη. H. τὴν ἄμπελον τετάσθαι περὶ τὸ σπήλαιόν φησιν ὥσπερ στέφανόν τινα. εὐμορφοτέρα δὲ γίνεται ἄμπελος βότρυσιν ἀνθοῦσα, ὃ δηλοῖ διὰ τοῦ ἡβώωσα. P.Q.

69. ἡμερὶς ἡβώωσα] τὴν ἄμπελον εἶπεν· ἅπαξ δὲ ἐνταῦθα τὸ ὄνομα· πρὸς ἀντιδιαστολὴν τῆς ἀγρίας. E.P.Q. τὸ ἡβώωσα ἀντὶ τοῦ ἀκμάζουσα. E.Q.

71. πλησίαι ἀλλήλων] ὅρα τὴν τάξιν. οὐ γὰρ τῷ περὶ τῶν δένδρων λόγῳ καὶ τοὺς λειμῶνας ὑπέθηκεν, ἀλλ' εἰπὼν περὶ τοῦ ὕδατος, τοὺς ὑπ' αὐτοῦ ἀνθοῦντας λειμῶνας δείκνυσιν. Q.T.

ἄλλυδις ἄλλη] ἄλλη ἀλλαχοῦ. τὸ ἄλλη εὐθεῖά ἐστιν, ὅθεν ἄνευ τοῦ ι γραπτέον. V. ἄλλυδις ἀντὶ τοῦ ἀλλαχοῦ. τὸ δὲ ἄλλη εὐθεῖα, ὅθεν οὐδὲ τὸ ἰῶτα προσγραπτέον. P.

72. λειμῶνες μαλακοὶ] κακῶς τινες περιέσπασαν, ἵν' ᾖ μαλακοὶ,

5. μόνον] μόνως H.

8. σκιᾷ] σκαιᾷ T. Correxi ex Eustathio p. 1523, 56. Porro in T. σκῶπες : σκαιοὶ τὴν ὄπα ὄρνιθες, καὶ ἕτερα μεγαλόγλωσσα τὰς αἰθυίας φασί :—

10. αἰθυίας] αἰθάλας Q. Conf. schol. α, 441.

14. ἡ δ'] Sic lemma cod. Pal. pro ἡδ'. Nam e Q. lemma tantum affertur αὐτοῦ τετάνυστο. BUTTM.

15. τετάσθαι περὶ correxi pro περιπετάσθαι.

17. διὰ τοῦ] διὰ τὸ P.Q.

25. Recte Barnes. e MSS. suis pro ἐπίρρημα reposuit εὐθεῖα (v. mox Pal.) laudans simul schol. ad 369. ubi est ἄλλη ἐπίρρημά ἐστι καὶ μετὰ τοῦ ἰῶτα γραπτέον. BUTTM.

28. μαλακοὶ, ἁπαλοί] Scr. μαλακοῦ, ἁπαλοῦ, quorum verborum po-

ἁπαλοί. ἀλλαχοῦ γὰρ λέγει "ὑδρηλοὶ μαλακοί" (Od. ι, 133.). V. τινὲς δὲ περισπῶσιν, ἵν' ᾖ κατὰ συναλοιφὴν τὸ μαλακοί, οὐκ εὖ. H.

ἴου ἠὲ σελίνου] τὸ ἴον εἶδος βοτάνης πλατυφύλλου ὅμοιον σελίνῳ. T. τὸ σέλινόν τινες ἐτυμολογοῦσιν ὅτι σευόμενον ἐξ ἕλους. ἔστιν ὅτε καὶ τὸν Ὅμηρον ἐτυμολογοῦντα προσθεῖναι ἑλεόθρεπτόν τε σέλινον. δυνάμει γὰρ τὸ τρέφεσθαι σημαίνει τὸ σεύεσθαι. διώκεται γὰρ ἀπὸ τῆς αὔξης τὰ τρεφόμενα. λύειν γὰρ τὴν στραγγουρίαν τῶν ἵππων τὴν ἐκ τάσεως πολλῆς ἢ ἀργίας γινομένην τὸ σέλινον. ὅθεν καὶ τὸν Ὅμηρον τεχνικῶς φῆσαι ἐπὶ τῶν Ἀχιλλέως ἵππων "λωτὸν ἐρεπτόμενοι ἑλεόθρεπτόν τε σέλινον ἔστασαν" (Il. β, 776.). B.

74. θηήσαιτο] ἀντὶ τοῦ θαυμάσειεν. ἐν δὲ τοῖς ἑξῆς ἡμῖν συνήθως "ἔνθα στὰς θηεῖτο." P.

75. θηεῖτο] ἐθεᾶτο. H.

76. θηήσατο] ἐθεᾶτο, ἐθαύμασεν· πρόσκειται γὰρ τῷ θυμῷ. H.

79. οὐ γάρ τ' ἀγνῶτες] οὐ γὰρ τῷ προεωρακέναι, ἀλλὰ κατά τινα θείαν δύναμιν ἐγνώρισεν ἰδοῦσα ἡ Καλυψὼ τὸν Ἑρμῆν. ψεύδεται οὖν Ὀδυσσεὺς ὅταν λέγῃ "ταῦτα δ' ἐγὼν ἤκουσα Καλυψοῦς ἠϋκόμοιο· ἡ δ' ἔφη Ἑρμείαο διάκτορος αὐτὴ ἀκοῦσαι" (α, 389.). οὐδέπω γὰρ αὐτὸν ἑωράκει. τὸ δ' "οὐδ' εἴ τις ἀπόπροθι δώματα ναίει," πρὸς τὰ περὶ τῶν θεῶν οἰκητήρια συμβάλλεται. ὡς γὰρ ἐπὶ ὑποκειμένων τόπων τὰ τῶν διαστημάτων λαμβάνει. P.Q.

80. οὐδ' εἴ τις] Ἀρίσταρχος, οὐδ' ἥτις. H.P.

Ἀρίσταρχος, ναίει, ὁριστικῶς. H.P.

81. οὐδ' ἄρ' Ὀδυσσῆα] ἑτέρα δὲ ἐπίτασις τῆς Ὀδυσσέως ἐγκρατείας, εἴ γε τὰ οὕτως ἐπαγωγὰ περιορᾷ. ἔοικε δὲ ὁ ποιητὴς ἐφ'

sterius interpretamentum est, et quidem violæ tantum aptum, non prato. Sed mirum, hanc varietatem μαλακοῦ pro μαλακοί, solo accentu indicari, τινὲς περιέσπασαν: ut dixeris derivatum hoc ex antiquioris grammatici libro, cui ante oculos fuisset prisca scriptura ΜΑΛΑΚΟΙΟ h. e. μαλακοῦ ἴου, vel μαλακοὶ ἴου. BUTTM. Probabilius Cobetus conjicit fuisse qui μαλακοῖ ἴου scriberent, quod merito ut imperite excogitatum notat scholiasta, quum litera ο genitivi illius elidi non possit. σίου var. lect. ap. Eustath.

3. σελίνῳ correxi pro σελίνου.

14. πρόσκειται γὰρ τῷ (fort. τὸ) θυμῷ] Hæc verba habet etiam P.

15. προεωρακέναι] Recta scriptura προεορακέναι est, sed ω relinquendum scholiastis aliisque inferiorum temporum scriptoribus.

23. ὁριστικῶς] Erant igitur qui legerent ναίοι. PORSON.

ἑτέρα δὲ ἐπίτασις H. ἑτέρα δὲ om. T. ἑτεὸν ἐπίτασις Q. ἄλλως. ἐπίτασις P. in quo hoc scholion subjunctum est scholio ad v. 82.

25. ἔοικε δὲ (καὶ add. H.Q.)—] Inde ab his verbis hoc scholion spectat potius ad v. 75. BUTTM.

ἑαυτῷ ἐπιφθέγξασθαι, ὡς τὸ τοιοῦτον ἀναπλάσας χωρίον τῷ λόγῳ ὥστε κρατεῖν καὶ θεῶν ὄψεως. δύο δὲ τρόποι ἐμφάσεως, ὁ μὲν διὰ τῆς καθ' ἕκαστον ἐπεξεργασίας, ὁ δὲ διὰ τοῦ συμπεράσματος. H.P.Q.T.

Ἄλλως. τὸ μὲν εἰς τὸ περιπαθὲς, οἷος Ὀδυσσεὺς ἐν τῇ νήσῳ ἀπειλημμένος καὶ διημερεύων ἐπὶ τῇ ἀκτῇ. σιωπᾷ δὲ τοῦ εὐπρεποῦς χάριν· οὐ γὰρ ἔδει περὶ τοῦ παρόντος τοῦ ἀνδρὸς ἀπερικαλύπτως θεοὺς ἀλλήλοις διαλέγεσθαι. H.P.Q.

82. ἔνθα πάρος περ] τὸ "ἔνθα πάρος περ" μεταξὺ ἀναπεφώνηται. καὶ ἔστι πλήρης ὁ λόγος μέχρι τοῦ "θυμὸν ἐρέχθων," ὡς μάτην προσκεῖσθαι τὸν μετ' αὐτὸν ἑξῆς "πόντον ἐπ' ἀτρύγετον δερκέσκετο δάκρυα λείβων." P.Q.

83. στοναχῇσι] διὰ τοῦ ε στεναχῇσιν αἱ Ἀριστοφάνους. H.P.

ἐρέχθων] μίμημα φωνῆς ἐπὶ στεναγμοῦ ἐξερχομένης. B.E.H. διασχίζων, κατατέμνων· ὅθεν καὶ ἐρεικτὰ ὄσπρια. ἢ ἐν αὐτῷ λυπούμενος καὶ στένων. B.E.H. τὸ δὲ ἐρέχθων, κατατέμνων, διασχίζων· ὅθεν καὶ ἐρικτὰ ὄσπρια. πλεονασμὸς δὲ τοῦ χῖ. P.T. ἐρέχθων, ὡς κατέσθων. δῆλον δὲ ἐκ τοῦ, "νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοισι" (Il. ψ, 317.). P. στένων, λυπούμενος βαρέως, δαμάζων τὴν ψυχήν. P. καταπίνων ἐν ἑαυτῷ, στένων, λυπούμενος βαρέως. Q.V.

84. ὁ στίχος οὗτος περιττός· ὁ γὰρ προκείμενος ἀρκεῖ. H.P.

85. Ἑρμείαν δ' ἐρέεινε Καλυψὼ] ἐκ τοῦ Ἡρακλείτου. καὶ μὴν καὶ ἡ Καλυψὼ τὴν πειθὼ τῶν ποικίλων παρ' Ὀδυσσέως λόγων Ἑρμῆν προσηγόρευσε, μόγις μὲν, ἀλλ' ὅμως καταθέλξαντος αὐτοῦ τὸν

1. χ. τῷ λόγῳ] τῷ λόγᾳ χ. H. et qui τὸ ante τοιοῦτον om. T.

6. τῇ ἀκτῇ. σιωπᾷ δὲ Buttm. pro τῇ ἀκτησίῳ (in P. ἀκτησία, ut videtur) περὶ δὲ—.

σιωπᾷ] Tacitus enim Mercurius antrum intrat neque Ulyssem statim requirit. Cf. schol. 96. BUTTM.

9. In Pal. lemma habet πάρος γε, sed scholium περ. Porsonus: "Ἔνθα πάρος γε scholiis præfigitur." BUTT.

11. δερκέσκετο P. δερδέσκετο Q. Quod v. 84. in textu habet H.

13. αἱ Ἀριστοφάνους] Sic etiam in schol. Il. θ, 513. Sed una tantum fuit Aristophanis editio: unde ἡ Ἀριστοφάνους utrobique Nauck. de Aristoph. p. 21. Στεναχή per ε scriptum etiam Zenodotus probavit: vid. schol. Il. ω, 512.

15. ἐρεικτὰ Buttm. ἐριεικτὰ B.E. ἐρεχθὰ H.

17. π. δὲ τοῦ χῖ om. P. Fuerunt qui ἐρέχθων pro ἐρέθων dictum acciperent: vid. Eustath. p. 1524, 64.

21. ὁ στίχος—] Conf. schol. ad 82. et 158.

22. ἐκ τοῦ Ἡρακλείτου (Alleg. c. 67. p. 132. ed. Mehler.) addidi ex T.

καὶ μὴν T. ναὶ μὴν E.

24. μόγις T. ut ap. Heraclitum. μόλις E.

καταθέλξαντος T. καταθέλγεται E.

ἔρωτα τῆς νύμφης, ἵν' εἰς Ἰθάκην προπεμφθείη. διὰ τοῦτο ὄρνιθι προσωμοιωμένος Ἑρμῆς ἐλήλυθεν ἀπ' Ὀλύμπου, πτερόεντα γὰρ τὰ ἔπη κατὰ τὸν Ὅμηρον, καὶ τάχιον οὐδὲν ἐν ἀνθρώποις λόγου. Ε.Τ.

88. θαμίζεις] ἀντὶ τοῦ ἐθάμιζες, παρεγένου οὐδ' ὅλως. Β.Ρ.Q. οὐ λέγει ὅτι παραγίνῃ μέν, οὐ θαμὰ δέ, ἀλλ' ὅτι οὐδ' ὅλως παραγίνῃ. 5 ὡς ἐπὶ τοῦ "ἐπεὶ οὔτι κομιζόμενός γε θάμιζεν, ἐπειδὴ λίπε δῶμα Καλυψοῦς" (θ, 451.). Β.Ρ.Q.Τ.

90. εἰ δύναται] τοῦτο πρωθύστερον. ὤφειλε γὰρ πρῶτον εἰπεῖν τὸ "εἰ τετελεσμένον ἐστίν," εἶτα "εἰ δύναμαι τελέσαι." Ε.

εἰ τετελεσμένον ἐστί] εἰ φύσιν ἔχει τοῦ δύνασθαι τελειωθῆναι, ἢ 10 δυνατόν ἐστι γενέσθαι. Τ.V.

93. κέρασσε δὲ νέκταρ ἐρυθρόν] ἀντὶ τοῦ ἔχεεν. οὐ γὰρ κιρνᾶται τὸ νέκταρ. Β.Ε.Q.

κέρασσε δὲ νέκταρ ἐρυθρόν] εἰ μηδὲν ἄλλο πίνουσιν οἱ θεοὶ ἢ τὸ νέκταρ, διὰ τί αὐτὸ ἡ Καλυψὼ τῷ Ἑρμῇ κεράσασα δίδωσιν; εἰ γὰρ 15 κεκέρασται σὺν ὕδατι, οὐ μόνον τὸ νέκταρ, ἀλλὰ καὶ τὸ ὕδωρ πίνουσιν. καίτοι, φησὶ, ψιλὴν ἀμβροσίαν παρέθηκε, "κέρασσε δὲ νέκταρ ἐρυθρόν." λύων οὖν ὁ Ἀριστοτέλης τὸ κέρασσε, φησὶν, ἤτοι τὸ μῖξαι ἄλλο ἄλλῳ ὑγρῷ δηλοῖ, ἢ τὸ ἐγχέαι· ἄμφω γὰρ δηλοῖ τὸ κεράσαι. νῦν οὖν τὸ "κέρασσε δὲ νέκταρ ἐρυθρόν" οὐ τὸ μῖξαι δηλοῖ, 20 ἀλλὰ ψιλῶς ἐγχέαι. Τ.

εἰ μηδὲν ἄλλο πίνουσιν οἱ θεοὶ ἢ νέκταρ, πῶς ἡ Καλυψὼ αὐτὸ κιρνᾷ ὕδατι; ἔστιν οὖν ψιλῶς ἀντὶ τοῦ ἐνέχεεν ἀπὸ τῆς ἀρχαίας συνηθείας. εἰς κέρας γὰρ ἐγχέοντες ἔπινον. ἢ ὅτι τὸ κέρασε κατὰ τὸν Ἀριστοτέλην, ὡς ὁ Πορφύριος λέγει, οὐ μόνον δηλοῖ τὸ μῖξαι 25 ἄλλῳ ὑγρῷ, ἀλλὰ καὶ τὸ ἐγχέαι ψιλῶς. Β.Ε.Q.

94. 95. εὐτελεῖς κατὰ τὴν σύνθεσιν καὶ κατὰ τὴν διάνοιαν οἱ στίχοι. Η.Ρ.

96. καὶ τότε δή μιν ἔπεσσιν] δαιμονίως οὐκ εὐθὺς ἀποκρίνεται τῆς παρουσίας τὴν αἰτίαν, ἀλλ' ὡς ἀναγκαζόμενος ὑπ' ἐκείνης ἧκεν 30

1. προπεμφθείη] πεμφθείη Ε.
2. προσωμοιωμένος] προσομοιούμενος Τ. Ἑρμῆς] ὁ ἑρμῆς Ε.
3. ἐν ἀνθρώποις λόγου Τ. λόγου παρὰ τοῖς ἀνθρώποις Ε.
19. ἄλλο—δηλοῖ, ἢ τὸ—ἄμφω γὰρ δ.] τὸ ἐγχέαι ἄλλο—δηλοῖ τὸ—ἄμφω δ. Τ.
22. εἰ μηδὲν — ἀντὶ τοῦ ἐνέχεεν] Hæc etiam in P.
27. 28. Porsonus ob incertum hujus scholii positum conjiciebat pertinere illud ad 94. 95. In P. scriptum est interiori margine incipiens ob angustiam a v. 96. et desinens proxime ante 98. BUTT.

ἐπὶ τὴν ἀπόκρισιν· οἷόν ἐστι καὶ τὸ ἐπιφερόμενον, κέλεαι γάρ, οὐχ ὡς ἡδέως λέγων, ἀλλὰ διὰ τὴν ἐρώτησιν. P.Q

99. οὐκ ἐθέλοντα] ἐκ τούτου ἐμφαίνεται ἀκουσίως ἀφῖχθαι. V.

100. τίς δ' ἂν ἑκὼν] πρόσκειται καὶ τῆς ἀκουσίου παρουσίας ἡ αἰτία τὸ μῆκος τῆς ὁδοῦ. P.Q.

ἁλμυρὸν ὕδωρ] σαφῶς ἐδήλωσεν Ὅμηρος ὅτι ἔξω τῆς καθ' ἡμᾶς θαλάσσης ἡ τῆς Καλυψοῦς νῆσος τυγχάνει. B.E.P.Q.T.

101. ἄσπετον] τοῦτο δύναται κομματικῶς ἀναπεφωνῆσθαι κατ' εὐθεῖαν, ὡς ἐκεῖ "νήπιος, οὐδὲ τὰ ᾔδη" (Il. β, 38.). εἰ δὲ συνάπτοιτο τοῖς ἄνω, αἰτιατική ἐστιν. P.Q.

102. ἑκατόμβας] λείπει ἔξωθεν, ἵνα μεταλήψηταί τις βρώσεως τοσοῦτον τόπον ἐρχόμενος. B.

103. ἀλλὰ μάλ' οὔπως] τῷ μὲν δοκεῖν ὑπὲρ ἑαυτοῦ ἀπολογεῖσθαι, ὅτι ἀναγκαῖον ἦν ἐπακοῦσαι Διΐ, ἔργῳ δὲ κἀκείνην παρασκευάζει δέξασθαι τὰ πράγματα. οὐ γὰρ δυνατὸν παρακούειν Διός. P.Q.

104. οὔτε παρεξελθεῖν οὔθ' ἁλιῶσαι] οὔτε μάταιον ἡγήσασθαι, οὔτε παρεξελθεῖν καὶ ἀπειθῆσαι. Q.V. ἁλιῶσαι, ματαιῶσαι. P.

ἐκ πλήρους ὁ τέ, οὔτε ἁλιῶσαι· ἢ ὑποστικτέον εἰς τὸ ἁλιῶσαι λείποντος τοῦ ἐρῶ· ἢ στικτέον, ἵν' ᾖ ἀπόδοσις τῶν ἀνωτέρων. P.

105—111. περιττοὶ οἱ στίχοι καὶ πρὸς τὴν ἱστορίαν μαχόμενοι. οὐ γὰρ καθ' ὃν καιρὸν ὑπὸ τῆς Ἀθηνᾶς ὁ ἄνεμος ἐκινήθη καὶ οἱ ἄλλοι ἀπώλοντο, Ὀδυσσεὺς τῇ νήσῳ προσηνέχθη. οἱ δὲ τελευταῖοι δύο ἐκ τῶν μετὰ ταῦτά (133. 134.) εἰσι μετενηνεγμένοι. P.Q.

105. ἄνδρα] ἄνδρα τινὰ ἐξ ἐκείνων τῶν ἀνδρῶν οἳ ἐν Ἰλίῳ ἐμάχοντο. Q.T.

φησί τοι ἄνδρα παρεῖναι ὀϊζυρώτερον] ἐξ ἀμφοῖν πρὸς πειθὼ παρα-

6. ἐδήλωσεν] δεδήλωκεν P.

9. ἐκεῖ—ᾔδη Buttm. pro ἐκενήϊος οὐδὲ τὰ εἴδη.

11. ἔξωθεν] ἑξῆς Maius.

14. κἀκείνην Buttm. pro κἀκείνη.

20. Numeros 105—111. Maius posuit. In P. scholium hoc in angulo infimo paginæ, quæ desinit in v. 110., et satis procul a textu scriptum est. Porsonus ex H. enotavit hoc tantum: "110. 111. περιττοὶ οἱ στίχοι." Sed quicquid est, hoc ex ipso scholio manifestum, verba περιττοὶ οἱ στίχοι recte referri ad septem hos omnes versus. BUT.

23. μετενηνεγμένοι] μετηνεγμένοι P. Q.

26. φησί τοι (τὸν Maii editio) ἄνδρα—] His verbis lemma ὀϊζυρώτατον præfixum in Maii editione. In P. lemma est φησὶ—ὀϊζυρότερον. Apparet Majum hæc verba ipsi scholio tribuisse et lemma ὀϊζυρώτατον superinduxisse ipsum. Porsonus: "ὀϊζυρότερον semel schol. semel ὀϊζυρότατον:" nimirum illud in lemmate, hoc in fine scholii: nam plane sic et bis quidem per ο in P.

σκευάζει, ἔκ τε τοῦ ἀποσεμνύνειν τὸν Διὸς φόβον καὶ ἐκ τοῦ καθυβρίζειν τὴν περὶ τὸν οὕτως ταπεινὸν σπουδήν. διὸ οὐχ ἥρωα, οὐκ ἀριστέα, ἀλλ' ἄνδρα ὀϊζυρώτατον αὐτὸν καλεῖ. P.Q.T.

106. ἀναστρεπτέον· ἔστι γὰρ περὶ ἄστυ, ὡς "ἀμφὶ πόλιν Καλυδῶνα" (Il. ι, 530.). H.P. 5

110. ἀπέφθιθεν] ἐφθάρησαν. V. ἀπέφθιθεν] ὡς κόσμηθεν. H. P.Q.

δαιμονίως τὰ τοῦ ἔρωτος ἐσιώπησεν· οὐ γὰρ ὅτι τοῦτον τὸν μάταιον ἄκοντα φησὶν ἀγαπᾷς, ἀλλ' ἁπλῶς τέθεικε τὴν παρουσίαν αὐτοῦ. P.Q. 10

112. ἠνώγει] ἠνώγειν ἀντὶ τοῦ ἠνώγεεν, ὡς τὸ "ἤσκειν εἴρια καλά" (Il. γ, 388.) P.

113. τῇδε] ἐν ταύτῃ τῇ νήσῳ. H.P.T.

114. ἀλλ' ἔτι οἱ μοῖρ' ἐστὶ] καὶ τοῦτο πειστικόν, ἵνα καὶ αὐτὴ εἴξῃ τῇ εἱμαρμένῃ. ὑπερφυῶς δὲ ἐξεῖλε τοῦ λόγου τὴν Πηνελόπην, 15 οὐ βουλόμενος λυπεῖν τὴν ἀγαπῶσαν ἐκ τῆς ζηλοτυπίας. H.Q.

116. ῥίγησεν] ῥιγῶ ῥιγώσω ἐπὶ κρύους, ῥιγῶ ῥιγήσω ἐπὶ φόβου. E.

118. σχέτλιοί ἐστε, θεοί] παρεκτικοὶ κακῶν ἅτινα οὐ δύναταί τις σχέσθαι καὶ τλῆναι. B. μὴ κρατοῦντες ἑαυτοὺς τῆς ὁρμῆς τοῦ θυμοῦ. ἀπὸ τοῦ σχῶ τὸ κρατῶ. ἢ οἱ σχετλιάζειν ἡμᾶς ποιοῦντες. E. 20

Ἄλλως. ἐπιλαμβάνονταί τινες τῆς Καλυψοῦς διαρρήδην ἀναισχυντούσης. ἀναισχύντου γὰρ χαλεπαίνειν μὴ ἐωμένην ἀνδράσιν εὐνάζεσθαι καὶ ἐπὶ τούτῳ αὐτῷ σχετλιάζειν. φαίνεται δὲ ὅτι οὐ διὰ τὸ κωλύεσθαι εὐνάζεσθαι σχετλιάζει, ἀλλὰ διὰ τὸ εὐλαβεῖσθαι μὴ ζήλῳ τῷ πρὸς αὐτὴν ἀποκτείνωσι τὸν Ὀδυσσέα. δηλοῖ δὲ τὰ παρα- 25 δείγματα τὴν γνώμην αὐτῆς. ὑπομιμνήσκει δὲ ὅτι, ἐγὼ διὰ φιλανθρωπίαν σαώσασα κατεῖχον, εἰ καὶ ὁ Ζεὺς νῆα θοὴν ἀργῆτι κεραυνῷ βαλὼν ἐκέασεν ἐν μέσῳ πόντῳ. δηλοῖ δὲ καὶ τὸ φράσαι, αὐτάρ οἱ πρόφρων ὑποθήσομαι, τὸ πρόθυμον αὐτῆς εἰς τὸ σώζεσθαι τὸν Ὀδυσσέα, καὶ οὐδαμῶς διὰ τὸ ἐρωτικὸν πάθος σχετλιάζειν. οὐδὲ γὰρ οὐδὲ 30

BUTTM. In T. lemma φησί τοι ἄνδρα, præfixo ἄλλως.

P. 252, 26. πειθὼ] πειστικὸν Q.

P. 253, 2. οὐκ ἀριστέα om. Q.

3. ἀλλ' ἄνδρα ὀϊζυρώτατον] ἀλλ' ἄνδρα ὀϊζυρώτερον Q. ἀλλὰ ὀϊζυρότατον P.T.

4. ἔστι γὰρ om. P.

6. ἀπέφθιθεν] Vide ad η, 251. BUTTM.

8. ἐσιώπησεν· οὐ γὰρ—φησὶν Buttm. pro οὐ γὰρ ἐσιώπησεν—φασὶν.

9. ἀγαπᾷς] ἀγαπᾶν Q.

14. πειστικὸν] πιστικὸν H.

16. λυπεῖν H. ζητεῖν Q.

δακρύουσαν πεποίηκε. σχέτλιοι γοῦν ὅτι γάμων φθονοῦσι θεαῖς φανερῶν, οὐ κρυφίων, καὶ ζηλήμονες ὅτι ἀναιροῦσι τοὺς εἰς γάμους προκριθέντας. καὶ σχετλιασμοῦ ἄξιον ὅτι πείσεται καὶ Ὀδυσσεὺς τὰ ὅμοια. καὶ τούτου πίστις, τοῦ μὴ διὰ πάθος αἰσχρὸν σχετλιάζειν, τὸ ἑτοίμως ἔχειν ἀποπέμπειν, καὶ ὑποτίθεσθαι τότε τὰ σωτήρια, καὶ ὅτι 5 δι' ἔλεον κατεῖχεν ἐκ τοῦ ναυαγὸν λαβοῦσα τρέφειν καὶ φιλεῖν, καὶ ὅτι εἰ καὶ ἀπολέσθαι αὐτὸν κεκρίκασιν, ἐρρέτω. Ε. οὐ πάθους ἐρωτικοῦ κατηγοροῦσιν οἱ λόγοι τῆς Καλυψοῦς· οὐ γὰρ ἀσχάλλει τῷ ἔρωτι· δέδιε δὲ μὴ κατακληθεὶς ἀνὴρ αὐτῆς Ὀδυσσεὺς ἀναιρεθείη παρὰ τῶν θεῶν. ἄμφω γὰρ οἶδε, καὶ τὸν Δία κεραυνοβολήσαντα τὴν 10 ναῦν Ὀδυσσέως, καὶ τοὺς θεοὺς ζηλήμονας ὄντας τοῖς ἀνδράσι τῶν θεαινῶν καὶ θάνατον αὐτοῖς ἀντὶ γάμων ἀλλασσομένους. τοῦτο δὲ δείκνυται διά τε τοῦ μὴ δακρῦσαι τὴν θεὸν, ἀλλὰ καὶ προθυμότερον ἀποστεῖλαι τὸν ἄνδρα, διά τε τοῦ λέγειν "ἐπεὶ οὔπως ἔστι Διὸς νόον αἰγιόχοιο ἐξαπατῆσαι, ἐρρέτω" (137.), ὡς τοῦ Διὸς ἐθέλοντος 15 αὐτὸν κακῶσαι κατὰ θάλασσαν, καὶ διὰ τοῦ "αὐτάρ οἱ πρόφρων ὑποθήσομαι." H.P.Q.T.

σχέτλιοί ἐστε, θεοὶ, ζηλήμονες] βραχὺ διασταλτέον ἐπὶ τὸ θεοί· ἐμφαντικώτερον γὰρ οὕτως. ἀμφίβολον δὲ τὸ ζηλήμονες, πότερον ὀρθῆς ἐστιν ἢ κλητικῆς. ἴσως δ' ἄν τις καὶ μετὰ τὸ ἐστέ βραχὺ 20 διαστέλλοι, συνάπτων οὕτως, θεοὶ ζηλήμονες, ὡς οὐ δεῖ θεοὺς ὄντας ζηλοτυπεῖν. H.P.Q. ζηλήμονες] ζηλότυποι· ἢ δηλήμονες, βλαπτικοί. V. γράφεται δηλήμονες. Ε.

ἄλλο ζηλωτής καὶ ἄλλο ζηλήμων. τὸ μὲν γὰρ ζηλωτής ἐπὶ καλοῦ, τὸ δὲ ζηλήμων ἐπὶ κακοῦ. Ε. 25

120. ἀμφαδίην] τὸ ἀμφαδίην ἑκατέροις δύναται προσδίδοσθαι. P.

ἤν τις] γράφεται ἥτις, ἤτοι ὁποία. Q.

121. Οἰνεὺς τῆς Βοιωτίας ἦν βασιλεύς. οἱ οὖν θεοὶ βουληθέντες

9. κατακληθεὶς] κληθῆς (i. e. κληθεὶς) T.

10. κεραυνοβολήσαντα correxi pro κεραυνοβλήσαντα.

19. ἐμφαντικώτερον H. ἐμφαντικοτέρως Q. ἐμφατικώτερον P.

22. Ad ζηλήμονες etiam in M. adscriptum ἢ δηλήμονες. Et Eustath. p. 1527, 29. τὸ δὲ ζηλήμονες γράφεται καὶ δηλήμονες, ὅ ἐστι βλαπτικοί.

28. Οἰνεὺς] Plane assentior Creuzero (Melet. I. p. 51.) pro Οἰνεὺς legendum esse Ὑριεύς. Vide eandem quam hic legimus historiam narrantes schol. Il. σ, 486. Palæphat. 5. Ovid. Fast. 5, 531. Quanquam affini Œneo nomine *Œnopionem* patrem Orionis dicunt Servius ad Æn. 10, 763. et schol. Stat. 3, 27. Sed hæc manifesta est confusio, ut

ἰδεῖν εἰ φιλόξενοι οἱ ἄνθρωποι ἦλθον πρὸς αὐτὸν ὡς ξενισθησόμενοι ὑπ' αὐτοῦ. ὁ δὲ ἐδέξατο καὶ ἔθυσε βοῦν καὶ ἐξένισεν αὐτούς. ξενισθέντες οὖν καὶ ἐρχόμενοι οἱ θεοὶ εἶδον τὴν βύρσαν τοῦ σφαγέντος βοὸς κειμένην κάτω, καὶ εὑρήσαντες εἰς αὐτὴν ἐξ αὐτοῦ τοῦ οὔρου καὶ τῆς βύρσης ἐποίησαν τὸν Ὠρίωνα. οὗτος γενόμενος ἠράσθη τῆς Ἀρτέμιδος. αὕτη δὲ σκορπίον ἀνῆκε κατ' αὐτοῦ, καὶ κρουσθεὶς οὕτως ἐν τῷ σφυρῷ τέθνηκεν. οἱ οὖν θεοὶ ἐλεήσαντες αὐτὸν δι' ἄστρων ὑπεζωγράφησαν αὐτὸν ἐν τῷ οὐρανῷ μετὰ τοῦ σκορπίου. H.P.Q.

ἐὰν μετὰ τὸ * * βραχὺ διαστείλωμεν, μᾶλλον τὴν τάξιν τοῦ λόγου σώσομεν. P.

ὡς μὲν ὅτ' Ὠρίωνα] πρὸς τὸ ξένον τῆς ἱστορίας. H. ὁ μέν ἀντὶ τοῦ δή. ὁ δὲ νοῦς, ὥσπερ δὴ ὅτε Ὠρίωνα ἔλαβεν ἡ Ἡμέρα. H.T. τούτου γὰρ ἐρασθεῖσα ἡ Ἡμέρα ἥρπασεν ἀπὸ Τανάγρας εἰς Δῆλον, ἔνθα τὴν ἀμαλλοφόρον Οἶπιν ἰδὼν ἠθέλησε βιάσασθαι. ἐφ' ᾧ ὀργισθεῖσα ἡ θεὸς ἀναιρεῖ αὐτόν, ὡς Εὐφορίων δηλοῖ. P.Q.T.

ἐκ τοῦ Ἡρακλείτου. δεῖ δὲ ἡμᾶς οὐδὲ τὰ μικρὰ παροδεύειν, ἀλλὰ καὶ δι' ἐκείνων τὴν λεπτὴν ἐξετάζειν Ὁμήρου φροντίδα. τὸν γὰρ Ἡμέ-

patebit Servii scholium ipsum perlegenti, in quo verus etiam Œnopion, Orionis inimicus, inducitur. BUTTM. δινεὺς Maii editio.

4. κειμένην] Sic liquido; non, ut refert Creuzer., κείμενον. BUTTM.

5. ἠράσθη] ἐράσθη P.Q.

6. καὶ] Vere quidem refert Creuzer. duplicatum in codice esse καί; sed manifesto scribæ errore id factum inter exitum et initium versuum. Memoro ista hoc loco, ne quis parum accurate me agere suspicetur, qui alias silentio talia transeo. BUTTM.

7. ὑπεζωγράφησαν] Laudat Creuzer. ignotam lexicis formam ut elegantissimam eique rei aptissimam. Vide uberiorem ejus notam in Melet. l. c. BUTTM.

8. τοῦ om. P.Q.

9. Hoc scholion in quo post articulum τὸ deest verbum designatum, in codice Pal. positum erat inter hæc ipsa duo scholia ubi hic posui. Unde conjicias, spectare illud ad verba ὡς μέν. Possis autem referre etiam ad ἀμφαδίην. Nam margo ita refertus est ut ex ordine et loco nulla certa conjectura sit. BUTTM.

12. δή—ὥσπερ δὴ] διὸ—ὥσπερ οὖν T.

15. Εὐφορίων] Euphorionem auctorem prodit in eadem historia schol. Il. σ, 486. Pherecydem schol. Leid. Vid. Heyn. ad Iliadis l. c. et ad Apollod. p. 23. Add. Pherecyd. p. 65. Sturz et Müller ad schol. Lycophr. 328. Istrum laudat Hyginus Poet. Astr. 2, 34. Cf. Istri fragm. ed. Lenz. et Siebelis p. 69. Ceterum hanc fabulam etiam ex Nonni narrat. altera in Greg. Naz. orat. in laud. Basilii exhibemus. CREUZER. ὡς ἱστορεῖ εὐφορίων T.

16. Præfixi verba ἐκ τοῦ Ἡρακλείτου. Conf. schol. ad v. 85. Excerpta autem hæc sunt ex Heracliti Alleg. c. 68. p. 133. ed. Mehl. δεῖ δὲ—Ἠώς habet T., om. E.

17. τὸν—ἔρωτα] τὸ—ἐρωτικὸν T. Correxi ex Heraclito.

ρας καὶ Ὠρίωνος ἔρωτα, πάθος οὐδ' ἀνθρώποις εὔσχημον, ἠλληγόρησεν "ὡς μὲν ὅτ' Ὠρίων' ἕλετο ῥοδοδάκτυλος Ἠώς." παρεισάγει γὰρ αὐτὸν ἔτι νεανίαν ἐν ἀκμῇ τοῦ σώματος ὑπὸ τοῦ χρεὼν πρὸ μοίρας συνηρπασμένον. ἦν δὲ παλαιὸν ἔθος τὰ σώματα τῶν καμνόντων, ἐπειδὰν ἀναπαύσηται τοῦ βίου, μήτε νύκτωρ ἐκκομίζειν μήθ' ὅταν ὑπὲρ γῆς τὸ μεσημβρινὸν ἐπιτείνηται θάλπος, ἀλλὰ πρὸς βαθὺν ὄρθρον ἀπύροις ἡλίου ἀκτῖσιν ἀνιόντος. ἐπειδὰν οὖν εὐγενὴς νεανίας ἅμα κάλλει προέχων τελευτήσῃ, τὴν ὄρθριον ἐκκομιδὴν ἐπευφήμουν Ἡμέρας ἁρπαγὴν, ὡς οὐκ ἀποθανόντος, ἀλλὰ δι' ἐρωτικὴν ἐπιθυμίαν ἀνηρπασμένου. καθ' Ὅμηρον δὲ καὶ τοῦτό φασιν. Ἰασίων ἀνὴρ γεωργίας ἐπιμελούμενος καὶ δαψιλῶς ἀπὸ τῶν ἰδίων ἀγρῶν καρποὺς λαμβάνων εἰκότως ὑπὸ τῆς Δήμητρος ἔδοξεν ἠγαπῆσθαι· δι' ὧν Ὅμηρος οὐκ ἀσελγεῖς ἔρωτας ἱστορεῖ θεῶν οὐδ' ἀκολασίας, σημαίνει δὲ τὰς εὐαγεστάτας, Ἡμέραν τε καὶ Δήμητραν, τοῖς εὐσεβῶς ἐρευνᾶν ἐθέλουσι φυσικῆς ἀκριβῆ θεωρίαν ἀφορμὴν χαρίζεσθαι. Ε.Τ.

οἱ πλείονες ὑπὸ σκορπίου φασὶν αὐτὸν ἀνῃρῆσθαι τὴν Ἄρτεμιν διώκοντα. Ε.

οἱ πλείονες ὑπὸ σκορπίου φασὶν αὐτὸν ἀνῃρῆσθαι βιαζόμενον τὴν Ἄρτεμιν. ὁ γὰρ Ἀπόλλων οὐκ ἀνεῖλεν, ἴσως μὴ παρὼν τότε. V.

123. εἴως μιν ἐν Ὀρτυγίῃ] ἡ ἐν τῇ Ὀρτυγίῃ τῇ νῦν Δήλῳ γεννηθεῖσα. Ὀρτυγίη δὲ ἐκαλεῖτο πρώην διὰ τὸ χθαμαλὸν καὶ οἷον χαμαιπετὲς πρὸ τοῦ ἀναδοθῆναι καὶ φανῆναι. τοιοῦτον γὰρ καὶ τὸ ὄρνεον, οὐχ ὑψιπετὲς, ἀλλὰ πρόσγειον. Ε. τῇ Δήλῳ. νῆσος δὲ ἡ Δῆλός ἐστιν ἀνὰ μέσον τῶν Κυκλάδων. Ε.V.

χρυσόθρονος Ἄρτεμις ἁγνὴ] ἐπὶ κυνηγετικῆς θεοῦ ἄκαιρον τὸ ἐπίθετον. Q. Ἀπίων τὸ ἁγνὴ περισπᾷ κατὰ δοτικὴν, ἀκούων ἐν Ὀρτυγίῃ ἁγνῇ. H.P.Q.

2. γὰρ] νῦν E.
4. συνηρπασμένον] ἀνηρπασμένον E.
6. ὑπὲρ] ἐπὶ E.
ἐπιτείνηται] ἐπιτείνεται E.T.
7. ἐπειδὰν] ἐπὰν E.
ἅμα κάλλει] ἅμα καὶ κάλλος E.
8. τελευτήσῃ τὴν ὄρθριον] τελευτήσει τὴν ὀλέθριον E.
ἐπευφήμουν Ἡμέρας] ἐπ' εὐφήμου ἡμέρας E.
10. καθ' Ὅμηρον—χαρίζεσθαι habet T., om. E.
καὶ τοῦτο addidi ex Heraclito.
11. δαψιλῶς] δαψιλεῖς (alii libri δαψιλῶς) τοὺς Heraclitus.
12. ὑπὸ] ἀπὸ T.
δι' ὧν] διὸ T. Correxi ex Heraclito.
16. οἱ πλείονες] Præcedit in E. ὥσπερ δή, glossema ad ὡς μέν referendum. Vid. p. 255, 12.
25. κυνηγετικῆς] κυνηγετικοῦ Q.

124. οἷς ἀγανοῖς] ἢ τοῖς ταχυτάτοις παρὰ τὸ ἄγαν. ἢ τοῖς μὴ γάνος ἐμποιοῦσιν. P.

τὸ ἑξῆς, βελέεσσι κατέπεφνεν αὐτὴ ἐποιχομένη. P.

οὐδέποτε παρ' Ὁμήρῳ ἡ Ἄρτεμις ἄρρενας φονεύει· διό τινες ἀθετοῦσι τοὺς στίχους, εἰ μὴ ἄρα τῆς ἱστορίας μέμνηται ὡς τὸν Ὠρίωνα πλημμελοῦντα εἰς αὐτὴν ἠμύνατο ἡ Ἄρτεμις. H.P.Q.

125. ὡς δ' ὁπότ' Ἰασίωνι] οὗτος Κρὴς τὸ γένος Κατρέος καὶ Φρονίας υἱός· ὡς δὲ Ἑλλάνικος, Ἠλέκτρας καὶ Διὸς υἱός· παρ' ᾧ μόνῳ μετὰ τὸν κατακλυσμὸν εὑρέθη σπέρματα, οὗ καὶ Δήμητρος ὁ Πλοῦτος κατὰ Ἡσίοδον. πάντα γὰρ ἰᾶται ὁ πλοῦτος. H.P.Q.

τούτου καὶ Δήμητρος ὁ Πλοῦτος. ἦν δὲ Κρὴς ὁ Ἰασίων. Ἑλλάνικος δὲ Ἠλέκτρας καὶ Διὸς αὐτὸν γενεαλογεῖ. ἔνιοι δέ φασιν αὐτὸν γεωργικώτατον ὄντα δόξαν ἔχειν ὅτι τῇ Δήμητρι συνῴκει. τινὲς δέ φασι μετὰ τὸν ἐπικλυσμὸν παρὰ μόνῳ Ἰασίωνι σπέρμα πυρῶν εὑρεθῆναι ἐν Κρήτῃ, ὅθεν διαδοθῆναι φήμην ὅτι ἡ Δημήτηρ αὐτῷ συνῴκει καὶ ἐγέννησε Πλοῦτον. H.P.Q.V.

ὁ Ἰασίων γεωργὸς ἦν καὶ ἐδίδου αὐτῷ ἡ γῆ καρπὸν περιττὸν εἰσαεὶ ἐμφοροῦσα, καὶ ἦν πλούσιος. ἔλεγον οὖν αὐτὸν συνευνάζεσθαι τῇ γῇ, καὶ διὰ τοῦτο διδόναι αὐτῷ τὴν εὐφορίαν. E.

126. ᾧ θυμῷ εἴξασα] οὐκ ἀντιστᾶσα τῇ ἐπιθυμίᾳ, ἀλλὰ πεισθεῖσα καὶ ὑποχωρήσασα. B.P.T.

127. νειῷ] νενεασμένῃ γῇ, ἠρωμένῃ. V. τῇ νεωστὶ ἠροτριασμένῃ γῇ. P.Q.

τριπόλῳ] τρίτον ἐστραμμένῃ. B.V. τινὲς δὲ γράφουσι, νειῷ ἐνὶ τριπύλῳ, οὐκ εὖ. H.P.Q.

128. ἀργῆτι] ταχέως διικνουμένῳ διὰ λεπτότητα. E.

129. ἀγάασθε] ὡς δύνασθαι, τοῦ δευτέρου α συστελλομένου. δυνατὸν δὲ καὶ ὡς ᾗ * * *. οἷδε γὰρ αὐτοῦ καὶ τὸ κατὰ διαίρεσιν, ὡς τὸ "θεαῖς ἀγάασθαι" (119.), καὶ "τόφρα οἱ ἠγάασθε θεοί" (122.). P.

130. τὸν μὲν ἐγὼν ἐσάωσα] ὅρα τὴν δικαιολογίαν, ὅτι ὃν ἔσωσα,

5. τοὺς στίχους] Versus 123. 124. μέμνηται] μέμνηνται Q.

7. Κατρέος Cramerus. κρατρέος H. κράτεος P. "Hujus loco Minoëm prodit schol. Theocr. 3, 50. In cod. Q., certe in ed. Mediol., deficiunt verba Κράτεος — Ἑλλάνικος, item ultima inde a κατὰ Ἡσίοδον, quorum loco statim continuantur hæc, ἦν δὲ Κρὴς in schol. sq. usque ad finem." BUTTM.

10. Ἡσίοδον] Theog. 969—970.

15. Δημήτηρ] δήμητρα P.

28. ὡς ᾗ] In P. parva lacuna. Fort. ὡς τιμᾶσθε. BUTTM.

εἰμὶ δικαία τοῦτον κατέχειν, ὑμεῖς δὲ διαφθείραντες ἄλλως βουλεύεσθε. T.

περὶ τρόπιος βεβαῶτα] ὅτι καὶ γενικὴ ἀντὶ δοτικῆς, ἀντὶ τοῦ περιβεβηκότα τῇ τρόπιδι. B.E.P.Q.T.

132. Ζεὺς ἐλάσας] γράφεται, ἔλσας. E. 5

ἔλσας] Ζηνόδοτος "ἐλάσας" γράφει. οἱ δὲ "ἔλσας·" ποιητικώτερον γάρ. ἔλσας μὲν τὸ συστρέψας, ἐλάσας δὲ τὸ ἐκ χειρὸς πλήξας. H.P.Q. ἔλσας] πλήξας, κεραυνώσας. V.

135. τὸν μὲν ἐγὼ φίλεον] οὐκ ἀλόγως οἴεται τὰς εἰς αὐτὸν ἐργασίας καταριθμεῖν, ἀποδεικνῦσα ὅτι δίκαιον τὸν εὐπαθοῦντα συνεῖναι 10 αὐτῇ. P.Q.

136. ἀγήραον] Ἀρίσταρχος, ἀγήρων. H.

139. ἐρρέτω πόντον ἐπ' ἀτρύγετον, εἰ ὁ Ζεὺς ἐποτρύνει καὶ ἀνώγει αὐτὸν διαφθαρῆναι. P.Q.T.

τὸ ἑξῆς, ἐρρέτω πόντον ἐπ' ἀτρύγετον. τὰ δὲ ἄλλα ὡς διὰ μέσου 15 διορθωτέον. P.

ἐρρέτω] ἀμφίβολον, πότερον εἰς Δία ἢ εἰς Ὀδυσσέα. V.

141. καὶ ἑταῖροι] ὅτι ἐπὶ τῶν συμπλεόντων τίθησι τοὺς ἑταίρους πολλάκις. P.Q.

143. πρόφρων ὑποθήσομαι] τὸ ἑξῆς, ὑποθήσομαι ὥς κε μάλ' ἀσκη- 20 θής· τὸ δὲ "οὐδ' ἐπικεύσω" διὰ μέσου. δύναται καὶ ἀφ' ἑτέρας ἀρχῆς ἀναγινώσκεσθαι, οὐδ' ἐπικεύσω ὥς κε μάλ' ἀσκηθής, οὐκ ἀποκρύψομαι πῶς ἂν σωθείη. P.Q.T.

144. ἀσκηθὴς] ἀβλαβὴς, ἀπὸ τοῦ σχῶ τὸ κρατῶ, ἤτοι ὁ μὴ κρατούμενος τῇ βλάβῃ, καὶ κλίνεται τοῦ ἀσκηθοῦς. B. 25

146. τὸ νῦν ἔφαμεν ἐκτείνεσθαι παρὰ τῷ ποιητῇ, εἰ μὴ μέτρον κωλύοι. P.

151. οὐδέ ποτ' ὄσσε] ἐν ἄλλοις φησὶν "αἰψηρὸς δὲ κόρος πέλεται κρυεροῖο γόοιο" (Od. δ, 103.). εἰ τοίνυν οὕτως ἀδιαλείπτως κλαίει, ὅρα τὴν ὑπερβολὴν τῆς λύπης. P.Q.T. 30

3. ὅτι καὶ om. B.E.Q. ἡ est in T.

6. οἱ δὲ ἔλσας] ἡ δὲ ἐλέας P. ἡδὲ ἔλας H. unde Porsonus conjiciebat ἡ δὲ (deficiente nomine vel editoris vel editionis) ἔλσας. Mox pro ἔλσας iterum H.P. ἔλας. BUTTM.

7. γάρ—μὲν] μέν—γὰρ Q.

15. ὡς διὰ μέσου διορθωτέον] Sic P. Q. etiam ad δ, 465., ubi T. simpliciter διὰ μέσου.

17. Ὀδυσσέα] ὀδυσῆ V.

21. οὐδ'] οὐκ P.

28—30. Sic P.Q.: in T. est δακρυόφιν: ἐν δάκρυσιν. ὅρα τ. ὑ. τ. λ. ὅτι καὶ ἀδ. κλαίει.

28. πέλεται scholiasta addidit.

152. τέρσοντο] ἐξηραίνοντο· ἐξ οὗ καὶ ταρσός. ὁ καλαθίσκος. E.

κατείβετο] ἐν δάκρυσιν ἦν αὐτῷ ὁ τοῦ βίου χρόνος καὶ κατετήκετο. V. κατέρρει, ἐφθείρετο, ἀνηλίσκετο. B. ἐν δάκρυσιν ἀνηλίσκετο. T.

153. ἐπεὶ οὐκέτι ἥνδανε νύμφῃ] κατ' οὐδὲν ἤρεσκεν ἀποπέμπειν ἔτι αὐτὸν, ἤτοι τὸ μὲν πρῶτον ὡς σώσασαν ἔστερξεν, τὸ δὲ μετὰ ταῦτα οὐκέτι. P.Q.V. δύναται δὲ κυρίως κεῖσθαι τὸ ἔτι, ἤρεσκε γὰρ αὐτῷ πρότερον ἀναλαβοῦσα αὐτὸν ἐκ τοῦ ναυαγίου, κατέχουσα δὲ οὐκέτι. P.Q.

θρηνοῦντι τὴν ἐπάνοδον τὴν μὴ γινομένην αὐτῷ. P.T.

154. ἰαύεσκεν] διενυκτέρευσεν, ἢ ἐκοιμᾶτο. Q.V.

155. παρ' οὐκ ἐθέλων ἐθελούσῃ] ἀντιστροφὴ Ἰωνική. P.

156. ἐν πέτρῃσι] ἀμπέτρῃσι, αἱ Ἀριστάρχου. H.P.

158. ἐντεῦθεν εἰς τὸ ὀλίγον ἀνωτέρω (84.) μετάκειται ὁ στίχος. H.

160. κάμμορε, μή μοι] δαιμονίως ἀποκρύπτει τὸ πρόσταγμα ἐξιδιοποιουμένη τὴν εὐεργεσίαν. P.Q.

κάμμορε] καταμεμορημένη, ταλαίπωρε, κακόμοιρε. P.

163. σχεδίην] τὴν εἰκαίως κατασκευασθεῖσαν ναῦν λέγει. V.

ἐν δ' ἰκρία πῆξαι ἐν αὐτῇ] Super ἐν δ'—γρ. αὐτάρ: et in marg. ἐπ' αὐτῆς. H.

ἴκρια] τὰ ὀρθὰ ξύλα, ἐφ' ὧν τὰ τῆς νεὼς καταστρώματα προσπήγνυται, τὰ ἐγκοίλια λεγόμενα. E.P.Q.V.

ἰκρία] ὡς ἴχνια. H.P. . . . . διαφέρει. ὅτε μὲν δέξῃ τὸ ι βραχὺ, προπαροξύνεται, ὅτε δὲ μακρὸν, παροξύνεται. P.

164. ὑψοῦ] βέλτιον τὸ ὑψοῦ τοῖς ἄνω συνάπτειν. ἐπεὶ γὰρ περὶ

1. ἐξηραίνοντο] ἐξήραιντο P.

4. νύμφῃ] Sic dativo casu Q. Nam in P. et V. vox hæc non est addita. BUTTM.

5. σώσασαν ἔστερξεν V. στέρξασαν ἔστεργεν Q. ἔστερξεν P., omisso participio.

13. ἐντεῦθεν] Cf. schol. ad v. 84. Præcedens versus 157. δάκρυσι — ἐρέχθων in H. omissus, in P. ad marginem positus et signis inter 158. (πόντον) et 159. (ἀγχοῦ) relatus est. Illatus est ex 83.

14. ἐξιδιοποιουμένη I. G. Schneiderus apud Buttm. pro ἐξειδοποιουμένη. Vid. η, 305.

21. ἐγκοίλια] Sic et Eustath. In P. ἐγκόλλια, MS. Barnesii ἐγκύλια. Vulg. τὰ ἐγκύλα λεγόμενα παρ' ἡμῖν. BUTTM.

22. ἰκρία] Sic H. P. in textu. Conf. schol. ad 236. 252. 254.

ὡς ἴχνια] Conf. Etym. M. v. ὅρκος. BUTTM.

Litteræ evanidæ vix dubium quin fuerint ἴκριον καὶ ἰκρίον, quorum vocabulorum accentum a quantitate primi ι pendere vult grammaticus, ut in μόριον et μηρίον. BUT.

δέξῃ corruptum. δέξηται vel δόξῃ Buttm. Sensus postulat ἔχει.

τοῦ πλάτους εἶπεν, εὐρεῖαν σχεδίην, ἀναγκαῖον καὶ περὶ τοῦ βάθους εἰπεῖν. P.Q.

166. μενοεικέα] ἢ ἐντιθέντα μένος, ἢ πρέποντα τῷ μένει· ἢ ἀρκετόν. B.

ὅτι καὶ ἐπὶ δίψης ὁ λιμός. P. 5

168. ἵκηαι] Ἀριστοφάνης ἵκοιο. H.P.

171. ῥίγησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς] κινεῖ αὐτὸν πρὸς τὸ δεδιέναι καὶ ἡ ὥρα τοῦ ἔτους καὶ ὁ τρόπος τῆς πορείας. ὅτι γὰρ τοιοῦτον ἦν τὸ κατάστημα δῆλον κἀκ τοῦ παρὰ Καλυψοῖ πῦρ καίεσθαι ἐπὶ τῆς ἐσχάρας καὶ παρὰ Φαίαξι καὶ παρὰ Εὐμαίῳ. P.Q.T. 10

173. ἄλλο τι βουλεύῃ, καὶ οὐ τὴν πομπήν. P.T.

μήδεα] βουλεύματα. V.

175. εἶσαι] πλεονασμός ἐστι τοῦ ε, οὐ διαίρεσις. P.

179. ἄλλο] Ἀριστοφάνης ἄλλοις γράφει. οἷον σώζειν μὲν ἐμὲ, ἐν δὲ τοῖς ἄλλοις κακόν μοι τὶ βουλεύειν. H.P.Q. 15

182. ἦ δὴ] περισπαστέον τὸ ῆ· ἔστι γὰρ βεβαιωτικός. P.

ἦ δὴ ἀλιτρός γ' ἐσσὶ καὶ οὐκ ἀποφώλια εἰδώς] ἀλιτήριος καὶ ἁμαρτωλός. ἀποφώλια δὲ τὰ ἀπαίδευτα. πῶς οὖν ἁμαρτωλός τε εἶ καὶ οὐκ ἀπαίδευτος, φησίν. οὐκ ἔστιν οὕτως, ἀλλὰ λέγει, πάνυ ἥμαρτες, καίπερ οὐκ ὢν ἀπαίδευτος. καίτοι οὐκ ἀποφώλια εἰδὼς οὐδὲ 20 ἀπαίδευτος ὢν ἀλιτρὸς γέγονας καὶ ἥμαρτες τοῦτο εἰπών. H.P.Q. ἀλιτρὸς ὁ μὴ ἀπηλλαγμένος πανουργίας, ὁ ἁμαρτωλός. V. ἀλιτρὸς λέγεται ὁ κατὰ ψυχὴν ἁμαρτωλός. λέγεται δὲ καὶ ὁ τῆς ἀληθείας ἀποτυχὼν καὶ ἁμαρτὼν, ὡς καὶ νῦν Ὀδυσσεύς. τὸ ἑξῆς δὲ οὕτως, ἦ δὴ ἀλιτρός γ' ἐσσὶ, καίτοι οὐκ ἀποφώλια εἰδώς. ἤτοι ὄντως 25 ἁμαρτάνεις τῆς ἀληθείας, καίτοι οὐκ εἰδὼς ἀπαίδευτα. εἰ μὴ γὰρ συνοοῖτο τὸ καίτοι, ἄλλως οὐκ ἂν ἀκολουθήσαι. ἢ ἀλιτρὸς ἀντὶ τοῦ πολύπειρος, πολλὰ προσκρούσας· καίτοι μὴ εἰδὼς ἀποφώλια, ἀλλ' ὅμως ἀπαίδευτα ἥμαρτες. φωλεὸν δὲ λέγεται τὸ σχολεῖον. ὁ γοῦν μὴ φοιτῶν εἰς τὸ ᾠδεῖον λέγεται ἀποφώλιος. E. 30

ἦ δὴ ἀλιτρός γ' ἐσσὶ] τῷ Ὀδυσσεῖ Ἀθηνᾶ μὲν ἐμαρτύρησε φι-

1. ἀναγκαῖον post βάθους P.

14. ἄλλοις] ἄλλως Aristophanem scripsisse conjicit Nauck. Aristoph. p. 39.

17. γ'] Sic P. et H. in lemmate scholii, quamvis in textu utriusque sit τ'. BUTTM.

18. τε εἶ καὶ οὐκ] τε εἶ . . . οὐκ H. τις εἶ οὐκ P.Q.

19. φησί] Sic P.Q. Vid. ad α, 263. BUTTM.

21. ἀλιτρὸς—εἰπών om. Q.

λεῖσθαι αὐτὸν καίπερ "δύστηνον ἐόντα, οὕνεκ' ἐπητής ἐστιν καὶ ἀγχίνοος καὶ ἐχέφρων" (Od. ν, 331.). Καλψὼ δὲ ἰδοῦσα τὸ δύστηνον αὐτὸν ἐόντα, ὅτ' "ἄλλοι μὲν πάντες ἀπέφθιθον ἐσθλοὶ ἑταῖροι, τὸν δ' ἄρα δεῦρ' ἄνεμός τε φέρων καὶ κῦμ' ἐπέλασσεν οἶον" (Od. ε, 110.), καὶ διὰ τοῦτο ἐξηγήσατο πῶς δύστηνον λέγει. πάλιν "ἦ δὴ ἀλιτρὸν" ὄντα. πῶς οὖν ἀλιτρός τε ὁ αὐτὸς καὶ ἀποφώλια εἰδότος καὶ τοῦ ἀγχίνου καὶ ἐχέφρονος; καὶ πῶς ὁ ἀλιτρὸς εἴρηται; ῥητέον οὖν ὅτι εἰς ὅρκον προκαλουμένου τὴν Καλυψὼ τοῦ Ὀδυσσέως "μή τί μοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο," φησὶν ἐκείνη ἀλιτρὸν ὄντα, τουτέστι διαμαρτάνοντα τῆς ἀληθείας καὶ σφαλλόμενον, καίπερ οὐκ ἀπαίδευτα εἰδότα. τὸν γὰρ ἀπαίδευτον οὐκ ἀπεικὸς ὄντα σφάλλεσθαι, τὸν δὲ πεπαιδευμένον θαυμαστὸν ὄντα σφαλῆναι. θαυμάζουσα οὖν λέγει "ἦ δὴ ἀλιτρός ἐσσι," ἀντὶ τοῦ εἶ ἄρα σφαλερὸς, καίπερ οὐκ ἀπαίδευτος ὤν. τὸ δὲ ἀμφίβολον ἐποίησιν ὁ πλεονασμὸς τοῦ τε καὶ ἔλλειψις τοῦ περ. ῥηθεὶς γὰρ οὕτω "ἦ δὴ ἀλιτρός ἐσσι. καίπερ οὐκ ἀποφώλια εἰδώς," οὕτως ἂν εἴη ὁ αὐτός. τὸ ἐπητὴς δ' ἐστίν παρὰ τὸ ἔπος γέγονεν, ὥσπερ παρὰ τὸν λόγον λόγιος. λόγιος δὲ ὁ πεπαιδευμένος καὶ τῷ λόγῳ καὶ τῷ ἔπει χρῆσθαι δυνάμενος διὰ τὴν παίδευσιν, λόγῳ δὲ οὐ τῷ προφορικῷ μόνῳ, ἀλλὰ καὶ τῷ ἐνδιαθέτῳ. ὁ δ' αὐτὸς ἂν εἴη ἄριστος ἐν μύθοις, ὥσπερ ἀγχίνους καὶ ἐχέφρων ὁ ἐν βουλῇ ἄριστος. καὶ γὰρ ἀγχίνοια καὶ φρόνησις συνήρτηται λογιότητος· καὶ ἐξηγεῖται συλλαβὼν λογιότητα καὶ ἀγχίνοιαν καὶ φρόνησιν ἐν οἷς φησι πρὸς τὸν αὐτόν "ἐπεὶ σὺ μέν ἐσσι βροτῶν ὄχ' ἄριστος ἁπάντων βουλῇ καὶ μύθοισιν" (Od. ν, 296.) ὁ γὰρ ἄριστος ἐν βουλῇ ὁ φρόνιμος καὶ ἀγχίνους, ὁ δὲ ἄριστος ἐν μύθοις ὁ ἐπητὴς καὶ λόγιος. τοιοῦτος δ' ἂν εἴη ὁ οὐκ ἀποφώλια εἰδὼς μόνος. T.

ἀποφώλια] ἀπαίδευτα. φωλεοὶ γὰρ τὰ παιδευτήρια. ἢ ἃ οὐκ ἄν τις ἀποφήναιτο ὡς ἄρρητα ἢ ἀσύνετα. P.V.

φωλεοὺς ἔλεγον οἱ παλαιοὶ τὰ παιδευτήρια. ἀποφώλια οὖν τὰ ἀπαίδευτα. καίτοι οὐκ ἀποφώλια εἰδὼς οὐδ' ἀπαίδευτος ὤν, ἀλιτρὸς γέγονας καὶ ἥμαρτες τοῦτο εἰπών. B.

183. ἀφ' ἑτέρας ἀρχῆς ἀναγινώσκειν βέλτιον, ἵνα θαυμασμὸν μᾶλλον παραστήσωμεν. P.

184. ἴστω νῦν τόδε γαῖα καὶ οὐρανὸς] ἡ γῆ μετέχει ἀέρος, ὕδατος

32. Ad hunc versum manifesto referendum hoc scholium, quod in cod. statim subjunctum est scholio ad 179. BUTTM.

καὶ πυρός. ἡ γοῦν Καλυψὼ πρὸς τὰ τέσσαρα στοιχεῖα τὸν ὅρκον ποιεῖται, ἃ καὶ συνεκτικώτατα πάντων. κέντρον γάρ ἐστιν ἡ γῆ, περὶ δὲ τὸν οὐρανὸν τὰ ἄφθαρτα σώματα, περὶ δὲ τὴν γῆν φθαρτά. διὸ καὶ αὐτὸ περὶ τοῦ τῆς ἐν τῷ Ἅιδῃ Στυγὸς ὕδατος λέγουσιν ὡς, ἐὰν ψευσώμεθα, ἐκεῖ κατέλθωμεν, ὥσπερ καὶ βασιλεὺς βουλόμενος ὀμόσαι φησὶν, ἐκπέσοιμι τῆς ἀρχῆς, εἰ μὴ τόδε γένηται, ὡς καὶ αὐτὴ τῆς ζωῆς. Ε.

185. γράφεται καὶ, ὕδατος, πρὸς ὃ ἐσημειοῦτο Ἀριστοφάνης. Η.

188. ἀλλὰ τὰ μὲν νοέω καὶ φράσσομαι] ἀλλὰ ταῦτά σοι εἴπω, ὅσα φρονῶ καὶ ὅσα ἂν ἐμαυτῇ συνεβούλευσα ἐν τοσούτῳ τῆς χρείας καθεστῶσα. Β.Ε.V. ὅτε με, φησὶ, τοσοῦτον χρεία καταλάβοι ὅσον καὶ σέ. Β.Ε.P. ἀλλὰ τοσαῦτά σοι νοῶ καὶ συμβουλεύω, ὅσα ἂν καὶ ἐμαυτῇ συνεβούλευσα ἐν τούτῳ τῆς χρείας καθεστηκυίᾳ. ὁ δὲ περ παρέλκει. P.Q.

190. ἐναίσιμος] δίκαιος, ἀγαθός. Β.

193. καρπαλίμως] οὐχ ὅτι ταχέως βαδίζει. ποίαν γὰρ εἶχεν αἰτίαν ἐπείξεως; ἀλλὰ μετὰ τὰ εἰρημένα καρπαλίμως ἐτράπετο. P.Q.

194. ἶξον] δύο θέματά εἰσιν, ἥκω διὰ τοῦ η, καὶ ἵκω διὰ τοῦ ι, σεσιγημένον δέ. εἰ γὰρ διὰ τοῦ ι, οὐκ ἂν ὁ δεύτερος ἀόριστος ἦν, ᾧ προστεθέντος τοῦ σ ἶξον γίνεται. τὸ γὰρ ξ ἐκ τοῦ κ καὶ σ σύγκειται. Β.

γλαφυρὸν] κοῖλον διὰ τὸ γλύφεσθαι. Η.

196. ἐτίθει πάρα πᾶσαν] ἀναστρεπτέον τὴν πρόθεσιν. P.

198. αὐτὴ δ' ἀντίον ἶζεν] ἥδιστον τοῖς ἐρῶσιν ἡ καταντικρὺ καθέδρα. P.Q.

199. πιθανῶς καὶ περὶ τροφῶν διέστειλεν, ἵνα μὴ ἐπιζητῶμεν εἰ ταὐτὰ προσεφέροντο. P.

202. τοῖς] ὅτι ἑνὸς πρὸς ἕνα διαλεγομένου φησὶ, τοῖς ἄρα μύθων ἦρχεν. P.

204. οὕτω δὴ οἶκόνδε] ἤγουν ἐν καιρῷ χειμῶνος. προσῆκται δὲ ὁ λόγος ἐν ἐπερωτήσει. Β.Ε. οὕτω δὴ, ἐν ἐπερωτήσει. P.

9. εἴπω] μηνύσω V.
12. τοσαῦτα] τοιαῦτα P.
17. ἐπείξεως Buttm. pro ἐπιδείξεως.
19. σεσιγημένον δὲ] Apparet hunc grammaticum præsens ἵκω nullum agnoscere, sed ejus loco ubique ἥκω, formas autem per ἵκ aoristo soli assignare. BUTTM.
20. τοῦ σ Buttm. pro τοῦ ι.
24. ἥδιστον] ἴδιον Q.
27. ταὐτὰ προσεφέροντο Buttm. pro ταῦτα προεφέροντο.
28. φησὶ Buttm. pro φασί. Cf. ad η, 47. et Il. φ, 287.

205. ἔμπης] τὸ ἔμπης, ὃ καὶ ἔμπα λέγεται, ἐν τούτῳ τῷ τόπῳ ὅμως σημαίνει, ποτὲ δὲ ὁμοίως καὶ ἐπίσης, ὡς τὸ "ἔμπης εἰς γαῖάν τε καὶ οὐρανὸν ἵκετ' ἀϋτμή." (Il. ξ, 174.). MS. Barnes.

206. εἴ γε μὲν εἰδείης] ἂν δὲ ἐγίνωσκες. ἠθικῶς ἐκτρέπει αὐτὸν ταῖς φιλοφρονήσεσι. P. 5

208. τὸ, σὺν ἐμοί, τοῖς ἑξῆς συναπτέον, ἐπὶ δὲ τὸ φυλάσσοις βραχὺ διασταλτέον. P. σὺν ἐμοὶ δὲ, οὐ παρ' ἐμοί. M.

209. ἀθάνατός τ' εἴης] ὅρα ποῦ τὴν τῆς ἀθανασίας ὑπόσχεσιν παρέλαβεν, ὅτι οὐ τῆς Πηνελόπης μνημονεύειν ἔμελλεν, εἰ μὴ ἀντιθεῖσα τῷ μεγέθει τῆς ὑποσχέσεως τὴν περὶ τὴν γυναῖκα σπουδήν. 10 P.Q.

211. οὐ μέν θην κείνης γε χερείων] Ἀντισθένης φησὶν εἰδέναι σοφὸν ὄντα τὸν Ὀδυσσέα ὅτι οἱ ἐρῶντες πολλὰ ψεύδονται καὶ τὰ ἀδύνατα ἐπαγγέλλονται. ἐπισημαίνεται δὲ καὶ τὴν παραίτησιν δι' ἣν πεποίηται τῆς θεοῦ. ἐκείνης μὲν γὰρ ἐπὶ σώματος εὐμορφίᾳ καὶ 15 μεγέθει μεγαλαυχούσης καὶ τὰ καθ' ἑαυτὴν προκρινούσης τῆς Πενελόπης, συγχωρήσας μὲν τοῦτο καὶ τῷ ἀδήλῳ εἴξας, ἄδηλον μὲν γὰρ αὐτῷ εἰ ἀθάνατος καὶ ἀγήρως, ἐπισημήνασθαι ὅτι τὴν γαμετὴν ζητεῖ διὰ τὸ εἶναι περίφρονα, ὡς κἀκείνης ἂν ἀμελήσας, εἰ τῷ σώματι καὶ μόνῳ κάλλει κεκόσμητο. τοῦτο γὰρ καὶ τοὺς μνηστῆρας εἰρηκέναι 20 πολλάκις λέγοντας "οὐδ' ἐπὶ ἄλλας ἐρχόμεθ' ἃς ἐπιεικὲς ὀπυιέμεν ἐστὶν ἑκάστῳ" (β, 207.), ταύτης δὲ ἕνεκα τῆς ἀρετῆς ἐπιδικαζόμεθα. τὰ δὲ τῆς Καλυψοῦς ἐστι τοιαῦτα· οὐ μὲν ἐγὼ κείνης χερείων εὔχομαι εἶναι, οὐ δέμας, οὐ φυὴν, οὐδὲ ἔοικε θνητὰς ἀθανάτῃσι δέμας ἐρίζειν καὶ εἶδος, τὰ σωματικὰ μόνον παραβαλλούσης. τοῦ δὲ Ὀδυσσέως 25 οἶδα καὶ αὐτὸς πάντα μάλ' οὕνεκα σεῖο περίφρων Πηνελόπεια εἶδος ἀκιδνοτέρη μέγεθός τ' εἰς ἄντα ἰδέσθαι· ἡ μὲν γὰρ βροτός ἐστι, σὺ δ' ἀθάνατος καὶ ἀγήρως. τὸ γὰρ περίφρων Πηνελόπεια ἔμφασιν ἔχει τῆς κατ' ὄρεξιν προκρίσεως. E.

212. οὐ δέμας] ἐν ἄλλοις μὲν ὁ ποιητὴς ὅταν ἐγκωμιάζειν γυναῖκα 30

1. Conf. schol. λ, 565. π, 143. σ. 354. BUTTM.

4. εἰ γέμεν] E textu P. hoc lemma sumo; simulque observo hanc sollemnem esse in cod. (etiam Arati) scripturam formulæ γὲ μὲν quoties vicem gerit particulæ δέ. BUTT.

8. ὑπόσχεσιν παρέλαβεν (παρέβαλεν Buttm.)] ἰσχὺν πῶς κατέλαβεν Q.

9. εἰ μὴ addidit Buttm.

12. Ἀντισθένης] Conf. schol. η, 257.

20. κεκόσμητο Buttm. pro κεκόσμηται.

βούληται, εἶδος καὶ ἔργα ἐπαινεῖ. αὕτη δὲ ἄμφω ἀπὸ τῆς μορφῆς ἔλαβεν. P.Q.

213. θνητὰς ἀθανάτῃσιν] ἄκρως αὐτὸ συνέλαβεν ἐπὶ τῇ γνωμολογίᾳ. τὸ γὰρ καταβαίνειν εἰς ἔριν εὐμορφίας οὐκ εὐχερῶς τὴν θεάν. P.Q.

215. πότνα θεὰ] ἄριστον τὸ περὶ πρώτης ἀπολογήσασθαι τῆς περὶ τὴν Πηνελόπην φιλοστοργίας. οὐδὲν γὰρ οὕτως ἥπτετο τῆς Καλυψοῦς ὡς ἡ παρευδοκίμησις. H.P.Q. ὥσπερ γὰρ τὸ πόντα ἀπὸ τοῦ πότνια κατὰ συγκοπὴν, καὶ τὸ πρέσβα ἀπὸ τοῦ πρέσβειρα, οὕτω καὶ τὸ αὐγούστα ἀπὸ τοῦ αὐγούστηρα. διὰ τοῦτο γὰρ καὶ ἐπὶ τῆς γενικῆς οὐ τρέπουσι τὸ α εἰς η, ἀλλὰ κλίνονται ἄτρεπτα. B. πότνα] σεβασμία, τιμία. V.

216. περίφρων Πηνελόπεια] διὰ τοῦ περίφρων δηλοῖ ὡς εἰ καὶ σώματι, ἀλλὰ φρονήσει οὐκ ἔστιν ἐλάττων αὐτῆς. P.Q.

217. εἶδος ἀκιδνοτέρη] ἐπιμελῶς τὸ ἀκιδνὸν ἐπὶ τοῦ κατὰ εἶδος τίθησιν. P.Q.

οἱ μὲν γλωσσογράφοι, ἀσθενεστέρα, οἱ δὲ, εὐτελεστέρα. καὶ γὰρ ἐν ἄλλοις "οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο" (Od. σ, 130.), ἀντὶ τοῦ εὐτελέστερον. νῦν δὲ οἱ γλωσσογράφοι ἀπέδοσαν αὐτὸ ἀσθενεστέραν. M.V.

Ἀρίσταρχος, εἰς ἄντα, αἱ κοινότεραι, εἰς σῶμα. H.P.

220. οἴκαδέ τ' ἐλθέμεναι] ἐπ' ἄλλα τρέπει τὸν πόθον. ἡ μὲν γὰρ ἔφη, ἱμειρόμενός περ ἰδέσθαι σὴν ἄλοχον, ὁ δὲ ὁμολογῶν τὴν ἐπιθυμίαν, οὐκ ἐπὶ τὴν Πηνελόπην πεποίηται τὴν ἀπόστασιν, ἀλλ' ἐπὶ τὰ οἴκοι. H.P.Q.

222. ταλαπενθέα] ὑπομονητικὸν πένθους καὶ κακοπαθείας. B.E.Q. δαιμονίως σύλληψιν τῶν κινδύνων πεποίηται. P.

230. ἐνήλλαξε τὴν τάξιν ὅτι κοινότερον νῦν τὸν πέπλον φάρος εἴρηκεν. P.

1. βούληται] βούλεται P.Q.
4. εὐχερῶς] εὐχὴν P. Scholion non integrum.
6. ἄριστον—παρευδοκίμησις] Scholion v. 209. male adscriptum huc rettulit Buttm.
8. παρευδοκίμησις] παρευδοκίμευσις P.Q.
10. αὐγούστηρα] Fort. αὐγούστειρα.
12. σεβασμία Barnes. pro σεβασμένα.
19. νῦν δὲ οἱ M. οἱ μέντοι V. αὐτὸ M. πάλιν V.
21. εἰς σῶμα] Scribendum, εἰς ὦπα cum Porsono.
24. ἀπόστασιν] ὑπόστασιν Q.

231. περὶ δὲ ζώνην βάλετ' ἰξυῖ] ῥάχει ὅλῃ. ἰξὺς δὲ τὸ ἄνω, ὀσφὺς τὸ κάτω. ἰξὺς οἷον ἄξυστις οὖσα, ἣν οὐχ οἷόν τε ξύσαι καὶ κνήσασθαι τῇ χειρὶ, ἣν ἀλλαχοῦ λέγει ἄκνηστιν. καὶ ἑρμηνεύων τὴν λέξιν φησὶ, κατ' ἄκνηστιν μέσα νῶτα. ῥάχις δὲ καλεῖται ἡ σύμπηξις τῶν τριάκοντα τεσσάρων σπονδύλων, ὧν οἱ πρῶτοι ἑπτὰ συμπληροῦσι τὸν τράχηλον, οἱ δὲ τελευταῖοι δεκαπέντε τὴν ὀσφὺν, οἱ δὲ μέσοι δώδεκα ὄντες τὸν νῶτον, ὃν νῦν ἰξὺν ἐκάλεσεν ὁ ποιητής. B.E.Q.

232. καλύπτρην] τὸ κάλυμμα τῆς κεφαλῆς. E.Q.V.

αἱ Ἀριστάρχου, ἐφύπερθε· αἱ εἰκαιότεραι, ἐπέθηκεν. H.

236. στειλειὸν] στειλειὸς ἡ λαβὴ τοῦ πελέκεως. V. ὀξυτονητέον τὸν στειλειόν. λείπει δὲ τὸ ἦν. ἢ ἀπὸ κοινοῦ τὸ ἔδωκεν. P.Q. Ἄλλως. στελεὰ ἡ τρύπη τοῦ πελέκεως, στειλεὸν δὲ τὸ ξύλον. B.E. P.Q. ἰκρίον δὲ τὸ περὶ τὴν πρύμναν κατάστρωμα, ὡς αὐτὸς ἑτέρωθι ἐξηγεῖται αὐτά. ἰκρίον δὲ ἀπὸ τοῦ ἱκνεῖσθαι εἰς τὸν ἀέρα. B.E.Q.

238. νήσου ἐπ' ἐσχατιῆς] οὐχ ὅτι ἠγνόει τοσοῦτον χρόνον διατρίβων ἐν τῇ νήσῳ, ἀλλ' ὅτι διὰ τὸν ἔρωτα ἑτοίμως ὑπουργεῖ. ἑξῆς γοῦν μυρίας ἀφορμὰς εὑρίσκει τοῦ συνεῖναι καὶ ἐντυγχάνειν αὐτῷ. ἐξὸν γὰρ ἅμα πάντα δοῦναι, ἡ δὲ ἕκαστον πρὸς τὴν χρείαν κομίζει. Ἄλλως. τὸ πρὸς τοῖς ἐσχάτοις τῆς νήσου εἶναι τὰ ξηρὰ πιθανὸν, ὧν κατεφρόνει ἡ θεός. ἀμελούμενα οὖν τοιαῦτα ἦν. ἅμα δὲ καὶ ὑπὲρ τοῦ μὴ ἀχθοφόρον τὸν ἥρωα φαίνεσθαι μακρόθεν φέροντα τὰ ξύλα εἰς θάλασσαν. P.Q.

240. αὖα πάλαι] κατάξηρα καὶ ἐξαυλισμένα. E.Q.V. ἢ δι' εὐφωνίαν ἔγκειται τὸ α. V.

περίκηλα] Ἀρίστταρχος ὥσπερ ξηρὰ ἐκδεχόμενος, τὰ περικεκαυμένα ὑπὸ ἡλίου. Χρύσιππος δὲ διήρει, περὶ κῆλα, περισσῶς ξηρά. P.

1—7. ἰξύς, ῥάχις. ῥάχις δὲ καλεῖται ἡ σύνταξις τῶν εἴκοσι τεσσάρων σπονδύλων ὧν οἱ π. ε. σ. τ. τ. οἱ δὲ τελευταῖοι πέντε τ. ο. οἱ δὲ μέσοι δώδεκα ὄντες — — ὁ ποιητής B.H.P.Q. alio scholio. Et ἰξύϊ] οἷον ἄκνηστίς τις οὖσα ἣν οὐχ οἷόν τε ξύσαι καὶ κνήθεσθαι τῇ χειρὶ— (ut supra)—μέσα νῶτα P.Q. iterum alio scholio. Excerpsit hæc Eustath. p. 1531, 1.

5. τεσσάρων σπονδύλων] τριῶν σφονδύλων E.

6. δώδεκα] ἕνδεκα E.

9. αἱ ante Ἀριστάρχου addidit Porson.

11. ἦν Buttm. pro ἦ.

κοινοῦ] τοῦ κοινοῦ P.

13. ἑτέρωθι] Vid. ad 254.

23. ἐξαυλισμένα] ἐξηυλημένα emendo Hesychii et Etym. M. auctoritate. BARNES.

ἢ δι' εὐφωνίαν] Nescio quid hoc inficetiarum: nam in ed. ant. lemma scriptum est ita ΑΥΑΠΑΛΑΙ. BUTTM.

Ἄλλως. διχῶς, περίκηλα καὶ περὶ κῆλα, περισσῶς κεκαυμένα ὑπὸ ἡλίου, οὐκέτι θάλλοντα οὐδὲ ὑγρά. E.P.Q.

244. εἴκοσι δ' ἔκβαλε πάντα] παρέλκει τὸ πάντα, ὡς ἐν τῷ "τριχθὰ δὲ πάντα δέδασται" (Il. ο, 189.). P.Q. ἐπιφέρει γὰρ "γαῖα δ' ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος" (ib. 193.) Q. 5

245. στάθμην] κανόνα, ὑπομεμιλτωμένον σχοινίον. P.Q.V. τεκτονικὴν σπάρτον. P.V.

246. τόφρα δ' ἔνεικε τέρετρα] "τόφρα δὲ φάρε' ἔνεικε Καλυψὼ δῖα θεάων" (258.). Q.

τέρετρα] τρυπάνους. P. πάντα τὰ τρῆσαι δυνάμενα. B.P. ἀπὸ 10 τοῦ τορῶ τὸ τρυπῶ. B. πάντα τὰ διατρῆσαι δυνάμενα, γομφωτήρια καὶ τρύπανα. V. τὰ ὀρθὰ ξύλα, οἷον στήμονος τάξιν ἐπέχοντα. T.

247. 248. τέτρηνεν — ἁρμονιῇσιν ἄρασσεν] Ἀριστοφάνης τὸ αὐτὸ ᾤετο περιέχειν ἄμφω. διὸ τῷ μὲν σίγμα, τῷ δὲ ἀντίσιγμα ἐπιτίθησιν. B.P.Q. Vind. ὁ δὲ Ἀρίσταρχός φησι διὰ τοῦ πρώ- 15 του τὸ μὲν τέλειον τῆς ἁρμογῆς μὴ εἶναι, ἀλλ', ὡς ἄν τις εἴποι, ἁρμόζοντα κατεσκεύασε, καὶ πρὸς ἄλληλα συγκαταγαγὼν ἐσκέψατο εἰ ἁρμόζει ἀλλήλοις. τῷ δὲ ἑξῆς συνέκλεισε καὶ κατεγόμφωσε. διὰ γὰρ τοῦ ἄρασσε τὸ τέλος τῆς ἁρμογῆς παρέστησε. B.H.M.P. Q.T. 20

248. γόμφοισιν] οἷς ἁρμόζεται τὰ ξύλα πρὸς ἄλληλα. ἢ πασσάλοις, ἢ πλατέσιν ἐπιούροις, ἢ σφήναις. V.

γόμφοισιν δ' ἄρασσεν, ἀντὶ τοῦ κατεγόμφωσεν. ἁρμονιῇσιν ἄρασσεν ἀντὶ τοῦ συνήρμοσε καὶ συνέκλεισε. B.H.M.P.Q.T.

ἄραρεν] ἥρμοσεν. γράφεται καὶ ἄρηρεν. V. 25

2. ὑγρά] χλωρά P.

6. τεκτονικὴν] ἢ τεκτονικὴν V.

8. φάρε' ἔνεικε] ἔνεικε φάρεα Q. "Videtur aliquis hos versus hic conjunxisse, ut demonstrent id quod dictum est ad 238. ἑξὸν γὰρ ἅμα κ. τ. ἑ. Hoc autem in suis quoque antiquorum commentariorum exemplis ita invenit Eustathius; unde factum ut vocem φάρεα hic statim explicaret, longe antequam ordine ad illum versum perveniret. Faciunt talia ad materiam de Eustathii fontibus." BUT.

14. τὸ αὐτὸ — π. ἄμφω] τοὺς δύο τούτους στίχους τὸ αὐτὸ — π. P. Vind.

σίγμα] In codicibus sola litera σ expressum, cujus saltem ponenda erat forma majuscula C.

15. ὁ δὲ — εἶναι, ἀλλ' om. M.T.

17. ἁρμόζοντα] ἁρμοζόντως M.

συγκαταγαγὼν H.M.T. καταγαγὼν ceteri.

18. ἁρμόζει] ἁρμόζοι M.T.

τῷ δὲ (sc. στίχῳ) Buttmannus pro τὸ δέ.

19. τέλος — παρέστησε] τέλεον — κατέστησεν T.

ἁρμονιῇσιν] προπερισπωμένως. ἐστὶ γὰρ Ἰώνων ὁ καταβιβασμός. H.P.

249. ἔδαφος νηὸς] ἀλλαχοῦ γαστέρα λέγει τὴν τρόπιν τῆς νηός. E. τὸ κατώτατον κύτος τῆς νηὸς, ἣν νῦν καλοῦσι γάστραν. H.Q. T.V.

τορνώσεται] περιγράψηται καὶ περιορίσηται, ὡς ἐπὶ τοῦ "τορνώσαντο δὲ σῆμα" (Il. ψ, 255.). B.E.P.Q.T.

250. φορτίδος] φορταγωγοῦ. τῆς καὶ ὁλκάδος καλουμένης. P.V.

251. ποιήσατ' Ὀδυσσεύς] ἔνιοι, τορνώσατ' Ὀδυσσεύς. B.E.H.Q.

252. ἴκρια] τὰ ἐπιτεταμένα ξύλα ἀπὸ πρύμνης ἕως πρῴρας. E.

τὰ σανιδώματα, παρὰ τὸ δι' αὐτῶν ἱκνεῖσθαι καὶ διαβαίνειν τὸν κυβερνήτην. B.P.Q.T. ἴκριον ἐκάλεσε διὰ τὸ ἐπ' αὐτοῦ ἱκνεῖσθαι καὶ διαβαίνειν τὸν κυβερνήτην. P.T. ad 254.

σταμίνεσσι δὲ τοῖς ἐπιμήκεσι ξύλοις καὶ στήμονος τάξιν ἐπέχουσιν, ἃ παρατίθεται τοῖς ἰκρίοις ἐξ ἑκατέρων τῶν μερῶν πρὸς τὸ ἑστάναι· ἢ τοῖς ὀρθοῖς ξύλοις, οἷς τὰ πηδάλια πήσσεται. B.E.H.Q.V.

253. ἐπηγκενίδεσσι] ταῖς διατεταμέναις σανίσι, κατὰ μετάθεσιν τοῦ ν, οἷον ἐπενδοκίδεσσι, ταῖς ἐπικειμέναις δοκοῖς. B.E.H.P.Q.

τὸ δ' ἐπηγκενίς οὕτω σχηματίζει ὁ Ἀπολλώνιος· ἐνέγκω, ἐπε-

1. καταβιβασμός] ὑπερβιβασμός H. Sed huic voci, de cujus sensu grammatico vid. Schæf. ad Greg. Cor. p. 649. locus hic non est. Καταβιβασμός autem est, cum tonus descendit versus finem vocis, ut in ἁρμονία, ἁρμονιά. BUTTM.

3. τὴν τρόπιν τῆς νηός] Hoc nusquam quod sciam ita reperitur. In P. inter lineas scriptum τὸ κοῖλον, ἢ γάστρα λέγεται. Cf. Il. σ, 348. et Od. θ, 437. ubi γάστρη dicitur cavitas sive fundus tripodis. BUTTM.

4. τὸ κ.] ἤτοι τὸ κ. V.

νηὸς] νεὼς H.

ἣν—γάστραν om. Q.V.

νῦν om. H.

γάστραν] γαστέρα T.

6. περιγράψηται καὶ περιορίσηται P. περιγράψεται καὶ περιορίσεται B.E.Q. T.

11. τὸν κυβερνήτην om. B.P.Q.

14. δὲ om. E.

14. τάξιν] τρόπον E.

ἐπέχουσιν H. ἔχουσιν ceteri.

15. παρατίθεται] περιτίθεται E.

16. πήσσεται] ἐμπήσσεται E.V.

17. ἐπηγκενίδεσσι] Scribebatur ἐπηγκενίδεσι.

18. τοῦ ν] τοῦ γ V.

ἐπενδοκίδεσσι] ἐπενδοκίδεσι P. ἐπινεκίδεσσι H. ἐπινεκήδεσι ceteri, nisi quod ἐπηνακήδεσι V. in edd. vet.

δοκοῖς] τοῖς δοκοῖς B.E.Q.

19. Ἀπολλώνιος] Apollon. Lex. Hom. ἐπηγκενίδεσσι: τῆς σχεδίας τὰ διηνεκῆ ξύλα. Sic etiam Hesych., qui addit, αἱ εἰς μῆκος καθηλούμεναι σανίδες. οἱ δὲ τὰ παραθέματα, ἢ πλάγια. Explicatius Etym. M. p. 357, 3. ἐπηγκενίς: τὸ ἐπὶ μῆκος παρατεταμένον μακρὸν ξύλον, ἤγουν ἡ μακρὰ σανίς. παρὰ τὸ ἐνέκω ἢ ἐνέγκω γίνεται ἐνεγκίς, καὶ ἐκτάσει ἐνηγκὶς, καὶ καθ' ὑπερβιβασμὸν καὶ μεταθέσει τοῦ ν εἰς γ ἐπηγκενὶς ἐπηγκενίδος. Eust. p. 1533, 39. ἐπηγκενίδες δὲ σανίδες ἐκ πρῴρας εἰς πρύμναν τεταμέναι καὶ ἐπενηνεγμέναι, ὅθεν καὶ ἐτυμολογεῖται. παρὰ γὰρ τὸ ἐπενεγκεῖν ἐπενεγκὶς γίνεται, καὶ κατὰ

νεγκίς, καὶ ἐν ὑπερβιβασμῷ καὶ ἐκτάσει ἐπηνεγκίς καὶ ἐπηγκενίς. ἡ ἀπὸ πρῴρας ἕως πρύμνης ἐπενεχθεῖσα σανίς. Ἄλλως. ἐπηγκενίδες τὰ παρατεταμένα ξύλα καὶ οἷον ἀντὶ κρόκης. B.E.H.P.Q.T.

Ἄλλως. ἐπηγκενίδεσσι. οὕτως Ἀρίσταρχος. Ῥιανὸς δὲ ἐπητανίδεσσι· ἤγουν ταῖς μακραῖς καὶ ἐπεκτεταμέναις. P. 5

254. ἐπίκριον] τὸ κερατάριον. καὶ ἑξῆς γοῦν φησι "τηλοῦ δὲ σπεῖρον καὶ ἐπίκριον ἔμπεσε πόντῳ" (318.). B.E.P.Q.T. τὴν κεραίαν, τὸ πλάγιον ξύλον τοῦ ἱστοῦ, ᾧ προσδέδεται τὸ ἄρμενον. P.Q.V.

Ἄλλως. ἴκριον, τὸ περὶ τὴν πρύμναν κατάστρωμα, ὡς αὐτὸ ἑτέρωθι ἐξηγήσατο· "ἱστὸς δ' ὀπίσω πέσεν, ὅπλα τε πάντα εἰς ἄντλον 10 κατέχυνθ', ὁ δ' ἄρα πρύμνῃ ἐνὶ νηῒ πλῆξε κυβερνήτεω κεφαλήν" (Od. μ, 410.)· εἶτα ἑξῆς "κάππεσ' ἀπ' ἰκριόφιν" καὶ ὃ πρύμναν ὠνόμασεν ὑποκατιών. P.T.

256. ῥίπεσσι] πλέγμασι ψιαθώδεσιν οὖσι πεπλεγμένοις. οἰσυΐνῃσι δὲ, τοῖς τῆς ἰτέας κλάδοις, ἢ ἀπὸ τοῦ οἰσυΐνου. ἔστι δὲ ἱμαν- 15 τῶδες φυτόν. H.P.Q. ψιαθώδεσι πλέγμασι. ἱμαντῶδες δὲ φυτὸν ἡ οἰσυΐα, θρύῳ ὁμοία. γίνεται δὲ ἀπὸ τοῦ ῥίπτω. B.E.Q.T.

257. κύματος εἴλαρ] κώλυμα, ἀσφάλειαν καὶ φυλακήν. E.Q.V.

ἐπεχεύατο ὕλην] ἔρεισμα τῆς σχεδίας. V. ξύλα, λίθους, ψάμμον, πρὸς τὸ μὴ εὐρίπιστον εἶναι τοῖς πνεύμασιν ἐλαφρὰν οὖσαν. 20 B.E.P.Q.T.

260. ὑπέρας] τοὺς ἐκ τοῦ ἄκρου τῆς ὀθόνης ἐξημμένους κάλους.

μετάθεσιν ἐπεγκενὶς καὶ κατὰ ἔκτασιν ἐπηγκενίς. ἔστι δὲ ἐπεγκενὶς ἢ καθ' ἣν οἱ σκαλμοὶ πήγνυνται, ἢ ὅπερ κοινῶς περίτονον λέγεται παρὰ τὸ διόλου τείνεσθαι. παρὰ δὲ τοῖς παλαιοῖς φέρεται καὶ ὅτι ἐπηγκενίδες μακρὰ ξύλα τῆς σχεδίας, ἢ τὰ παραθέματα.

3. παρατεταμένα correxi ex Etym. M. περιτεταγμένα P. et fortasse H. ἐπιτετμημένα ceteri.

4. ἐπηγκενίδεσσι] Scribebatur ἐπηγκενίδεσι.

ἐπητανίδεσσι] ἐπιτανίδες P. quod in ἐπεκτανίδες mutabat Buttm., in ἐπητανίδες Lobeck. Pathol. Elem. vol. 1. p. 508. (cui ego ἐπητανίδεσσι prætuli) collata Hesychii glossa ἐπηγανίδες· ἐπηνύγματα, quod scribendum videri, quamquam contra seriem literarum, ἐπητανίδες· ἐπιπτύγματα. Idem grammaticus paullo post ἐπηγκενίδες· τὰ διηνεκῆ τῆς σχεδίας ξύλα, αἱ εἰς μῆκος καθηλούμεναι σανίδες· οἱ δὲ τὰ παραθέματα ἢ πλάγια.

6. κερατήριον B.E.Q. Quod κερατάριον scribendum, ut est in T. et schol. ad 315. De quo voc. vid. Ducangii Glossarium. κεράτιον P.

8. τὸ ἄρμενον] τὰ ἄρμενα V.

9. Hæc potius referenda ad v. 252. BUTTM.

12. ἰκριόφιν] Addi poterat ν, 75. ubi post ἰκριόφιν infertur πρύμνης. Sed eodem modo μ, 230. post ἴκρια additur πρῴρης. BUTTM.

14. πλέγμασι] πλάσμασι Q.

οἰσυΐνῃσι] οἰσυΐνεσσι H.

15. τοῦ om. Q.

οἰσυΐνου] οἰσυϊνῶν V. οἰσυῶν Barnes

18. καὶ φυλακήν om. E.Q.

ἢ τὰς τροχιλίας. V. ὑπέρας τὰς τροχιλίας, ἢ σχοινία οἷς μετάγεται τὸ κέρας. Ἄλλως. τὰ ἄνω εἰς ἄκρον ἑκατέρωθεν τοῦ κέρατος δύο σχοινία δι' ὧν μετάγεται τὸ κέρας ὑπέρας καλεῖ. κάλους δὲ τὰ ἐν μέσῳ τοῦ κέρατος ἀνάγοντα καὶ κατάγοντα τὸ ἄρμενον. B.E.H. P.Q.T πόδας δὲ, τὰ κάτω ἑκατέρωθεν δύο σχοινία πρὸς πρῷραν καὶ πρύμναν ἀναδεσμοῦντα τὸ ἄρμενον. B.E.Q.T.

κάλους] οἷς ἀνίεται τὸ ἱστίον. Q.

ὑπέρας, τὰ ὑπεράνω σχοινία. P.

κάλωας, σχοινία δι' ὧν ἀνάγεται καὶ κατάγεται ἡ κεραία. V.

ὑπέρας] οἷς μετάγεται τὸ κέρας. P. πόδας] οἷς μετάγεται τὸ ἱστίον. P.Q. κάλους] οἷς συσπᾶται καὶ ἀνίεται τὸ ἱστίον. P.

πόδας λέγει τοὺς σχοίνους τοὺς κάτωθεν συνέχοντας τὴν ὀθόνην, ἢ τοὺς μεταγωγοὺς τοῦ κέρατος. ἕτεροι δέ φασι σχοινία οἷς συνέχεται ἀπὸ πρῴρας καὶ πρύμνης ὁ ἱστός· ἢ τὰ ἑκατέρωθεν δεδεμένα τοῖς ἀρμένοις σχοινία. P.Q.V.

266. μέγαν] διὰ τὸ τριπλάσιον τοῦ οἴνου δεῖν εἶναι. P.T.

267. κωρύκῳ] οἱονεὶ χώρυκός τις ὢν παρὰ τὸ χωρεῖν, καὶ κώρυκος. σημαίνει δὲ τὸν θύλακον. B.E. κώρυκος κυρίως λέγεται ὁ θύλακος, οἱονεὶ (P. δηλαδὴ) ὁ ἀσκὸς, οἷον χώρυκός τις ὤν. καταχρηστικῶς δὲ λέγεται καὶ πᾶν εἶδος σακκίου. P.Q.

268. οὖρον] οὖρος ὁ ἄνεμος παρὰ τὸ ὀρούειν καὶ ὁρμῆς αἴτιον εἶναι. T.

λιαρόν τε] ἢ χλιαρὸν, ἢ ὁμαλὸν, ἀπὸ τοῦ λεῖον τὸ ὁμαλόν. B.

272. Πληϊάδας τ' ἐσορῶντι] ὅτι οὐδὲ τῶν κατὰ τὸν οὐρανὸν ἄστρων ἀπείρως Ὅμηρος εἶχε φανερόν ἐστιν ἐξ ὧν πεποίηκε "Πληϊάδας θ' Ὑάδας τε τό τε σθένος Ὠρίωνος" (Il. σ, 486.), καὶ τὴν Ἄρκτον τὴν ἀεὶ στρεφομένην περὶ ἀειφανῆ πόλον τὸν βόρειον καὶ διὰ τὸ μετέωρον μὴ ἁπτομένην τοῦ ὁρίζοντος. ὅτι ἐν ἴσῳ χρόνῳ ὅ τε σμικρότατος κύκλος, ἐν ᾧ ἐστιν ἡ Ἄρκτος, καὶ ὁ μέγιστος, ἐν ᾧ ὁ Ὠρίων, στρέφεται ἐν τῇ τοῦ κόσμου περιφορᾷ. καὶ τὸν βραδέως δυόμενον Βοώτην, ὅτι πολυχρόνιον ποιεῖται τὴν κατάδυσιν οὕτω πεπτωκότα τῇ θέσει ὥστε ὀρθὸν καταφέρεσθαι καὶ συγκαταδύεσθαι τέτταρσι ζῴοις τῶν πάντων εἰς ὅλην τὴν νύκτα μεριζομένων ἐξ ζωδίων. E.

1. τροχιλίας] τροχηλίας V.

τροχιλίας scripsi pro τροχαλίας (τροχαλιὰς T. τροχαλαίας P.) τοὺς τροχίλους dixit Eustath. p. 1534, 8.

18. ὁ θύλακος] Hinc in marg. P. legitur a manu prima hoc quoque: γρ. θυλάκῳ. V. ad α, 361. BUTTM.

28. καὶ ὁ μέγιστος Buttm. pro ἡ μεγίστη.

ἐσορῶντι] γρ. καὶ, εἰσορόωντα. διχῶς αἱ Ἀριστάρχου. H.

Πληϊάδας] Πληϊάδες Πληϊόνης τῆς Ὠκεανοῦ καὶ Ἄτλαντος θυγατέρες. P.

Ἄλλως. Πληϊάδας ἑπτὰ ἀστέρας συνεχεῖς κατ' οὐρὰν τοῦ Ταύρου κειμένους, ὧν οἱ ἓξ μόνοι φαίνονται. E.P.V. 5

καὶ ὀψὲ δύοντα Βοώτην] σημειοῦνταί τινες ὅτι ὁ αὐτὸς καὶ Ἀρκτοῦρος λέγεται. E.P.Q.T.

Ἄλλως. ὀψὲ δύοντα] μετὰ πολὺν χρόνον τῶν συναναστειλάντων δύνοντα. κατὰ γὰρ τὸν Ἄρατον "τέτρασι γὰρ μοίραις ἄμυδις κατιόντα Βοώτην ὠκεανὸς δέχεται." συγκαταφέρεται δὲ τέτρασι ζω- 10 δίοις, σκορπίῳ, ἀφ' οὗ ἄρχεται δύεσθαι, τοξότῃ, αἰγοκέρωτι, καὶ ὑδροχόῳ, ἐφ' οὗ λήγει. E.H.P.Q.V.

ὀψὲ δύοντα] τότε γὰρ μάλιστα τοῦ ἔργου ἀπολύονται οἱ βόες. B.V.

ὀψὲ δὲ δύοντα τὸν Ὠρίωνα εἶπεν ὡς πρὸς τὰς Πλειάδας, μετὰ 15 γὰρ τὸ δῦσαι ταύτας καιροῦ παραρρυέντος ἐπιδύεται καὶ οὗτος. B

Βοώτην δὲ αὐτὸν ἐκάλεσε διὰ τὸ πλησίον φέρεσθαι τῶν Ἄρκτων τῶν ἐοικυιῶν βουσὶ φευγούσαις διὰ φόβον τὸν βουκόλον, ὡς αἱ αὐταὶ τὸν Ὠρίωνα φεύγειν δοκοῦσι διὰ τὴν ἀπόστασιν. B.

Βοώτην ἀστέρα λέγει, οὗ φαινομένου περὶ τὴν ἑσπέραν οἱ βόες 20 ἐλευθεροῦνται τῆς ζεύγλης καὶ πρὸς μονὰς ἀπολύονται. P.Q.

ὁ Βοώτης καὶ Ἀρκτοφύλαξ καλεῖται. καὶ δοκεῖ εἶναι ὁ Ἰκάριος. Βοώτης δὲ λέγεται ὅτι κατὰ τὴν ἐπιτολὴν αὐτοῦ βοηλατοῦσι καὶ ἀροτριῶσιν. ἢ ἐπεὶ ὁ Ἰκάριος ἐπὶ ἁμαξῶν παρεκόμιζε τὸν οἶνον. E.H.P.Q.V. 25

ὁ ἀρκτικὸς κύκλος περιέχει τὰς Ἄρκτους καὶ τὸν Δράκοντα, περὶ ὧν φέρεται ἡ ἱστορία ἥδε. τὸν Δία ἐν Κρήτῃ τεχθέντα δύο νύμφαι ἐκεῖσε ἀνέτρεφον, καὶ ἡ μὲν Ἑλίκη ὠνομάζετο, ἡ δὲ Κυνόσουρα.

1. Nempe duæ lectiones commixtæ erant, ἐσορῶντα et ὁρόωντα, vel ἐσορῶντι et ὁρόωντι. PORSON.

2. Πληϊόνης] πληόνης P.

θυγατέρες Buttm. θυγατρός P.

4. οὐρὰν] οὖνον (i. e. οὐρανὸν) MS. Barnes. Ex H. annotatum πληϊάδας λέγει τοὺς κατ' οὐρανὸν ὄντας πλανήτας.

9. Ἄρατον] 581.

10. συγκαταφέρεται—λήγει] Hæc E. repetit infra ad v. 275.

ζωδίοις] ζώοις E.Q.

11. δύεσθαι addidi ex Eustathio p. 1535, 32.

12. ἐφ' οὗ] Male ἀφ' οὗ ap. Eustath.

18. αἱ addidit Buttm.

24. παρεκόμιζε] ἐκόμιζε H. In illo consentit Eustath. p. 1535, 39.

Κρόνου δέ ποτε ἐπελθόντος ὁ Ζεὺς τὸν ἑαυτοῦ πατέρα παραλογισάμενος τὰς νύμφας μετέβαλεν εἰς ἄρκτους, αὐτὸς δὲ εἰς δράκοντα μετεβλήθη. εἶτα τῆς βασιλείας ἀντιλαβόμενος τῇ ἄρκτῳ ἀνεστήριξε φημὶ τὰς νύμφας καὶ ἑαυτόν. ἄξων δὲ λέγεται ἐπεὶ περὶ αὐτὸν ἄγεται ὁ οὐρανός. Q. 5

273. Ἄρκτον θ', ἣν καὶ ἅμαξαν] ἅμαξα καλεῖται ἡ Ἄρκτος ἐπεὶ ἐκ τεσσάρων ἀστέρων σύγκειται τρόπον ἐχόντων πλινθίου, καὶ ἄλλων τριῶν δίκην ἐχόντων ῥυμοῦ. E.P.Q. ἐξ ἀμφοτέρων δὲ ὥσπερ ἐκ τροχῶν καὶ ῥυμοῦ ἁμάξης σχῆμα ἀποτελεῖται. E.P.Q.T.

ὅτι καὶ ἐν Ἰλιάδι (α, 487.) τὰ αὐτὰ περὶ τῆς Ἄρκτου καὶ τῶν 10 ἄλλων ἀστέρων φησίν. P.

275. οἴη δ' ἄμμορός ἐστι] μόνη δὲ, φησὶν, ἡ ἅμαξα τῶν λοιπῶν ἀστέρων ἐστὶν ἄμοιρος τῶν λοετρῶν τοῦ ὠκεανοῦ. λοετρῶν λέγει τούτων, ἐπειδὴ γὰρ, ὡς οἶμαι, ὁ περὶ τὸν ὠκεανὸν τόπος οὐκ ἀναδίδωσιν ἀτμοὺς παχεῖς, ὡς ἐπισκοτίζεσθαι τοὺς ἐπανατέλλοντας φωστῆρας 15 ἐκεῖσε τούτοις, ἀλλὰ μένειν αὐτοὺς εἰλικρινεῖς καὶ φαιδροὺς, λέγει πως τούτους λούεσθαι καὶ καθαίρεσθαι ἐν τοῖς τοῦ ὠκεανοῦ λουτροῖς, τῇ τούτου καθαρότητι. ταύτην οὖν μοι λέγειν δοκεῖ ἔννοιαν λουτροῦ. P.Q. λοετρῶν] τοῦ λουτροῦ. H.

277. πρὸς τὸ περὶ τῆς πλάνης, ὅτι ὡς ἀπὸ τῶν περὶ τὸ Ἀτλαν- 20 τικὸν πέλαγος φέρεται ἐπ' ἀνατολάς. H. νοητέον ὅτι εἰκὸς ἦς τότε πλημμυρῆσαι τὸν ὠκεανόν. H.

χειρὸς] γρ. νηός. H.M.

280. ὅθι τ' ἄγχιστον] τὸ ὅθι χρονικῶς οἱ Ἀριστάρχου, ἀντὶ τοῦ ὅτι, ἵν' ᾖ, ὅτι ἐγγὺς γέγονεν. Ἄλλως. ὅθι τ' ἄγχιστον ἀντὶ τοῦ 25 ὅτι, ὡς "τότε με σχεδίης ἀποβῆναι ἀνώγει" (357.). ἄγχιστον δέ φησι καθὸ τούτους ὑφίσταται τῆς γῆς ἐσχάτους οἰκοῦντας. καὶ ἡ

3. ἀνεστήριξε φημὶ] Hæc corrupta. κατηστέρισε, φασὶ Buttm.

7. σύγκειται] συνάγεται E.Q.

15. φωστῆρας] ἀστέρας P.

17. πως] περὶ P.

18. καθαρότητι] καθαρειότητι P.

24. οἱ Ἀριστάρχου] οἱ Ἀριστάρχειοι Buttm.

ἀντὶ τοῦ ὅτι—] Pro ὅτε mirum in P. quoque ter continuo hic legi ὅτι. Sed mendum manifestum vel e versu allegato, in quo diversa aberratione τότε scriptum pro ὅτε, sive potius ὡς τὸ ὅτε—. Ex eadem autem allegatione colligas Aristarchum vocem ὅθι hic, ut alias alteram ὅτε, cepisse sensu Latini *quandoquidem*. BUTTM.

26. Verba ἄγχιστον φασὶ δὲ καθὸ (nam sic scriptum)—πόντῳ habet etiam T., omisso ἐσχάτους.

Ναυσικάα φησὶν "οἰκέομεν δ' ἀπάνευθε πολυκλύστῳ ἐνὶ πόντῳ ἔσχατοι" (ζ, 204.). P.Q.

281. εἴσατο δ' ὡς ὅτε ῥινὸν] εἰ μὲν ῥινόν ἀναγνωστέον, ἔσται, ἐφάνη ὡς ἀσπὶς, ὅ ἐστι βύρσα· εἰ δὲ ἐρινόν, ἔσται συκέα. οἱ δὲ λέγουσιν Ἰλλυριοὺς ῥινὸν λέγειν τὴν ἀχλύν. ἐφάνη οὖν ὡς ἀχλὺς ἡ γῆ. V. ῥινὸν λέγει τὴν ἀχλύν. P. ἐφάνη ὡς ἀχλὺς ἡ γῆ. P.Q.

εἴσατο δ' ὡς ὅτε ῥινὸν] ἀντὶ τοῦ βύρσαν, ὡς καὶ ἐν Ἰλιάδι (κ, 155.) "ὑπὸ δ' ἔστρωτο ῥινὸν βοὸς ἀγραύλοιο· αὐτὰρ ἐπὶ κράτεσφι τάπης τετάνυστο φαεινός." ἢ ἐρινὸν τὴν ἐρινεὸν εἴρηκεν. Ἄλλως. ὡσανεὶ δέρμα βοὸς ἐφηπλωμένον τοῖς ὕδασιν οὕτως εἶδε τὰ ὄρη. τινὲς δὲ κακῶς ῥινόν φασιν ἀντὶ τοῦ τὴν ἀσπίδα. οἱ δὲ ἐρινὸν τὸν καρπὸν τῆς ἀγρίας συκῆς. ὁ μέντοι Ἀρίσταρχος ἐρινὸν αὐτὴν τὴν συκῆν κατὰ μεταβολὴν γένους, ὡς ὁ δίφρος τὸ δίφρον. ἔνιοι δὲ ῥινὸν κατὰ Οἰνωτροὺς τὸ νέφος. οὐ μέντοι Ἡρωδιανὸς Ἀριστάρχῳ συγκατατίθεται. Ἄλλως. ἐρινὸν οὐδετέρως ὁ καρπὸς, τὸ δὲ ἀρσενικῶς λεγόμενον ἐρινὸς τὸ δένδρον σημαίνει, ὥσπερ ἡ κέδρος θηλυκῶς τὸ φυτὸν τὸ δὲ κέδρον οὐδετέρως τὸν καρπόν. Ἀρίσταρχος δὲ ἐρινὸν αὐτὴν τὴν συκῆν κατὰ μεταβολὴν γένους. τὸν γὰρ καρπὸν μὴ νοεῖσθαι, ἐπεὶ βραχύς ἐστι πάνυ. P.Q.T.

ὥστε ῥινὸν] ἵν' ᾖ, ὡς δέρμα ὑπέλαβε τὰ ὄρη τῶν Φαιάκων. Ἀρίσταρχος ἀποδίδωσι σύκινον δένδρον. καὶ ἔστι μεταβολὴ γένους, ὡς δίφρος δίφρον, κύκλος κύκλον, ἐρινὸς ἐρινόν. E.

πολλάκις ἀπὸ διαφόρων πτώσεων συνέμπτωσις γινομένη πλανᾷ

4. ἐρινόν] ἐρινεὸν V. Correctum ex scholio proximo.

5. ἔρινον λέγειν Barnes. pro ῥινὸν λέγειν, collato Hesych. qui ἔρινος per νέφος explicat. Sed ῥινὸν etiam in scholio proximo et ap. Eustath. p. 1536, 15.

7. ὥς ὅτε] ὥστε P. ter in lemmate repetito; sed semel in contextu scholii, et in textu poetæ, ὡς ὅτε. BUTTM.

ἀντὶ τοῦ] τὴν T. τοῦ om. Q.

ὡς] ὡς τὸ T., omisso καὶ ἐν Ἰλιάδι.

8. ἀγραύλοιο—εἴρηκεν. Ἄλλως om. T.

10. ἐφηπλωμένον] ἔφη πλώϊμον Q. ἐφηπλώθη T. In B. hoc scholion, ῥινὸν τὰς βύρσας, ὡς τὸ, ὑπὸ δ' ἔ. ῥ. βοὸς, ὡσανεὶ δ. β. ἔφη πλωμένον—τινὲς δὲ ῥινόν φασι τὴν ἀσπίδα κακῶς.

εἶδεν T. οἶδε P.Q.

ὄρη—ἀσπίδα] ὄρνεα. τινὲς δὲ ῥινόν φασὶ τὴν ἀσπίδα κακῶι T.

11. ἐρινὸν T. ἐρινεὸν P.Q.

13. γένους] τοῦ γένους T.

ἔνιοι—Ἄλλως om. T.

14. Οἰνωτροὺς] Supra lin. 5. et ap. Eustath. p. 1536, 27. Ἰλλυριούς.

15. ἐρινὸν—ὥσπερ] οὐδετέρως δὲ λέγεται ὁ καρπὸς, ἀρσενικῶς δὲ τὸ δένδρον ἐρινὸς, ὥσπερ T.

17. δὲ om. P.Q.

18. γένους] τοῦ γένους T.

τοὺς πολλοὺς, ὡς ἑνὸς ὄντος τοῦ σημαινομένου, ὥσπερ ἔχει τὸ εἴσατο. σημαίνει γὰρ καὶ τὸ ὑπέλαβε καὶ τὸ ἐπορεύθη καὶ τὸ ἴσος καὶ ὅμοιος ἐγίνετο. ἀλλὰ τὸ μὲν ἀπὸ τοῦ εἴδω, τὸ δὲ ἐπορεύθη ἀπὸ τοῦ ἴω τὸ πορεύομαι, τὸ δὲ ὡμοιώθη ἀπὸ τοῦ ἐίσκω. τὸ μὲν οὖν ὑπέλαβεν "εἴσατο δ' ὡς ὅτε ῥινόν," ἀντὶ τοῦ ὡς δέρμα ὑπέλαβε τὰ 5 ὄρη τῶν Φαιάκων. καὶ "εἴσομαι αἴ κε τύχωμι" (Od. χ, 7.), ἀντὶ τοῦ νοήσω, ὑπολάβω, ἀπὸ τοῦ εἴδω. εἴσατο ἀντὶ τοῦ ὡμοιώθη, ἀπὸ τοῦ ἐίσκω, ὡς τὸ "εἴσατο φθογγήν" (Il. β. 791.), καὶ τὸ "εἰσάμενος Κάλχαντι δέμας" (Il. ν, 45.) εἴσατο ἀντὶ τοῦ ἐπορεύθη ἀπὸ τοῦ ἴω, ὡς τὸ "εἴσατο γὰρ νηῶν ἐπ' ἀριστερά" (Il. μ, 119.) E.P.Q.T. 10 καὶ τὸ "οἴη τ' Ἄρτεμις εἶσι κατ' οὔρεος ἰοχέαιρα" (Od. ζ, 102.). E.Q.

282. τὸν δ' ἐξ Αἰθιόπων] ἀπὸ τῶν πρὸς ἀνατολὰς Αἰθιόπων ἀνιὼν τὸν ἀπὸ δυσμῶν ἀντίον προσιόντα ὁρᾷ Ὀδυσσέα. P.Q. Ἄλλως. ποίων; τῶν ἀνατολικῶν. ἐκεῖθεν γὰρ τὸν ἀπὸ δυσμῶν ἐρχόμενον εὐχερῶς ὁρᾷ. P.Q.T. ἐξ Αἰθιόπων ἀνιὼν καὶ γενόμενος ἐν Σολύμοις. P.T. 15

283. ἐκ Σολύμων] τῆς Κιλικίας εἰσί. ὅθεν καὶ οἱ Σόλυμοι ὠνομάσθησαν ἀπὸ Σολύμου τοῦ Διὸς καὶ Καλχηδονίας, ὡς Ἀντίμαχος δηλοῖ. P.T. Σόλυμα ὄρη τῆς Πισιδίας. T.V.

285. κινήσας δὲ] ὅτι μὴ ἀντιμηχανώμενον τῇ αὐτοῦ βουλήσει ἑώρα τὸν Ὀδυσσέα. P. κάρην] κεφαλήν. V. 20

286. μετεβούλευσαν θεοὶ ἄλλως] εἰς τὸ νοστῆσαι δηλονότι, ἐπεὶ συνέθεντό μοι τοῦτον ἐκτοπίσαι. B. μετεμελήθησαν, μετέγνωσαν. πρώην γὰρ οἱ θεοὶ ἠμέλουν αὐτοῦ. P.Q.

289. πεῖραρ] τὸ πέρας ἢ τὸ τέλος· ἢ τὸ λιπαρὸν καὶ ἀκμάζον. E.P.V. 25

290. φημὶ ἄδην ἐλάαν κακότητος] δασέως τὸ ἄδην ἀντὶ τοῦ λίαν ἀθρόως. τὸ δὲ ἐλάαν κακότητος δηλοῖ τὸ κόρον σχεῖν τῆς κακίας. ὁ δὲ νοῦς, οἶμαι αὐτὸν ἐμφορηθήσεσθαι δυστυχίας ἑτέρας. B.P.Q.

292. τρίαιναν ἑλὼν] εὐτρεπίσας πρὸς τὸ κινῆσαι. φόρημα γὰρ αὐτῷ ἐστιν ἀχώριστον ἡ τρίαινα. H.P.Q.V. 30

P. 272, 123. πτώσεων συνέμπτωσις] κλίσεων σύμπτωσις T. recte.

P. 273, 2. καὶ τὸ ἴσος—ἐπορεύθη om. E.Q.T.

4. 10. ἴω T. ἔω E.Q.

4. τὸ πορεύομαι om. T.

13. Ἄλλως—τῶν ἀ.] ἐξ αἰθιόπων δὲ τῶν·ἀ. T. qui hæc scholio proximo adjungit. Ἄλλως et ποίων om. Q.

16. ὠνομάσθησαν] δὲ addit T., omissis τῆς K.—οἱ Σόλυμοι.

17. Καλχηδονίας] Χαλδήνης ap. Steph. Byz. s. v. Πισιδία.

18. δηλοῖ T. λέγει P.

29. εὐτρεπίσας] εὐπρεπῶς V.

30. ἐστιν om. P.Q.V.

ἀχώριστον] ἀχώρητον H. Q. Conf. Eustath. p. 1537, 22.

293. σὺν δὲ νεφέεσσι] εἰκαίως. οὐ νεφεληγερέτης ἐστὶν ὁ Ποσειδῶν. ἀλλ' οὖν γε πρὸς ἀνθρώπους πάντως οἱ θεοὶ πάντων ἐξουσίαν ἔχουσιν. ὁ δὲ Ὀδυσσεὺς ἐν τοῖς ἑξῆς κατὰ τὴν τῶν πολλῶν δόξαν εἰς Δία ἀναφέρει τὴν αἰτίαν. Q.

294. ὀρώρει δ' οὐρανόθεν νὺξ] σκότος ἐγένετο ὡς νύξ· οὐκ εἶπε δὲ ὀρώρει Ὀλυμπόθεν. H.T. τοῦτό ἐστιν ἐπιφώνημα. ἴδιον δὲ τοῦ ἐπιφωνήματος τὸ ἔχεσθαι μὲν τῶν ἀνωτέρω προσεχῶς ῥηθέντων κατά τι, ἀφίστασθαι δὲ τούτων τῷ κατά τι καὶ δοκεῖν ἀλλότριον εἶναι, ὡς καὶ ἐνταῦθα. σκότος μὲν γὰρ ἐγένετο ἀπὸ τῆς συναγωγῆς νεφελῶν καὶ τοῦ ταραγμοῦ τοῦ πόντου καὶ τῶν ἀελλῶν, οὐ μὴν καθόλου· ἡ δὲ νὺξ σκότος ἐστὶ καθόλου. καὶ ἔχεται μὲν ἡ νὺξ τοῦ μερικοῦ σκότους, ἐπεὶ καὶ αὐτὴ σκότος· ἀφίσταται δὲ τούτου, εἰ οὖν οὐ συγκρίνεται πρὸς τοῦτο οὐ σκότος οὖσα καθόλου. αὕτη ἡ φύσις τοῦ ἐπιφωνήματος. B.

οὐχὶ ἐν τῷ καθόλου, ἀλλὰ τότε γενόμενος. H.P.Q.T. τὸ δ' αἰθρηγενέτης, Ῥιανὸς καὶ Ἀριστοφάνης αἰθρηγενεής λέγουσιν. H.P.Q.

295. σὺν δ' εὖρός τε νότος τε] τὴν τάξιν αὐτῶν ὁ ποιητὴς ὡς ἔχει διέθηκε. τούτων γὰρ ὁ μὲν ἀπὸ ἀνατολῆς ὁρμᾶται, ὁ δὲ ἀπὸ μεσημβρίας, ὁ δὲ ζέφυρος ἀπὸ δύσεως, ὁ δὲ ἀπὸ ἄρκτου. καὶ ὁ μὲν ἀπηλιώτης ὑγρὸς ὢν μεταβάλλει εἰς νότον [ὑγρὸς ὢν] θερμὸν ὄντα, ὁ δὲ νότος λεπτυνόμενος εἰς ζέφυρον, ὁ δὲ ζέφυρος ἔτι μᾶλλον λεπτυνόμενος εἰς βορέαν ἀποκαθαίρεται. διὸ "ἐπὶ κραιπνὸν βορέην, τὰ δὲ κύματα ἄξε" (385.). κατὰ τὴν ἀντίθεσιν δὲ αὐτῶν φυσικῶς ἐξηγήσατο "ἄλλοτέ μέν τε νότος ἐπέεικε φέρεσθαι, ἄλλοτε δ' εὖρος ζεφύρῳ εἴξασκε διώκειν" (331.) ἠπίστατο δὲ ὁ ποιητὴς ὅτι ὁ βόρειος πόλος ὑπὲρ γῆν ἐστι μετέωρος, ὡς πρὸς ἡμᾶς τοὺς ἐν τῷ κλίματι τούτῳ κατοικοῦντας, ὁ δὲ νότος ἐκ τοῦ ἐναντίου βαθύς. ὅθεν ἐπὶ μὲν τοῦ βορείου φησὶ "καὶ βορέης αἰθρηγενέτης μέγα πῆμα κυλίνδων," τὴν ἄνωθεν ἐμπίπτουσαν φορὰν τοῦ ἀνέμου σημαίνων, τὸ δὲ ὠθεῖ τὴν ἀπὸ τοῦ κοιλοτέρου πρὸς τὸ ἄναντες βίαν. E.

8. τῷ addidit Buttm.

12. εἰ οὖν οὐ] Nescio quomodo his medendum sit, in quibus tres voculæ οὖν οὐ—οὐ sensum turbant, qui esse videtur hic: ἀφίσταται δὲ τούτου (ἡ νὺξ τοῦ σκότους), εἰ συγκρίνεται πρὸς τοῦτο, σκότος οὖσα καθόλου. BUTTM.

15. In Q. mendose primo loco αἰθριγενέτης, altero αἰθρηγενέτης. Et αἰθριγενέτης ibi etiam in lemmate v. 296. BUTTM.

16. Ῥιανὸς Porson. pro ἠριανός.

22. In Homeri textu est πρὸ δὲ κύματ' ἔαξεν.

24. In Hom. textu νότος βορέῃ προβάλεσκε φ.

28. αἰθρηγενέτης] αἰθριγενέτης E.

30. ὠθεῖ pro ἐώθη ex Od. γ, 295. ubi vid. schol. Porphyrii ad v. 296.

ζέφυρός τε δυσαὴς] ζέφυρος ὁ ἀπὸ δυσμῶν πνέων. ἀλλαχοῦ φησι "ζεφύροιο λιγὺ πνείοντας ἀήτας" (Od. δ, 567.). δυσαὴς δὲ ἤτοι δύσπνους, ἢ ἀπὸ δυσμῶν πνέων· ἢ διπλοῦς κατὰ τὸ πνεῖν. καὶ γὰρ ἀναψύχει τοὺς ἀνθρώπους. P.Q.

296. καὶ βορέης αἰθρηγενέτης] αἰθρίαν καὶ εὐδίαν ποιῶν, ἢ αἴθρον ποιῶν, τουτέστι πάγον. P.Q.V.

299. δειλὸς] δυστυχὴς, κατὰ συγκοπὴν τοῦ δείλαιος. E.

τί νύ μοι] τί μεῖζον ἔσται τούτων, οἷον ἐπὶ τί προκόψει τὰ κακά; τίνα μοι τούτων δύναται γενέσθαι μείζονα κακά; τινὲς δὲ διὰ τοῦ χ μήχιστα, ἵν' ᾖ, τίς μοι γένηται μηχανή; οἱ δὲ τὸ τί νυ πῶς ἀντὶ τοῦ, πῶς μοι τούτων δύναται μείζω γενέσθαι; ὡς κἀκεῖ "τί νύ βίομαι" (Il. χ, 431.). P.Q. τινὲς μήχιστα, ἵν' ᾖ ἀνύσματα. H.

302. ἀναπλήσειν] γράφεται ἀναπλῆσαι. T.V.

304. Ζεὺς, ἐτάραξε δὲ πόντον] κατὰ τὴν κοινὴν δόξαν εἰς Δία ἀναφέρει τὴν αἰτίαν τοῦ χειμῶνος. P.Q.T.

ἐπισπέρχουσι] ἐπισπεύδουσιν, ἐπείγονται. B.

305. σῶς] τέλειος, ἀναμφίβολος. B.Q. ὁλόκληρος, οὐκέτι ὁρῶν ἐλπίδα σωτηρίας. E.

310. περὶ Πηλείωνι] ὅτι ὑπερεμάχησαν τοῦ σώματος Ἀχιλλέως Ὀδυσσεὺς καὶ Αἴας. καὶ ὁ μὲν ἐβάστασεν, ὁ δ' Αἴας ὑπερήσπισεν, ὡς καὶ ἐπὶ Πατρόκλῳ. B.P.Q.

διὰ τί Ἀχιλλέως ἀποθανόντος μάλιστα τοῦ νεκροῦ προὔστησαν Ὀδυσσεὺς καὶ Αἴας; φαίνονται οὗτοι φίλτατοι γεγονότες Ἀχιλλεῖ. διὰ τοῦτο ὑβρίζων Ἀγαμέμνων τὸν Ἀχιλλέα καὶ τούτους ὑβρίζει

1. δυσμῶν] δυσμικῶν Q. In B. est scholion ζέφυρος ὁ ἀπὸ δυσμῶν πνέων. et in E. δύσπνους, ἀπὸ δυσμοῦ πνέων.

3. δύσπνους—ἀνθρώπους habet V.

διπλοῦς κατὰ τὸ πνεῖν] Hoc ad aliam lectionem, δισαής, pertinere conjicit Eustath. p. 1538, 25.

8. In Mediol. magna confusio Hoc enim lemma corruptum in εἰ νύ μοι contextui adhæsit sic: εἰ νύ μοι τὸ μεῖζον: quo facto novum lemma superinductum: τί—γένηται. BUTTM.

τί μεῖζον Buttm. pro τὸ μεῖζον.

10. τὸ τί νυ πῶς] Ex Harl. Porsonus hæc tantum excerpsit τινὲς —μηχανή; οἱ δὲ, τί νυ πῶς, omisso τό, festinantius credo aut per correctionem. Sed veriorem emendationem ipse verborum contextus ministrat hanc: οἱ δὲ τὸ, τί, νῦν πῶς: h. e. τί hic valere πῶς. BUTT.

11. βίομαι] Sic in V. pro βείομαι; ceteri corruptius, Q. τί νυ βῶσθαι P. τί νύ μοι βῶσθαι. BUTTM.

13. γράφεται] γράφε V.

14. κοινὴν] ἰδίαν Q.

19. ὅτι] Sic in P. cum signo relato ad verba quæ pro lemmate posui. Nam in Mediol. minus bene ὅτε, cum lemmate ὅτε μοι — — δοῦρα. BUTTM.

λέγων "ἢ τεὸν ἢ Αἴαντος ἰὼν γέρας ἢ Ὀδυσῆος" (Il. α, 138.). καὶ εἰς τὴν Χρύσην ἐκ τούτων μάλιστα ἡγεμόνα προαιρεῖται ἐκπέμπειν, εἷς δέ τις ἀνὴρ βουληφόρος ἔστω, "ἢ Αἴας, ἢ Ἰδομενεὺς, ἢ δῖος Ὀδυσσεὺς, ἠὲ σὺ Πηλείδη" (ib. 144.). καὶ εἰς τὴν πρεσβείαν τούτους ἀποστέλλει, ὅτε Αἴας φησὶν Ἀχιλλεῖ "μέμαμεν δέ τοι ἔξοχον ἄλλων κύδιστοί τ' ἔμεναι καὶ φίλτατοι" (ι, 637. s. 641.). Ε. 5

ἴσως διὰ τὴν Θέτιν Ἀχιλλέως μέμνηται. P.V.

311. τῷ κ' ἔλαχον κτερέων] οὕτως ἂν ἠξιώθην ἐνταφίων. Ε.

312. λευγαλέῳ θανάτῳ] ὅτι λευγαλέον θάνατον οἱ γλωσσογράφοι ἀποδεδώκασι τὸν ἐν ὑγρῷ, ἔκ τε τούτων καὶ ἐκ τῶν ὑπ' Ἀχιλλέως ἐν τῇ πρὸς τὸν ποταμὸν μάχῃ λεγομένων. ἄμεινον δὲ ὀλέθριον, παρὰ τὸν λοιγόν. Q. ἀδόξῳ, ἢ ἀδυνάτῳ, ἢ τῷ δι' ὕδατος. V. 10

ἁλῶναι] Ἰξίων, ἁλέσθαι. H.

313. μέγα κῦμα κατ' ἄκρης] ὡς φαμὲν κατάκρας πόλιν ἑλεῖν. B.P.Q. Ἄλλως. κατὰ παράλειψιν τῆς κεφαλῆς, ὡς τὸ "νῦν ὤλετο πᾶσα κατ' ἄκρης" (Il. ν, 772.). ἑκατέροις δὲ δύναται προσδίδοσθαι. P.Q. κατὰ παράλειψιν τοῦ, κεφαλῆς· ἢ ἀντὶ τοῦ ὅλως συνέστρεψεν· ἢ νηός. Ε. κατὰ κεφαλῆς. ἢ ἀντὶ τοῦ ὅλον. καὶ γὰρ κατ' ἄκρας πόλιν ἑλεῖν φαμέν. V. κατάκρης] κατὰ κεφαλήν. P. 15

314. ἐπεσσύμενον] Ἀρίσταρχος ἐπισσύμενον διὰ τοῦ ι. H.P. 20

315. αὐτὸς πέσε] Ῥιανὸς, αὐτὸν βάλε. τὸ κῦμα δηλονότι· ὃ καὶ ἄμεινον. ἀντιστρόφως δὲ ἡρμήνευσεν. οὐ γὰρ πρότερον ἔπεσεν, εἶτα ἀφῆκε τὸ πηδάλιον. B.H.P.Q.

317. δεινὴ μισγομένων] τινὲς οὕτως, σὺν τῇ δίνῃ τῶν ὑδάτων ἐλθοῦσα ἡ τῆς συμμίξεως τῶν ἀνέμων θύελλα. B.P.Q.T. δεινὴ] γράφεται, δίνη. B.H. 25

2. Χρύσην] χρύσαν E.

13. ἁλέσθαι] ὀλέσθαι Buttm.

16. ἑκατέροις P. ἑκατέρως Q.

προσδίδοσθαι hic et p. 254, 27. correxi pro προδίδοσθαι. Vide etiam p. 201, 26. 230, 13.

17. παράλειψιν] παράληψιν E.

19. κατὰ κεφαλήν (κατακεφαλήν P.)] Ex hoc potissimum accusativo apparet fuisse qui hanc formulam ita dividerent κατὰ κράς vel κρής (v. schol. Il. α, 531.) BUTTM.

20. ἐπισσύμενον] Nimirum ob accentum, qui in partic. perf. penultimam, in aoristo autem (ἐσσύμην, σύμενος) tertiam a fine occupat. Nunc ἐσσύμενος referendum est ad illa ἐληλάμενος, ἀκηχέμενος, de quibus vid. Gramm. m. ampl. §. 98. obs. 19. cui addere hoc verbum neglexi. BUTTM. διὰ τοῦ ι om. P.

21. Ῥιανὸς] In B.Q. ubi hæc adhærent scholio 313. hic insertum δέ post αὐτόν, et mox verba καὶ ἄμεινον omissa. BUTTM. Addidi ὅ.

24. ὑδάτων—συμμίξεως] ῥευμάτων —μίξεως T.

318. σπεῖρον τὸ ἱστίον, ἐπίκριον δὲ τὸ κερατάριον. B.P.T.

319. ὑπόβρυχα] εἴτε ἐπίρρημα εἴτε ἀπὸ τοῦ βρύξ προπαροξυνθήσεται. τὸ δ' ἐδυνάσθη ἀπὸ τοῦ δυνάζω, ὡς πελάζω. B.E.P.Q.

ὑπόβρυχα] ὑποβρύχιον. βούλεται δὲ λέγειν τὸν καταδεδυκότα εἰς τὸ ὕδωρ. B.E.P.Q.V.

324. ἀλλ' οὐδ' ὡς σχεδίης] μεγάλη τῆς συνέσεως ὑπερβολὴ τὸ ἐν τοιούτῳ καιρῷ μνημονεῦσαι καὶ τῶν δεινῶν κρείσσω γενέσθαι καὶ ἐπὶ τὴν μόνην ἐλπίδα τῆς σωτηρίας καταφυγεῖν. P.Q.

328. ὡς δ' ὅτ' ὀπωρινὸς βορέης] ὥσπερ ὁ βορέας φέρει τὰς ἀκάνθας, φέρονται δὲ συνεχόμεναι ἀλλήλαις, οὕτω καὶ τὴν σχεδίαν ἔφερεν ὁ ἄνεμος συγκεκολλημένην. B.P. σφοδρότατοι δὲ οἱ ἐτήσιοι. ἡ δὲ ἄκανθα ὑπεξηραμμένη ὑπὸ τοῦ θέρους ἐλαφροτάτη γίνεται. B.P. ὅτι ἅμα, ἔτι δὲ καὶ πρὸς τὸ εὔκολον τῆς κινήσεως ἡ εἰκών. H.P.

ὀπώρα τὸ θέρος, ἐν ᾧ πεπαίνονται αἱ ὀπῶραι, καὶ ὀπωρινὸς βορέας ὁ θερινός. B. ὀπωρινὸς ὁ ἐν τῷ καιρῷ τῆς ὀπώρας, ὅ ἐστιν ἐν τῷ θέρει, πνέων. V.

329. 330. καὶ τὸ ἀμπεδίον καὶ τὸ ἀμπέλαγος διὰ τοῦ μ γραπτέον. P.

333. Κάδμου θυγάτηρ] διὰ τί αὕτη μόνη οἰκτείρει τὸν Ὀδυσσέα; λύεται δὲ ἐκ τῆς λέξεως. φησὶ γὰρ αὐτὴν ἄνθρωπον εἶναι πρότερον. ὡς ὁμοιοπαθὴς οὖν ἄνθρωπος εἰκότως οἰκτείρει τὸν Ὀδυσσέα. οὐκ ἐναντιοῦται οὖν Ποσειδῶνι. κἀκεῖνος γὰρ οἶδεν ὅτι δεῖ σωθῆναι αὐτόν. Q. ἐλεεῖ αὐτὸν ὡς ἄνθρωπος γενομένη Ἰνώ. ἢ ὅτι ἦν φιλογύνης ὁ Ὀδυσσεύς, ἡ δὲ διὰ τὸν Ἀθάμαντα ἐδυστύχησεν. V.

334. Λευκοθέη] Λευκοθέα ἐκλήθη ἡ Ἰνὼ ἀπὸ τοῦ θεῦσαι, ὅ ἐστι δραμεῖν, διὰ τοῦ Λευκοῦ λεγομένου πεδίου τῆς Μεγαρίδος. E.V. τὴν αἰτίαν τῆς διωνυμίας ἀπέδωκεν, Ἰνὼ μὲν ὅτε ἄνθρωπος ἦν, ὅτε δὲ ἀπεθεώθη, Λευκοθέα. B.E.P.Q.T.

τὰ δὲ περὶ τὴν Λευκοθέαν οὕτως ἔχει. Ἀθάμαντι συνῴκει ἡ Ἰνώ, καὶ παῖδες αὐτῇ γίνονται Λέαρχος καὶ Μελικέρτης. μανεὶς δὲ Ἀθάμας διὰ τὴν μῆνιν Ἥρας, ὅτι ἔθρεψε τὸν Διόνυσον ἡ Ἰνώ, τὸν μὲν Λέαρχον ἀναιρεῖ, ἔμελλε δὲ καὶ τὸν ἕτερον. ἀναλαβοῦσα δὲ αὐτὸν ἡ Ἰνὼ

1. κερατάριον] Vid. schol. ad 254.
12. ὑπεξηραμμένη] ὑπεξηραμένη P.
22. οὖν] δὲ V. ubi verba οὐκ ἐναντιοῦται—σωθῆναι αὐτὸν leguntur infra post ἐδυστύχησεν.
29. ἡ Ἰνὼ] Nomen hic et l. 32. om. P.T.
31. μὲν om. B.P.Q.

φεύγει καὶ ἑαυτὴν εἰς τὴν θάλασσαν ῥίπτει. διὰ δὲ τὴν Διονύσου τροφὴν σὺν τῷ παιδὶ ἰσοθέου τιμῆς ἔλαχε, καὶ τὰ ὀνόματα μετέβαλεν ἡ μὲν Λευκοθέα κληθεῖσα διὰ τὸ φυγὴν πεποιῆσθαι διὰ τοῦ Λευκοῦ πεδίου τῆς Μεγαρίδος, ὁ δὲ Παλαίμων διὰ τὸ συλλαμβάνεσθαι τοῖς παλαίουσι κατὰ θάλασσαν. B.P.Q.T. 5

βροτὸς αὐδήεσσα] ἤτοι διαβόητος διὰ τὰ συμβάντα, ἢ ἐπεὶ οἱ ἄνθρωποι φωνήεντες πρὸς τὰ ἄλλα ζῷα. οὐδήεσσα ἡ ἐπίγειός ποτε. V.

ὁ μὲν Ἀριστοφάνης τὰς ἀνθρωποειδεῖς θεὰς αὐδήεσσας φησὶν οἱονεὶ φωνὴν μετειληφυίας, ὁ δὲ Ἀριστοτέλης οὐδήεσσαν λέγει οἱονεὶ ἐπίγειον. οὕτως καὶ Χαμαιλέων. H.P.Q. 10

φωνῇ ἀνθρωπίνῃ χρωμένη, ἀλλ' οὐχὶ θείᾳ. διὰ σημείων γὰρ καὶ οἰωνῶν καὶ ἱερείων καὶ θυσιῶν καὶ δι' ὀνείρων, οὐκ αὐδῆς, φθέγγονται οἱ θεοί. καὶ ἐφετμαὶ αὗται. "οἱ δ' αἰεὶ βούλοντο θεοὶ μεμνῆσθαι ἐφετμέων" (Od. δ, 353.), τῶν θεοπροπιῶν λέγει. E.

ζητεῖ Ἀριστοτέλης, διὰ τί τὴν Καλυψὼ καὶ τὴν Κίρκην καὶ τὴν 15

7. αὐδήεσσα] Sic omnes ante Barnes. qui, nullum codicem (quod alias facit) laudans reposuit οὐδήεσσα. Vera autem est emendatio (vid. not. sq.) nisi quod, ut observat Ern., scribendum ἢ οὐδήεσσα. BUTTM. Restitui οὐδήεσσα.

9. οὐδήεσσαν] Libri αὐδήεσσαν, de quo Buttm. "Mirum in mendosa hac scriptura conspirare codices H.P.Q. hic et mox in alio scholio p. 279, 4.; item Etymol. M. p. 169, 11. Veram autem scripturam, in his scholiis nimirum, esse οὐδήεσσαν tum re ipsa patet; nam explicatio ἐπίγειος, ἐπὶ γῆς vocem spectat ab οὖδας formatam; tum testimonio Eustathii et schol. H. ad κ, 136." Ineptam autem illam correctionem οὐδήεσσα merito notavit Lehrs. Arist. p. 50.

13. αὗται Buttm. pro αὐταί.

14. λέγει] Cf. ad ζ, 125. BUTT.

15. Turbatum esse aliquid in hoc scholio vel ex eo apparet quod non satis clara inde emergit Aristotelis et ratio et argumentatio; quæ ut conjectando elici possit faciant fortasse varietates codicis E. Nos observamus Inonem quidem revera eo epitheto, qualecunque illud est, hic non appellari. Immo cum dicitur eam olim fuisse βροτὸν αὐδήεσσαν, manifestum est, nunc, ubi dea est, hoc epitheton non amplius cadere in illam. Deinde non tacebo parum sollertes fuisse interdum in grammaticis his minutiis antiquiores; qui hic quidem naturam formationis in εις εντος non perspexerunt, quæ nunquam usurpatur nisi de iis quæ referta sunt aliqua re aut naturam ejus induerunt: ut vel per linguæ rationem fieri plane non possit ut οὐδήεσσα, αὐλήεσσα dicatur ea quæ sit *in terra*, *in aula*. Manifestum est itaque hunc quidem de Inone locum referendum esse ad eum usum qui est ζ, 125. ubi hominum epitheton est αὐδήεις, h. e. μέροψ: cf. Il. τ, 407. de equo loquente. Tamen illa etiam de Circa et Calypso explicatio, dici eas ita, quod hæ quidem deæ solæ humana et natura et voce utantur, non satisfacit; neque dubito quin in his quidem epitheton hoc spectet vo-

Ἰνὼ αὐδήεσσας λέγει μόνας. πᾶσαι γὰρ καὶ αἱ ἄλλαι φωνὴν εἶχον· καὶ λῦσαι μὲν οὐ βεβούληται. μεταγράφει δὲ ποτὲ μὲν εἰς τὸ αὐλήεσσα. ἐξ οὗ δηλοῦσθαί φησιν ὅτι μονώδεις ἦσαν· ἐπὶ δὲ τῆς Ἰνοῦς οὐδήεσσα. τοῦτο γὰρ πάσαις ὑπῆρχεν αὐταῖς καὶ μόναις. πᾶσαι γὰρ αὗται ἐπὶ γῆς ᾤκουν. μήποτε δὲ τὸ αὐδήεσσα οὐ τὸ φωνῇ μόνῃ χρῆσθαι δηλοῖ, ὡς το "αὐδήεντα δ' ἔθηκε" (Il. τ. 407.), σημαίνει δὲ καὶ τὸν ἔνδοξον καὶ ἐπίφημον. καὶ ἑκάστη δὲ τούτων ἔνδοξος, ὥσπερ ἡ Ἰνώ. ὅτε γὰρ ἐν ἀνθρώποις ἦν, ἔνδοξος καὶ ἐπίφημος ἐν πᾶσιν ἐτύγχανεν. E.P.Q.T.

335. ἐξέμμορε] δύναται πρὸς ἀμφοτέρας χωρεῖν ἡ λέξις. H.

336. ἥ ῥ' Ὀδυσῆ' ἐλέησε] δαιμονίως τῷ ἐπεισοδίῳ. ἅμα γὰρ ἀρχαίαν ἱστορίαν ἐνδέδεικται ἔξω τῆς ὑποθέσεως, καὶ τόπῳ ἁρμόζον πρόσωπον παρέλαβεν. ἔθος τε Ὁμήρῳ ἐν τοῖς ἐσχάτοις κινδύνοις θεῶν βοήθειαν εἰσάγειν. H.Q.

337. αἰθυίῃ δ' εἰκυῖα ποτῇ ἀνεδύσατο λίμνης] οὐκ ἐφέρετο ἐν τοῖς πλείοσι. Ἀρίσταρχος δὲ περὶ μὲν τῆς ἀθετήσεως διστάζει, γράφει δὲ διὰ τοῦ ῡ ὑπεδύσατο. ἐν δέ τισιν ἀνεδύσατο. ἔοικε δὲ ὁ στίχος ἐκ τῶν ὕστερον (352.) εἰρημένων ὑπό τινος παρεμβεβλῆσθαι "αὐτὴ δ' ἂψ ἐς πόντον ἐδύσατο κυμαίνοντα αἰθυίῃ εἰκυῖα." H.P.Q. τινὲς εἰς τὸ εἰκυῖα στίζουσιν, ἵν' ᾖ, πετομένη ἀνῆλθεν ἐκ τῆς λίμνης.

cem canoram, qua utraque καλὸν ἀοιδιάει (ε, 61. κ, 227.). BUTTM.

P. 278, 15. ζητεῖ Ἀ.] Ἄλλως. προσκείσθω δὲ καὶ τὸ, ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα. ζητεῖ γὰρ ὁ ἀ. T. in quo hoc scholion adjunctum est ei quod v. 337. apponetur. Ἄλλως etiam in E.Q. præfixum.

P. 279, 1. καὶ αἱ om. T.

2. βεβούληται] βούλεται E.Q.

3. μονώδεις] In P. μονῴδεις: sed illud sine dubio verum, quanquam hæc vox de eo qui est solitarius, aliunde mihi nota non est. BUTT. Usitatum est μονήρεις.

4. οὐδήεσσα] Libri αὐδήεσσα.

τοῦτο] ἐκεῖνο E.

5. ἐπὶ γῆς] ἐπ' αὐλὰς E.

δὲ E.T. οὖν Q. δ' οὖν P.

οὐ τὸ] οὐ τῇ T.

φωνῇ μόνῃ χρῆσθαι T. φωνῇ μόνῃ κεχρῆσθαι P.Q. ἀνθρωπίνῃ φωνῇ μόνον χρῆσθαι E.

8. καὶ ἐπίφημος ἐν πᾶσιν ἐτύγχανεν] ἐν πᾶσι καὶ ἐπίφημος ἡ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα T.

11. τῷ ἐπεισοδίῳ Buttm. correxit pro τὸ ἐπισοδίῳ. Idem post δαιμονίως addidit κέχρηται, quo non opus esse ostendi ad δ, 720.

14. βοήθειαν εἰσάγειν H. βοηθείας τυγχάνειν Q.

17. διὰ τοῦ ῡ] Cum solum υ memoret scholiastes, et mox ἐν δέ τισι tantum dicat, non ἐν τοῖς λοιποῖς, dixeris fuisse tertiam etiam scripturam ἐπεδύσατο. Et sane dea neque ἀναδύεσθαι, cui pugnat illud ποτῇ, neque ὑποδύεσθαι poterat. An igitur ἐπιδύεσθαι mergorum motum illum significabat quo advolantes aquam attingunt et innatant ei? BUTTM.

19. κυμαίνοντα] κωδίνοντα H.P.

P.T. Ἄλλως. οὐ τῷ σώματι, ἀλλὰ τῷ τάχει τῇ αἰθυίᾳ εἰκυῖα, οὐ μεταβαλοῦσα τὸ σῶμα πρὸς τὸ ὄρνεον, ἀλλὰ πρὸς τὴν ἀνάδυσιν ἡ εἰκών. P.Q.T. οὐ μεταμεμόρφωται ἄρα εἰς αἴθυιαν, ἀλλὰ δίκην αἰθυίας ἀνῆλθεν. οὐ γὰρ ἂν διελέγετο τῷ Ὀδυσσεῖ οὐδὲ ἐδίδου αὐτῷ τὸ κρήδεμνον. B.P.Q.T. πρὸς τὸν ἀναδυσμόν ἐστιν ἡ εἰκὼν καὶ τὸ παράδειγμα, οὐ κατὰ σῶμα. οὕτω καὶ ὁ Ἑρμῆς "σεύατ' ἔπειτ' ἐπὶ κῦμα λάρῳ ὄρνιθι ἐοικώς" (51.). οὕτω καὶ ἐπὶ Ἥρας καὶ Ἀθηνᾶς, "αἱ δὲ βάτην τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι" (Il. ε, 778.), οὐ περιστεραὶ γενόμεναι, ἀλλ' ὁμοῖαι τοῖς ἴθμασι τῶν περιστερῶν εἰς τὸ στρατόπεδον ἔρχονται. ἴθματα δὲ οὐκ ἔστιν ἴχνια, ἀλλ' ὁρμήματα καὶ πτήσεις ἀπὸ τοῦ ἰέναι καὶ ἀπὸ τοῦ ἴθι ἰθμός· καὶ γὰρ καὶ τὴν εἴσοδον εἰσιθμὴν (ζ, 264.) καλεῖ. τὸ δὲ ποτὴν, ἵν' ᾖ κατὰ τὴν πτῆσιν καὶ τὴν ὁρμήν. ἀπαλλασσομένη μέντοι εἴκασται τῇ αἰθυίᾳ, ὡς καὶ Ἀθηνᾶ, "ὄρνις δ' ὡς ἀνόπαια διέπτατο," καὶ "φήνῃ εἰδομένη." αἴθυια δὲ εἶδος ὀρνέου θαλασσίου. E.

αἰθυίῃ δ' εἰκυῖα ποτὴν ἀνεδύσατο λίμνης] σὺν τῷ ν γραπτέον, ἵν' ᾖ πτῆσιν καὶ τὴν ὁρμήν. ἀπαλλασσομένη δὲ — — θαλασσίου. V. ποτὴν ἢ ποτῇ, τὴν πτῆσιν, τῇ πτήσει. V.

γράφεται καὶ ποτὴν, πτῆσιν. ἄμεινον δὲ χωρὶς τοῦ ν ἐν δοτικῇ. H.P.Q. δύναται δὲ καὶ τοῦτο ὑπὸ τὴν συγκοπὴν εἶναι καὶ ἀπὸ τοῦ πετῶ γεγενῆσθαι ὡς νέμω νομή, στρέφω στροφή, σκέπω σκοπή· P.Q.

ἀνεδύσατο λίμνης] πῶς τὸ τεταραγμένον πέλαγος λίμνην φησί; ὅτι πρὸς τιμὴν τῆς θεοῦ πρὸς τὸ παρὸν ἐγαληνίασε. P.Q.

341. μενεαίνων] προθυμούμενος· σημαίνει γὰρ ἑκάτερον ἡ λέξις. τὸ δὲ ὧδ' ἔρξαι ἀντὶ τοῦ οὕτως ἔρδε. H.

342. ἔρξαι] πρᾶξον. ἀπαρέμφατον ἀντὶ προστακτικοῦ. V.

ἀπινύσσειν] μωραίνειν, ἀπὸ τοῦ πινυτός ὁ φρόνιμος. πινύσσω ῥῆμα, καὶ μετὰ τοῦ στερητικοῦ α, ἀπινύσσω τὸ μωραίνω. B.E.

344. ἐπιμαίεο] ἐφίεσο τοῦ νόστου τῆς γῆς τῶν Φαιάκων. H.T.

346. τῇ δὲ, τόδε κρήδεμνον] τὸ μὲν ἵνα ἀξιόπιστος ὁ λόγος γένη-

1. Ἄλλως om. T., qui post σώματι addit δέ.
τῇ αἰθυίᾳ εἰκυῖα om. P.Q.
οὐ μ. T. ἀλλ' οὐ μ P.Q.
12. εἰσιθμὴν Buttm. pro ἰθμήν.
17. καὶ τὴν correctum ex schol. præcedente pro ὡς τήν.
21. σκοπή] σκέπή P.
26. ἀντὶ τοῦ] τοῦ om. H.
28. πινύσσω Buttm. pro πινύω.

ται ἐπὶ τοσοῦτον διανηχομένου τοῦ Ὀδυσσέως. τὸ δὲ πρὸς ἀσφάλειαν αὐτῷ ἔμελλεν, ὥσπερ σύμβολον τῆς θείας βοηθείας. P.Q.T.

στέρνοιο] στέρνοισι, διχῶς αἱ Ἀριστάρχειαι. H.P. τὸ δὲ τανύσσαι ἀπαρέμφατον διὰ τὸ βαλέειν. P.

347. κακὸν] γρ. δέος. H.

349. ἂψ ἀπολυσάμενος] μακρὸν ἀπὸ τῆς γῆς. P.

βαλέειν] πάλιν τοῖς ἀπαρεμφάτοις ἀντὶ προστακτικῶν χρῆται. λέγει δὲ ὅτι ῥίπτων τὸ ἱμάτιον ἀποστραφήσεται. H.P.Q.

350. πολλὸν ἀπ' ἠπείρου] ἵνα μὴ τὸ κῦμα ἐκβράσῃ αὐτὸ εἰς τὴν γῆν. B.P.Q.T.

352. ἄψ] γρ. καὶ,αἶψα. H.M.P.

354. αὐτὰρ ὁ μερμήριζε] οἱ μὲν δειλοὶ καὶ τὰ εὐηθέστατα προσίενται ὑπὸ φιλοψυχίας, ὁ δὲ χαίρειν ἐάσας τὰς ὑποθήκας τῆς θεᾶς τῷ ἑαυτοῦ λόγῳ προσέχει, πείρᾳ μαθὼν ἐκ τῶν ἔμπροσθεν συμπτωμάτων καὶ τὰ φιλανθρωπότατα ὑποπτεύειν. P.Q.T.

356. αὖτε] γρ. καὶ ἄλλον. M.

357. ὅτε με] ἐπειδή. Gl. M. γρ. ὅ τε με. χωρίζει Ἀριστοφάνης διὰ τὸ ὅτε. H.P.

358. ἀλλὰ μάλ' οὔπω πείσομ'] οὐκ εἰς ἅπαντα καταφρονεῖ τῆς ὑποθήκης, ἀλλ' εἰς δευτέραν ἐλπίδα αὐτῷ χρήσασθαι τῷ κρηδέμνῳ. P.Q.

364. ἀναστρεπτέον τὴν πάρα. δηλοῖ γὰρ τὸ πάρεστιν, ἐπεὶ οὐδέν μοι πάρεστιν ἄμεινον προνοήσασθαι. H.M.T.

367. κατηρεφὲς] ὑψηλὸς ὥστε σκεπάσαι αὐτόν. B.P.T.

3. τανύσσαι] τάνυσαι H.P.

8. δὲ ὅτι Buttm. pro διότι.

ἀποστραφήσεται] ἀποστραφῆ P. ἀπογραφῆ H. ἀπογράφων Q.

9. ἵνα—γῆν] Hæc verba scholio superiori μακρὸν ἀπὸ τῆς γῆς adjungit P.

15. τὰ φιλανθρωπότατα] τὴν φιλανθρωπότητα Q.

17. γρ. ὅ τε με] Voculæ ὅ superscriptum in P. διό.

Ἀριστοφάνης] Nempe Aristophanes cepit pro ὅς τε, non pro ὁπότε. PORSON. Immo, ut ex allatis apparet, pro neutro ὅ τε, quod sit pro διό τε h. e. δι' ὅ τε, h. e. διό. BUTTM.

19. Lemma ἧδ' ἔρξω (v. 360.) præfixum in P.

22. ἀναστρεπτέον — τὸ πάρεστιν] Hæc verba sunt etiam in P.

οὐδέν μοι] μοι ab scholiasta additum esse potest. Non improbabilis tamen Cobeti conjectura est veterem versus scripturam fuisse νήξομ', ἐπεὶ οὐ μέν μοί τι πάρα προνοῆσαι ἄμεινον, syllabis πει et ου per synizesin in unam coalescentibus, ut alibi non raro. ἐπεὶ—πάρεστιν om. T.

ὅρα δὴ πῶς ἑαυτῷ ἐπαγωνίζεται ἐν τῇ ἐπαγγελίᾳ ὁ ποιητής. ἄνω γὰρ εἰπὼν "ἔλασεν μέγα κῦμα κατάκρης" ἤγουν ὁλοκλήρως, νῦν κατηρεφὲς τὸ κῦμα εἶπεν, οἱονεὶ τὸ καταστεγάζον αὐτοῦ τὴν κεφαλήν. P.Q.

368. ὡς δ' ἄνεμος ζαὴς ἠΐων] μεγάλως. H. ὀξυτόνως τὸ ζαής. B.H.P.T.

ἤϊα δὲ τὰ ἄχυρα παρὰ τὸ πανταχόθεν ἰέναι διὰ τὴν ἀσθένειαν. B.P.T. ἀχύρων, παρὰ τὸ ἰέναι ταχέως τὸ ἄχυρον. δηλοῖ δὲ καὶ τὰ βρώματα καὶ ἐφόδια. V.

ἠΐων θημῶνα] πάντα κοινῶς τὰ σιτία τινῶν ἤϊα Ὅμηρος καλεῖ. οὕτως γοῦν καὶ τὰς ἐλάφους εἴρηκεν "αἴτε καθ' ὕλην θώων πορδαλίων τε λύκων τ' ἤϊα πέλονται" (Il. ν, 103.). καὶ τὰ ἄχυρα δὲ σιτία ζῴων τινῶν εἴη. P.Q. παρὰ τὸ ἰέναι καὶ φέρεσθαι ταχέως. B.

369. καρφαλέων—μακρὰ] ἑκάτερον τῷ ἐπιθέτῳ ἐπέτεινεν. P.

371. κέληθ' ὡς ἵππον ἐλαύνων] οἶδε μὲν ὁ ποιητὴς τὸν κέλητα, οὐκ εἰσάγει δὲ τοὺς ἥρωας αὐτῷ χρωμένους, εἰ μὴ ἐξ ἀνάγκης ἐν τῇ Δολωνείᾳ τὸν Διομήδην. P.Q.T. κέλητα ἵππον λέγει τὸν ἄζυγον τὸν κατὰ μόνας ἐλαυνόμενον. T. μονοκάβαλλον. Gl. P. ὡς κέλης, ὅ ἐστιν ὁ ἄζευκτος ἵππος. V.

377. ἀλόω] πλανῶ σύ. Gl. M. διαίρεσίς ἐστι τοῦ ἀλῶ, διὸ βαρυτόνως ἀναγνωστέον. P.T.

378. διοτρεφέεσσι] γράφεται, Φαιήκεσσι. B.

379. ἀλλ' οὐδ' ὥς σε ἔολπα] πάλιν ἄλλων δεινῶν προσδοκίαν ὑποβάλλει ἀνακινῶν ἀγῶνα τῷ ἀκροατῇ. B.P.Q.

ὀνόσσεσθαι] διχῶς νοεῖται, ἢ ὀνόσσεσθαι καὶ μέμψασθαί σε τῆς κακότητος ἤτοι τῆς ταλαιπωρίας, ἧς ἔπαθες, ἢ ὀνόσσεσθαι καὶ ἀπόνασθαί σε, ἤτοι ὠφεληθῆναί σε τῆς κακότητος τῆς σῆς ἕνεκα, ἤτοι τῆς κακουργίας, ὅτι ἐφόνευσας τὸν ἐμὸν υἱόν. B. ἐκφυγεῖν ἢ ἐξευτελίζειν τὴν κάκωσιν. E.

381. Αἰγὰς] τόπος, ἐξ οὗ καὶ Αἰγαῖον πέλαγος. B. Αἰγαὶ πό-

1. δὴ] Præstat δέ.
2. ἤγουν ὁλοκλήρως om. R.
11. πορδαλίων] παρδαλίων P.
14. Scholion ad ἐσκέδασε relatum in P.
17. ἄζυγον] ἄζυγα Eustath. p. 1539, 20.
22. Φαιήκεσσι] Aut est var. lect. pro ἀνθρώποισι, aut, quod verosimilius, glossa ad ἀνθρ. διοτρ. Cf. not. ad α, 361. BUTTM. Nisi ortum ex varia lect. ὅππως Φαιήκεσσι annotata ad v. 386.
23. π. ὑ. ἀνακινῶν] ὑ. π. κινῶν P.

λις Ἀχαΐας. οἱ δὲ νῆσον πρὸ τῆς Εὐβοίας ἱερὰν Ποσειδῶνος. E.V. Αἰγή, νῆσος πέραν Εὐβοίας ἱερὰ Ποσειδῶνος, ἥτις νῦν ἐπεκλύσθη. οἱ δὲ, πλησίον Σαμοθρᾴκης. P.

383. ἀνέμων κατέδησε κελεύθους] κατέπαυσε τὰς πνοάς. E. τῶν ἄλλων ἀνέμων δηλονότι. B.P.Q.T. 5

385. πρὸ δὲ κύματ' ἔαξεν] κατέαξε τὰ τῶν ἄλλων κύματα. ἐπιφέρει γὰρ, μεγάλου ὑπὸ κύματος ἀρθείς. V.

καὶ πῶς κύματι πηγῷ ἐπλάζετο; δῆλον οὖν ὅτι τὰ τῶν ἄλλων ἀνέμων κύματα ἔπαυσε, μόνον δὲ βορρᾶν ἀφῆκε πνεῖν. B.P.Q.T. τοῦτο δοκεῖ μάχεσθαι τῷ ἐπιφερομένῳ "ἔνθα δύο νύκτας, δύο δ' ἤματα κύ- 10 ματι πηγῷ πλάζετο." λύοιτο δ' ἂν ἐκ τῆς λέξεως· τὰ γὰρ πρότερα, φησὶ, κύματα κατέαξε τὰ ἐκ τῶν ἄλλων ἀνέμων, μόνον δὲ τὸν βορέαν εἴασε πνεῖν. τινὲς δὲ μεταγράφουσιν "πρὸ δὲ κύματ' ἔαγεν." E.T.

386. τὸ ἕως ἀντὶ τοῦ ἵνα, ὡς καὶ ἀλλαχοῦ "εἵως χυτλώσαιτο σὺν ἀμφιπόλοισι γυναιξί" (Od. ζ, 80.). τινὲς δὲ γράφουσιν, ὅπως 15 Φαιήκεσσιν. B.H.P.Q.

388. κύματι πηγῷ] οἱ μὲν γλωσσογράφοι μέλανι καὶ ἰσχυρῷ, ψυχρῷ, ἀδιαλύτῳ. τινὲς δὲ γαληναίῳ. κρεῖσσον δὲ εὐπαγεῖ, εὐτραφεῖ καὶ εὐμεγέθει. E.P.Q.V.

389. προτιόσσετ' ὄλεθρον] προεμαντεύετο, προέβλεπε. B. 20 ἐπιστροφὴν ἐποίει καὶ ἔβλεπε. E. ἐν ὀφθαλμοῖς καὶ φανερῶς ἑώρα τὴν ἑαυτοῦ ἀπώλειαν. P.Q.V.

πλάζετο] ὁ μὲν Ἀρίσταρχος τὸ πλάζετο, Αἰολικῶς ἐκτείνων τὸ α, ἐπὶ τοῦ ἐπλήσσετο λαμβάνει, ἔνιοι δὲ ἐπὶ τοῦ ἐπλανᾶτο. P.Q.

391. ἠδὲ γαλήνη ἔπλετο] γαλήνη ἀνέμων, οὐ κύματος. ἐπάγει οὖν 25 "μεγάλου ὑπὸ κύματος ἀρθείς." πολλάκις δὲ μετὰ τὴν τῶν ἀνέμων λῆξιν τὸ ἐνδόσιμον τοῦ πνεύματος ἔτι ἐπεγείρει κύματα. B.E.H. P.Q.T. ἡ γαλήνη οὖν οὐ τῶν κυμάτων ἦν, ἀλλὰ τῶν ἀνέμων. πολ-

1. et 2. ἱερὰν et ἱερὰ scripsi pro ἱερόν, quo servato Buttmannus νῆσον et νῆσος in νήσιον mutari volebat, quod non convenit loco alteri ubi sequitur ἥτις. τόπον ἱερὸν τῷ Ποσειδῶνι dixit Eustath. p. 1544, 31.

5. πρὸ δὲ κύματ' ἔαξεν] Cf. schol. ad 295. BUTTM.

8. πηγῷ] κωφῷ P.

9. τοῦτο om. T.

13. τινὲς—ἔαγεν] Hæc sunt etiam in P.

πρὸ] πρὸς E.P.

κύματ'] κύματος E.

14. τὸ ἕως—χυτλώσαιτο est in T.

15. ὅπως] Immo ὅππως.

17. οἱ μὲν γλωσσογράφοι om. E.P. Q.

18. ψυχρῷ, ἀδιαλύτῳ om. P.V.

27. ἐπεγείρει] ἐγείρει H.

λάκις δὲ παυσαμένων τῶν ἀνέμων μένει τὸ πέλαγος κύματι κωφῷ κυλινδούμενον. Q.T.

ἠδὲ γαλήνη] Ἀρίσταρχος ἡ δέ, ἄρθρον δεχόμενος τὸ ῆ. οἱ δὲ ἀντὶ τοῦ καί. H.

393. ὑπὸ κύματος] ἐν τῇ Ἀριστοφάνους καὶ Ῥιανοῦ, ἐπὶ κύματος. H.

394. ὡς δ' ὅταν ἀσπάσιος] κάλλιστα παραδείγματα παρὰ γονέων χρηστῶς ἐκτίθεται ὁ ποιητὴς παιδεύων, πῶς ἔχειν πρὸς γονέας δίκαιον· καὶ "ζώειν μὰν ἔτι φασὶ Μενοίτιον, ζώει δ' Αἰακίδης Πηλεὺς μετὰ Μυρμιδόνεσσι, τῶν κε μάλ' ἀμφοτέρων ἀκαχοίμεθα" (Il. π, 14.). P.Q.

οὐ μόνον πρὸς τὴν χαρὰν καὶ τὸ ἀνέλπιστον ἡ παραβολή, ἀλλὰ καὶ τὸ χρόνιον τῶν πρόσθεν δεινῶν. P.T.

396. ἔχραε] ἐπέσκηψε, μετὰ βλάβης ἐπῆλθεν, ἢ ἐπεβάρησε καὶ ἐπέθετο. H.P.V.

397. ἀσπάσιον δ' ἄρα τόν γε] ἀσπασίως θέλοντα ἐκεῖνον. B.

398. ἀσπαστὸν ἐείσατο γαῖα] παρὰ Καλυψοῖ μὲν διατρίβων Ἰθάκην ποθεῖ, ἐν θαλάττῃ δ' ὢν οὐχ ὅπως πόλιν, ἀλλ' αὐτὴν μόνην τὴν ξηρὰν οὐσίαν. P.Q.

400. γέγωνε βοήσας] ὅστις γεγωνὼς ἐβόησε. τὸ δὲ ἐγεγώνει ἀντὶ τοῦ εἰς ἀκοὰς ἐγένετο βοήσας τις. B. ὥστε ἐξακουστὸν γενέσθαι βοήσαντά τινά. E.V. ἐγνώσθη, ἠκούσθη. P.

401. ὅτι πᾶσι καλῶς ἐδόκει ἔχειν τὰ πεπονημένα Ὀδυσσεῖ, ἕτερα ὑπεκκαύματα καὶ φιλοτιμίας ἀρχὴν κενῆς ἐξεῦρεν ὁ ποιητὴς ἐπαγωνιζόμενος ἑαυτῷ. H.P.

402. ῥόχθει γὰρ μέγα κῦμα] τὴν πρὸς τὰς πέτρας ἀντίκρουσιν τοῦ κύματος διὰ τοῦ ῥήματος παρεστήσατο. οὐ γὰρ ἐκχεῖται ἐπ' αἰγιαλόν, ἀλλ' ἔστιν ἀγχιβαθὴς ἡ ἐκβολή, ὥστε προσπελάζον τὸ κῦμα τοιοῦτόν τινα ἀποτελεῖν ἦχον διὰ τῶν πετρῶν. P.Q.T. ποιὸν ἦχον ἀπετέλει. τῶν δὲ πεποιημένων ἡ λέξις. τραχὺ γὰρ τὸ ρ, τὸ θ, τὸ χ. τὸ δὲ ἄχνη ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ ἔχω, ἀέχνη καὶ ἄχνη. E.

5. Ῥιανοῦ Porsonus pro ἀρειανοῦ.

14. 15. ἐπέσκηψε—ἐπέθετο H. μετὰ βλάβης ἐπέσκηψε, ἐπῆλθεν, ἢ ἐπεβάρησεν P.V.

18. αὐτὴν μόνην] αὐτὸ μόνον P.

25. ἑαυτῷ H. ἑαυτόν P. Conf. p. 282, 1.

ποτὶ ξερὸν ἠπείροιο] πρὸς τὸ ξηρὸν τῆς γῆς. λέγει δὲ τὸ πετρῶδες τῆς ἀκτῆς. V. ξερὸν] συστολὴ τοῦ η εἰς ε. E.

403. ἁλὸς ἄχνη] τῷ λεπτομερεστάτῳ τοῦ ἀφροῦ τῆς ἁλὸς πάντα ἐκεκάλυπτο, ἢ τῇ ἀκαθαρσίᾳ. P.V.

404. νηῶν ὀχοὶ] οἱ συνέχοντες τὰς ναῦς. ἢ ἐφ' ὧν ὀχοῦνται καὶ ἀναπαύονται αἱ νῆες. V. διὰ τὸ ὀχεῖσθαι ἐν αὐτοῖς τὰς ναῦς. ἢ οἱ ἔχοντες καὶ φυλάσσοντες τὰς ναῦς. E.P.

ἐπιωγαὶ δὲ τόποι σκέπην ἀνέμων ἔχοντες, παρὰ τὴν ἰωὴν καὶ τὸ ἄγνυσθαι. ἔνθα κλῶνται τὰ κύματα ἢ ὁ ἄνεμος διὰ τὸ μὴ εὑρίσκειν δίοδον. E.P.T. οἱ ἀνέμου σκέπην ἔχοντες τόποι, ἢ αἱ ἐξοχαὶ καὶ οἱ πλατεῖς αἰγιαλοί. V. καταδύσεις. διεγηνόχασι δὲ τῶν λιμένων, ὅτι τόποι εἰσὶν ἁλίμενες μέν, δυνάμενοι δὲ διὰ τὴν ἀπὸ τῶν ἀνέμων σκέπην δέξασθαι νῆας. γίνεται δὲ ἀπὸ τοῦ ἰωὴ ἡ κραυγὴ καὶ ἡ πνοὴ καὶ τοῦ ἄγω τὸ κλῶ, ἐν ᾗ κλῶνται τὰ κύματα. E.

τίνι διεγηνόχασιν αἱ ἐπιωγαὶ τῶν λιμένων; φημὶ οὖν ὅτι ἰωὴν τὴν πνοὴν λέγει, ὥς που εἴρηκεν "ἐξ ἀνέμοιο πολυπλάγκτοιο ἰωῆς" (Il. λ, 308.) ποιήσας ἐκ τοῦ ἄειν, ὃ σημαίνει τὸ πνεῖν. ὅθεν ἐπειδὴ καὶ ἀντὶ τοῦ φωνεῖν καταχρηστικῶς εἶπεν "αὖε δ' ἑταίρους" (Il. λ, 461.), ἰωὴν καὶ τὴν φωνὴν κέκληκε "τὸν δ' αἶψα περὶ φρένας ἤλυθ' ἰωή" (Il. κ, 139.), καὶ τὸ ἤϋσε παρὰ τὸ ἄειν. καὶ μεταφορικῶς "λεύσσω δὴ παρὰ νηυσὶ πυρὸς δηΐοιο ἰωήν" (Il. π, 127.). κυρίως οὖν τῆς πνοῆς ἰωῆς οὔσης, ἐκ ταύτης καὶ τοῦ ἄγνυσθαι τοῦ σημαίνοντος τὸ κλᾶσθαι εἴρηται "βορέω ἐπιωγὴ" (Od. ξ, 533.), ὅπου ἄγνυται ἡ πνοὴ τοῦ βορέου. ἐπιωγαὶ οὖν ῥηθήσονται τόποι ἁλίμενες μέν, δυνάμενοι δὲ διὰ τὴν ἐκ τῶν ἀνέμων σκέπην δέξασθαι νῆας. P.Q.T.

405. ἀλλ' ἀκταὶ προβλῆτες] πέτραι αἱ ἐν αἰγιαλῷ πεπηγμέναι ἐν ὕψει. E. Ἄλλως. προβεβλημέναι καὶ ἐξέχουσαι τῆς θαλάσσης, λεπιδωταὶ πέτραι ὀξυβελεῖς, τὰ λεγόμενα βράχη. E. ἐξοχαί. H. οἱ προνενευκότες εἰς θάλασσαν πετρώδεις τόποι. H.P.T. αἱ προβεβλημέναι τῆς θαλάσσης πέτραι. ἀκταί, ἐξοχαί. V.

σπιλάδες δὲ αἱ διεσχισμέναι καὶ κεκοιλωμέναι πέτραι ὑπὸ τῆς συν-

8. τὴν ἰωὴν P. τὸ ἰὼ E.
9. κλῶνται] κλᾶται P.T., omisso τὰ κύματα ἤ.
15. τίνι] τί T.
16. πολυπλάγκτοιο] πολυπλάτοιο P.
17. ἄειν P.T. αὔειν Q.
21. κυρίως—ἰωῆς οὔσης] πόθεν—ἰούσης Q.
23. ἐπιωγή] Legitur ὑπ' ἰωγῇ.
26. ἐν ὕψει] Spectat hoc ad πάγους. BUTTM.
31. καὶ κεκοιλωμένοι om. E.P.Q.T.

εχοῦς πλήξεως τῶν κυμάτων. E.P.Q.T.V. ἐπεὶ σπηλυγγοειδεῖς τινες οὖσαι. P. οἱ δὲ, ὕφαλοι πέτραι. E.

πάγοι] αἱ εἰς ὕψος διήκουσαι πέτραι, ἢ πετρώδεις ἐξοχαί. Q.T. οἱ ὀξεῖς τόποι, αἱ πετρώδεις ἐξοχαί. ἢ ὀξεῖαι πέτραι, ἢ εἰς ὕψος ἀνέχουσαι πέτραι. ἀνατεταμένοι τόποι. V. 5

409. ὑποστικτέον εἰς τὸ Ζεύς, καὶ ἐπέρασα· ἡ γὰρ ἀνταπόδοσις εἰς τὸ "ἔκβασις οὔ πη φαίνεται." H.

ἐτέλεσσα] γρ. ἐπέρασα. H.P.

410. πρὸ πολλοῦ τὸ δεινὸν σκοπεῖ, οὐχ ἅμα τῷ πλησιάσαι. P.

αὐτός ἐστιν ἑαυτοῦ συναισθανόμενος Ὅμηρος εἰς ὅσον ἀγωνίας 10 προήγαγε τὸν λόγον. P.

412. ῥόθιον] τὸ μετὰ πολλοῦ ῥοίζου φερόμενον καὶ ὁρμητικόν. ἐκ τοῦ γινομένου ἤχου τὸ σημαινόμενον. B.E.P.V.

413. ἀγχιβαθὴς] ἡ ἐγγὺς τῆς γῆς βάθος ἔχουσα. P.V.

415. ἀφ' ἑτέρας ἀρχῆς ἀναγνωστέον. μάλα γὰρ αὐτοῦ τὴν εὐλά- 15 βειαν κομματικῶς λεγόμενον παρίστησι. P.

λίθακι ποτὶ πέτρῃ] ἑφερμηνευτικὸν πρὸς τῇ τραχείᾳ πέτρᾳ. H.P. πέτρᾳ λιθώθει, ὅ ἐστι τὸ αὐτό. B. τῇ μικροὺς λίθους ἐχούσῃ ἐξέχοντας, τουτέστι τῇ τραχείᾳ πέτρᾳ ὑποπεπτωκυίᾳ τῇ θαλάσσῃ. E.

417. εἰ δέ κ' ἔτι προτέρω] ἀντὶ τοῦ, εἴ που ἔμπροσθεν. καὶ περισ- 20 σὸς ὁ κέ. P.T. προσωτέρω καὶ ἐκβολῇ τῆς σω προτέρω. B.

418. ἠϊόνας τε παραπλῆγας] τοὺς αἰγιαλούς. H. ὀξυτόνως τὸ παραπλήξ. παραπλῆγας δὲ τὰς μὴ ῥᾳδίως ἢ οὐ σφοδρῶς πλησσομένας ὑπὸ τῶν κυμάτων, διὰ τὸ μὴ ἀντικρὺς διαιρεῖν τῷ κύματι. ἢ τὰς μὴ κατὰ τὸ ἐναντίον, ἀλλ' ἐκ πλαγίου πλησσομένας. E.P.Q.T. 25 τοὺς ἐκ πλαγίου καὶ οὐχὶ ἀντικρὺ ἢ ὁμαλοὺς τόπους. τινὲς δὲ τοὺς ἀπὸ κυμάτων παραπλησσομένους λιμένας, ἐπιθετικῶς. V.

1. σπηλυγγοειδεῖς Struvius pro λογγοειδεῖς.

3. ἢ π. ἐξοχαί om. T.

8. γρ. ἐπέρασα (ἐπέρασσα P.)] Est haud dubie glossema, quod ipsum in textu habet M., ἐπέρασσα scriptum, sed superscripto ἐτέλεσσα.

17. ἑφερμηνευτικὸν] ἑφερμηνεύεται P.

22. ὀξυτόνως τὸ π. (hæc verba etiam ex H. enotata, omisso τό.) et παραπλῆγας δὲ om. E.P.Q.

23. ἢ οὐ σφοδρῶς om. T.

24. ὑπὸ τῶν κυμάτων om. T., sed habet in alio scholio, παραπλησιαζομένας τῇ γῇ, οὐκ ἐξ ἐναντίου πλησσομένας ὑπὸ τῶν κυμάτων, quod emendatius scriptum vide infra ad v. 440.

ἄντικρυς διαίρειν (sic) T. ἀντιδαιρεῖν E.P.Q.

26. ἢ ὁμαλοὺς—κυμάτων ex cod. addidit Barnes.

421. ἢ ἔτι μοι] διὰ γὰρ τὴν τοῦ θεοῦ ἐπήρειαν πάντα δεινὰ προσδοκᾷ. P.Q.T.

422. ἐξ ἁλός, οἷά τε πολλὰ] Ἀρίσταρχος γράφει, εἰν ἁλὶ, οἷά τε πολλά. H.

κλυτὸς Ἀμφιτρίτη] ὡς τὸ "κλυτὸς Ἱπποδάμεια," ἀντὶ τοῦ κλυτή. E. ἀπὸ τῆς δαίμονος ἡ θάλασσα. E.V. 5

Ἀμφιτρίτη] ἡ μεγάλη θάλασσα. ἡ δὲ διπλῆ πρὸς τὸ σχῆμα· καὶ ὅτι ἐν θαλάττῃ ὢν λέγει ἐξ ἁλός. H.P.Q.

Ἀμφιτρίτη λέγεται ἡ θάλασσα. ἀδελφὰ γάρ εἰσι τὰ στοιχεῖα ὁ Ποσειδῶν, ὁ Ζεὺς, καὶ ὁ Πλούτων. τῷ μὲν Διὶ ἔλαχεν ἡ τρίτη μοῖρα, ἤγουν τὰ οὐράνια, τῷ δὲ Ποσειδῶνι ὡσαύτως ἡ θάλασσα, τῷ δὲ Πλούτωνι ὡσαύτως ἡ τρίτη, ἤγουν τὰ καταχθόνια. ἡ γῆ δέ ἐστι καὶ τῶν τριῶν. E. 10

κλυτὸς Ἀμφιτρίτη] πῶς οὖν ἀλλαχοῦ φησι "κῆτος ἃ μυρία βόσκει ἀγάστονος Ἀμφιτρίτης;" (Od. μ, 97.) ἀλλὰ τὸ μὲν ἐπὶ τοῦ ὕδατος, τὸ δὲ ἐπὶ τοῦ στοιχείου. P.Q.T. 15

423. ὀδώδυσται] τὸ θέμα ὀδύω ὡς τανύω, ὤδυσται καὶ Ἀττικῶς ὀδώδυσται. B.P.T.

426. ῥινοὺς] ῥινὸς τὸ δέρμα, ὡς ἀλλαχοῦ ὁ ποιητὴς "ὑπὸ δ' ἔστρωτο ῥινὸς βοὸς ἀγραύλοιο." (Il. κ, 155.) M. ἐτυμολογεῖται ἀπὸ τοῦ ῥέω ῥινόν. B. 20

δρύφθη] συνετρίβη, ἐρράγη. H. ἀπεδρύφθη, ἀπεξύσθη. ἀπὸ τοῦ δέρας δρύπτω. B. ἐμφαντικῶς διέτεμε τὰς λέξεις. H.P.

439. ὦς] τινὲς περιέσπασαν τὸ ὦς, ἵνα σημαίνῃ τὸ ὅμως, ἔνιοι δὲ ὤξυναν. B.P.T. 25

παλιρρόθιον] παλινόρμητον, εἰς τοὐπίσω φερόμενον, ἐκ τοῦ ἀντικρὺ ῥέοντος. V. παλινορμήτως ὑποστρέψαν τὸ κῦμα πάλιν ἀπήνεγκεν αὐτὸν ἀπὸ τοῦ αἰγιαλοῦ εἰς τὸ πέλαγος. B.P.T.

431. ἐπεσσύμενον] ὁ Ἰξίων, ἀπεσσύμενον, καὶ μᾶλλον τὸ παλιρρόθιον. H.P. 30

3. εἰν ἁλὶ, οἷά τε Buttm. εἰν ἁλὶ ἅτε H. Aristarchus cur scripturam vulgatam mutaverit ex iis colligi potest quæ infra de præpositione ἐξ dixit scholiasta.

8. ἐξ ἁλός correxi pro ἔξοδος, quod est in H. In Q. ἔξοδον, in P. ἐξηδ.

20. βοὸς ἀ.] ἢ ἀ. M. Recte scriptum ap. schol. supra ad v. 281.

23. ἐμφαντικῶς H. ἐμφατικῶς P.

24. ἔνιοι δὲ ὤξυναν om. B.T.

432. ὡς δ' ὅτε πουλύποδος] ὥσπερ οἱ πολύποδες ἀποσπώμενοι τῶν πετρῶν ἀντιλαμβάνεσθαι εἰώθασι ταῖς κοτυληδόσι καρτερῶς, οὕτως ἀντείχετο ταῖς χερσὶ καὶ προσεπεφύκει ὁ Ὀδυσσεύς, ὥστε καὶ ἀποξέσαι αὐτοῦ μέρος τι τοῦ δέρματος, καὶ προσείχετο τῇ πέτρᾳ. Ε. οὐκ ἔξωθεν ἡ εἰκών, ἀλλ' ἐκ τῶν ἐνύδρων. δύσριγον δὲ ὂν τὸ ζῷον ἀντέχεται τῆς πέτρας θερμαῖνον αὐτὴν καὶ ἀντιθαλπόμενον ὑπ' αὐτῆς. H.P.Q.T. καθὼς δὲ ἐκ θαλάσσης πολύποδος ἑλκομένου πυκνοὶ καὶ συνεχεῖς λίθοι πρὸς τὰς κοτύλας συνέχονται. T.

τοῦ ὀκτάποδος. εἶδος δὲ ἰχθύος ὁ ὀκτάπους. V.

433. πρὸς κοτυληδονόφιν] ὡς χαλκόφιν. λάϊγγες τὰ μικρὰ λιθάρια, ἢ μικρὰ ψηφίδια. P.Q. πρὸς ταῖς κοτυληδόσι. κοτυληδόνες δέ εἰσιν αἱ τοῦ πολύποδος πλεκτάναι. ἐναντίως δὲ παραβέβληνται. V.

434. ὣς τοῦ πρὸς πέτρῃσι] σημειοῦνταί τινες ὅτι οὐ κατὰ πᾶν ὡμοίωται τὰ τῆς παραβολῆς. ἐκεῖ μὲν γὰρ τὸ σῶμα λίθακας ἀποσπᾷ, ὧδε δὲ πρὸς ταῖς πέτραις ἐναπομένει μέρος τοῦ δέρματος. Q.

436. ὑπὲρ μόρον] δύο εἰσὶ μέρη λόγου. P.

437. εἰ μὴ ἐπιφροσύνην δῶκε] σύνεσιν, ἐπίνοιαν. H. γρ. εἰ μὴ ἐπὶ φρεσὶ θῆκε. H.P.

438. κύματος ἐξαναδὺς] ὁ ἀναδύνων ἐκ τοῦ κύματος, τῶν κυμάτων ἐκείνων ἅτινα ἀποπτύονται καὶ ἐξερεύγονται εἰς τὴν ἤπειρον. B.

τό τ'] ὅπερ. Gl. P. ὅπερ ἐρεύγεται καὶ προσρήγνυται μετὰ ἤχου. P.

439. νῆχε παρὲξ] ὀξύτονον τὸ παρέξ, μεθ' ὃ βραχὺ διασταλτέον. δηλοῖ τὸ παρενήχετο. P. οὔτε πλησίον πάνυ, ὅπερ δηλοῖ ἡ παρά, οὔτε πόρρω, ὅπερ δηλοῖ τὸ ἐξ. E.

ἄμφω εἰς τὴν καρτερίαν Ὀδυσσέως. ὡς νηχόμενος γὰρ τῆς παρατηρήσεως οὐκ ἠμέλει. P.Q.

440. ἠϊόνας τε παραπλῆγας] παραπλαγιαζομένας τῇ πληγῇ, οὐκ

5. ἐνύδρων] ἐνύγρων Q.T.

6. θερμαῖνον] θερμαίνων H.

ἀντιθαλπόμενον T. quod legit Eustath. p. 1541, 9. ἀντιθερμαινόμενον ceteri.

12. παραβέβληνται Buttm. pro προβέβληνται, collato scholio proximo.

19. ἀναδύνων Buttm. pro ὀδύων.

20. ἐξερεύγονται Buttm. pro ἐξέοχονται.

28. Hoc scholion in T. adscriptum versui 418. ubi eadem verba poetæ.

παραπλαγιαζομένας] παραπλησιαζομένας T.

τῇ πληγῇ H. τῇ γῇ T. ταῖς πληγαῖς B.E.T.

οὐκ H.T. οὐδ' P., om. B.E.

ἐξ ἐναντίου, πλαγίως δὲ πλησσομένας ὑπὸ τῶν κυμάτων. B.E.H. P.T.

441. ἀλλ' ὅτε δὴ ποταμοῖο] Σώσωνά φασι τοῦτον λέγεσθαι τὸν ποταμόν. P.Q.

443. λεῖος πετράων] ἢ ὅτι πέτρας οὐκ εἶχεν, ἢ ὅτι εἶχε μὲν, λείας δὲ ὅμως αὐτὰς εἶχεν. B.P.Q.T.

444. ἡ ἀνταπόδοσις εἰς τὸ "ἔγνω δὲ προρέοντα," ἵνα περιττεύῃ ὁ σύνδεσμος. P.

καὶ εὔξατο ὃν κατὰ θυμόν] οἰκεῖον γὰρ τῷ νηχομένῳ μὴ φθέγγεσθαι, ἀλλὰ τῷ λογισμῷ τὴν εὐχὴν ἐκφέρειν. B.P.Q. εἶτά φησιν ὁ ποιητὴς ηὔξατο. P.

445. πολύλλιστον] πολυλιτάνευτον, ἀπὸ τοῦ λιτή ἡ παράκλησις. B.E. οὕτω πολύλλιστον κατ' αἰτιατικὴν ἀντὶ τοῦ πολυλίστως. P.T. εὔχεται τῷ ποταμῷ ὡς ἂν ἑκάστου ἔχοντος δαίμονα. ὁ δὲ καὶ ἐν ταῖς κρήναις οἶδεν θεὰς, ἃς Νύμφας καλεῖ "Νύμφαι κρηναῖαι, κοῦραι Διός" (Od. ρ, 240.), καὶ ἄλλαι "Νύμφαι ὀρεστιάδες, κοῦραι Διός" (Il. ζ, 240.). οὕτω πεπληρῶσθαι θείων δυνάμεων Ὅμηρος ἡγεῖται πάντα. T.

447. αἰδοῖος μέν τ' ἐστί] οἶμαι διὰ τὸν ἱκέσιον Δία, ὅς ἐστι πατὴρ ἀνδρῶν τε θεῶν τε. E. ὁ μὲν παρέλκει. ὁ δὲ νοῦς, ἀνδρῶν ὅστις ἵκηται ἁλώμενος, αἰδοῖός ἐστι καὶ ἀθανάτοισι θεοῖσι. B.P.Q. καὶ παρὰ τοῖς θεοῖς, φησὶν, ὁ ἱκέτης αἰδέσιμος καὶ προσδεκτός ἐστι. B. P.Q.

449. σόν τε ῥόον σά τε γούναθ' ἱκάνω] μιᾷ δεήσει καὶ τὴν φύσιν τοῦ ῥεύματος καὶ τὸ σῶμα συνέπλεξεν. P.Q.T.

451. παῦσεν ἑὸν ῥόον, ἔσχε δὲ κῦμα] μιᾷ δεήσει τὸ ἴδιον κῦμα καὶ τὸν ἴδιον ῥοῦν ἐπέσχεν. Q.T.

453. ἐς ποταμοῦ προχοάς] ἀντὶ ἀντωνυμίας τὸ ὄνομα. οὐ γὰρ εἶπεν εἰς τὰς ἑαυτοῦ προχοάς. ἡ διπλῆ οὖν παράκειται πρὸς τὸ τῆς ἑρμηνείας ἴδιον. B.E.P.Q.

ὁ δ' ἄρ' ἄμφω γούνατ' ἔκαμψε] τὰ γὰρ νεῦρα ἀπὸ πολλοῦ κρύους ἀκινητοῦσιν. ἵνα γοῦν μὴ κρατηθῶσιν αὐτῷ ταῦτα ἔκαμψεν. E.

1. πλαγίως δὲ solus habet H. κυμάτων] τῶν πλαγίων addit P.

22. ἐστι] Huic scholio in P. statim subjungitur; γραπτέον οὐκ ἐσσί: quod assumpta præcedente voce expleo: ἐστί, γραπτέον, οὐκ ἐσσί. BUTTM.

24. δεήσει] θελήσει Buttm.

26. μιᾷ δεήσει om. T.

28. ἀντὶ—προχοάς habet T.

οἱ γὰρ ἐπὶ πλέον ἐν ὑγρῷ διατρίψαντες ἀπορθοῦνται τὰ νεῦρα, καὶ δέονται μαλάξεώς τινος εἰς τὸ καταπεσεῖν. P.Q.T.

454. ἁλὶ γὰρ δέδμητο] τῇ θαλάσσῃ καταπεπονημένος ἦν. V.

455. ᾤδεε] εἰ μὲν ἄνευ τοῦ ι, ᾤζεν, εἰ δὲ σὺν τῷ ι, ᾠδήκει. H.P. ἔνιοι ᾤδησεν ὄγκῳ. V.

κήκιε] ἀπὸ τοῦ κίω τὸ παραγίνομαι. ἀνηκοντίζετο πολλὴ καὶ ἐβρώμει, ἀφ' οὗ καὶ καπνός. B.

457. ὀλιγηπελέων] ὀλίγον ἔχων τοῦ πέλειν. B.E.P.T. ὁ δὲ λόγος, ὡς ὀλιγοδρανέων. P.T. ἤγουν ὀλιγοψυχῶν. B.E.

458. ἄμπνυτο] ἔμπνυτο, διὰ τοῦ ε. H.

459. καὶ τότε δὴ κρήδεμνον] ἐν πρώτοις μέμνηται τῶν ἐντολῶν τῆς εὐεργέτιδος. P.Q.T.

Ζηνόδοτος, ἀπὸ ἕο. ἡ κοινὴ, ἀπὸ ἔθεν. H.P.

460. ἁλιμυρήεντα] τὸν τῇ ἁλὶ ὁμοῦ ῥέοντα, ἤγουν ἀναμεμιγμένον τῇ θαλάσσῃ. ἢ τὸν εἰς ἅλα μυρόμενον. E. ἐπιθετικῶς τὸν εἰς τὴν θάλασσαν ἐρευγόμενον, τουτέστιν εἰς θάλασσαν ῥέοντα. P.Q.

461. κατάρροον διὰ τοῦ ἑτέρου ρ. H.P.

463. ὑπεκλίνθη] ἐφίλησε, ἠσπάσατο. H. τῇ σχοίνῳ ὑπέκλινεν ἑαυτόν. H.T.

σχοίνῳ ὑπεκλίνθη] τῇ λεγομένῃ βρούλῳ ὑπέπεσε. E.

465. τί νύ μοι μήκιστα γένηται] τί πλέον μοι τούτων γενήσεται; B.T. τὸ τέλειον, τί μοι τούτων γενήσεται; P.

466. δυσκηδέα νύκτα] δυσφρόντιστον, κακὰς φροντίδας ἐμποιοῦσαν. B.P.Q.T. ἀμφότερα δὲ ἄπορα, τὸ κοιμηθῆναι, διὰ τὸ κρύος, καὶ τὸ πόρρω ἀπιέναι, διὰ τὰ θηρία. B.P.Q.

φυλάξω] Ἀρίσταρχος, φυλάσσω, ἐν παρατάσει, καὶ προσυπακούει τὸ ἐμαυτόν. τὸ ἑξῆς, μή με δαμάσῃ. H.P.

5. ᾤδησεν correxi pro ᾠδῆς ἐν. Videtur autem sub voce ἔνιοι varia lectio latere. BARNES. Eust. p. 1541, 64. τὸ δὲ ᾤδεε χρόα, ἀντὶ τοῦ, ἐξώγκωτο.

10. ἔμπνυτο] Est lectio Aristarchea, ut liquet e schol. ad Il. χ, 475. PORSON.

13. ἕο—ἔθεν] Hæc manifeste corrupta: nam ἔθεν metrum non fert. Recte Duentzer. Zenod. p. 58. οὗ—ἕο. quemadmodum Zenodotum alibi (Il. υ, 261. ω, 293.) οὗ pro ἕο probasse constat, licet alienum ab dialecto Homerica. Conf. ad η, 217.

17. κατάρροον] κατἄρρόον P., id est κατ' ἂρ ῥόον.

20. βρούλῳ] βροῦλλον vel βροῦλον, τὸ, frequens in scriptis recentiorum Græcorum, etiam βρύλλον vel βρύλον scriptum: vid. Ducang. Conf. schol. in annot. nostra ad ν, 103.

24. τὸ κ. Buttm. pro τοῦ κ.

467. στίβη τε] ἡ ἑωθινὴ ψύχρα. B.T. ἡ πάχνη, ἀπὸ τοῦ στιβάζεσθαι. B. τὸ ἐξ αἰθρίας κρύος γενόμενον μάλιστα παρὰ τοὺς πόδας καὶ τὰς χεῖρας ἅμα ἡμέρᾳ, ὅπερ ἔνιοι λέγουσι μάλκην. E. ἡ ἑωθινὴ ψύχρα, ἡ πάχνη. τῶν ἅπαξ δὲ εἰρημένων ἡ λέξις. P.Q. ἡ πάχνη κατὰ ἀντίφρασιν, ἢ τὸ ἑωθινὸν ψῦχος. V. 5

θῆλυς ἐέρση] ἡ τρόφιμος δρόσος. τρόφιμον γὰρ τὸ θῆλυ. οὐκ εἶπε δὲ θήλεια, ἀλλὰ θῆλυς ἀρσενικῶς, ὡς ποιητικώτερον. εἰ γὰρ καὶ ἀρσενικῶς λέγεται ὁ θῆλυς, ἀλλ' ἔχει τὸ σημαινόμενον θῆλυ. B.Q. ἡ πάχνη ἡ θάλλουσα ἐκ τοῦ πυκνοῦσθαι. εἰ γὰρ μὴ πυκνωθῇ ἡ ἀναθυμίασις ἐκ τοῦ ὕδατος καὶ ἐκ τοῦ κρύους, πάγος ἄλλως οὐ πήγνυται. E. θῆλυς] θάλλουσα. ἐέρση] δρόσος. V. 10

468. κεκαφηότα θυμόν] ἐκπεπνευκότα· κάπος γὰρ τὸ πνεῦμα. E.

469. αὔρη δ' ἐκ] γρ. αὔρη γάρ. H.P.

ψυχρὴ πνέει] ἐντεῦθεν παρίσταται ὅτι καὶ ἀνέμων φύσιν ἀκριβῶς κατενόησεν Ὅμηρος, ὧν ἡ γένεσις ἐκ τῶν ὑγρῶν ἐστι. τοῦ μὲν γὰρ ὕδατος ἡ μεταβολὴ εἰς ἀέρα γίνεται, ὁ δ' ἄνεμός ἐστιν ἀὴρ ῥέων. E. 15

470. ἐς κλιτὺν ἀναβὰς] τὴν ὑψηλὴν πρόσβασιν τοῦ ὄρους, τὴν ἀκρώρειαν, ἢ τὴν ἀπόκλισιν. E.P.Q.V.

471. θάμνοις] ἐκ τοῦ θαμινοῦ τὸ συχνὸν γίνεται θάμνος. B.

474. δοάσσατο] οὕτως ἔδοξεν αὐτῷ κέρδιον, οὕτω πως ὡς κατιὼν ὁ λόγος δηλώσει, "βῆ ῥ' ἴμεν εἰς ὕλην." B. τὸ καθ' ἑαυτό. P. 20

475. βῆ ῥ' ἴμεν] γράφεται, βῆ δ' ἴμεν. E.

476. περιφαινομένῳ] πάντοθεν κατοπτευομένῳ. T. περιορωμένῳ, περὶ ὃν τόπον οὐκ ἔστιν ὕλη, ἀλλὰ μόνον θάμνος, τὸ δὲ περὶ αὐτὸν ψιλόν. V. 25

477. ἐξ ὁμόθεν πεφυῶτας] ἐν τοῖς ὑπομνήμασι, γεγαῶτας. H.Q. τὸ δὲ σχῆμα ἀντίπτωσις, ἵν' ᾖ, τὸν μὲν φυλίης, τὸν δ' ἐλαίης. ἢ στικτέον μετὰ τὸ πεφυῶτας, ἵνα ἐν τοῖς ἑξῆς λείπῃ τὸ ἦν ῥῆμα, ὁ μὲν φυλίης ἦν, ὁ δὲ ἐλαίης. P.Q.

1. ψύχρα] Substantivum ἡ ψύχρα confirmatum vide ad ξ, 476. not. Et conf. substantivum ἡ ἔχθρα. BUTTM.

3. Pro μάλην reposui μάλκην monente J. G. Schneidero. BUTTM.

ἡ ἑωθινὴ ψύχρα P. τὸ ἑωθινὸν ψύχος Q.

6. ἡ τρόφιμος—δὲ θήλεια] Hæc habet etiam P. et omisso δρόσος T.

10. ἄλλως Buttm. pro ἄλλος.

17. κλιτὺν] In marg. Harl. citatur κλίτην. PORSON.

πρόσβασιν V. πρόβασιν ceteri.

τὴν ἀ.—ἀπόκλισιν om. V.

26. ἐξ ὁμόθεν] ἐξομόθεν P. in textu et in scholio.

In T. annotatum γρ. γεγαότας.

πλεονάζει ἡ ἐξ πρόθεσις. P.

φυλίης] φυλία εἶδος ἐλαίας, μυρρίνης ὅμοια φύλλα ἐχούσης. οἱ δὲ τὸ ἀγριέλαιον λέγουσιν. B.P.Q.T.

478. τοὺς μὲν ἄρ' οὔτ' ἀνέμων διάει μένος ὑγρὸν ἀέντων] ἐξ οὗ ἔλαβε τὸν στίχον ὁ Ἡσίοδος. E. 5

τοὺς μὲν] ἀντὶ τοῦ δή· ἢ συνέσταλται Ἰακῶς. P.

ἀμφίβολον· ὑγρὸν μένος, ἢ ὑγρὸν ἀέντων, ἀντὶ τοῦ ὑγρῶς ῥεόντων. τῆς ἀμφιβόλου διαστολὴ ἡμᾶς ἀπαλλάττει. P.Q.

481. τὸ ἔφυν συσταλτέον. P.

ἐπαμοιβαδίς] ἐπαλλακτικῶς. P. ἐπιπεπλεγμένοι ἐναλλάξ. V. 10

483. φύλλων γὰρ ἔην χύσις] ἐὰν ἀφ' ἑτέρας ἀρχῆς ἀναγνῶμεν τοῖς ἑξῆς συνάπτοντες, ἔσται καθολικὸς ὁ λόγος, ὅτι τοσαῦτα ἦν τὰ φύλλα ὥστε καὶ δύο καὶ τρεῖς καλύψασθαι. ἐὰν δὲ ὡς διὰ μέσου κείμενον διορθῶμεν, ἔσται τοσαῦτα φύλλα ἐπιβεβλημένος ὅσον δύο ἢ τρεῖς καλύψαι, πλεῖον τῶν δεόντων δηλονότι. P.Q. ἤλιθα πολλὴ] 15 ἀπὸ τοῦ ἅλις καὶ τοῦ θα ἐπιτατικοῦ μορίου. E.

484. ἔρυσθαι] προπαροξυτόνως, ἵνα σημαίνῃ παρατατικόν. P.

485. εἰ καὶ μάλα περ χαλεπαίνοι] ἡ ὥρα. ἤτοι χαλεπῶς ὑπὸ ῥίγους διατεθείη. B.E.Q.T.

488. δαλὸν] κεκαυμένον ξύλον. H.T. σποδιῇ] σποδῷ, κονίᾳ. H. 20

489. ἀγροῦ ἐπ' ἐσχατιῆς] ἄκρως τῇ ἐπεξεργασίᾳ. οὐ γὰρ ἐν τῇ πόλει χρεία ταύτης τῆς προνοίας. Q.

490. σπέρμα πυρὸς] πᾶσα οὐσία μείωσιν πάσχει. τὸ δὲ πῦρ ἐν ὅσῳ κἂν τὸ τυχὸν ἔχῃ, πάλιν αὔξεται. ὃ εἰδὼς πρῶτος ὁ ποιητὴς εἶπε σπέρμα πυρός. καὶ τὸ σπέρμα γὰρ ἐξ ἐλαχίστου αὔξεται. 25 ἔστι δὲ ὁ τρόπος μεταφορά. πρὸς τοῦτο καὶ ὁ Αἰσχύλος ἀντεμηχανήσατο εἰπὼν πηγὴν πυρὸς ἐν Προμηθεῖ δεσμώτῃ ἐν οἷς φησι "ναρ-

2. μυρρίνης] μυρίνης P.Q.T.

2.3. Cf. Apollon. Lex. s. v. φυλίης.

8. ἀπαλλάττει] Majus defectus signum hic posuit, nimirum pro διαστολή ipse habens διαστολῆς. Nunc ad τῆς ἀμφιβόλου intelligendum est λέξεως. BUTTM. Fort. τοῦ.

9. Hoc vult: syllabam υν brevem esse pronuntiandam, ut sola cæsura metrum fulciat. Recte. Nam ἔφῦν pro tertia plurali æque mendosum foret atque ἔθην, ἔβην pro ἔθεν, ἔβαν. Pronuntiandum igitur ἔφῦν ἐπαμοιβαδὶς, plane ut βέλος ἐχεπευκές. BUTTM.

10. ἐπαλλακτικῶς Buttm. pro ἀπαλλακτικῶς.

14. διορθῶμεν] Vid. ad p. 258, 15.

ὅσον] Exspectes ὥστε ut supra: sed ὅσον sumpsit ex v. 484.

15. δεόντων Friedlaender. de Nican. p. 79. pro ὄντων.

26. ἔστι—μεταφορά om. T.

27. Προμηθεῖ] 109.

θηκοπλήρωτον δὲ θηρῶμαι πυρὸς πηγὴν κλοπαίαν." B.E.H.P.Q.T. μεταφορικῶς τὸν σπινθῆρα τοῦ φωτὸς εἴρηκεν. P.Q.

490. αὔοι] ἐξάπτοι. P.V. ὁ Ἰξίων, αὔῃ. H.P.

Ζ.

ΥΠΟΘΕΣΙΣ.

Ἀθηνᾶ ἐπιστᾶσα ὄναρ Ναυσικάᾳ τῇ Ἀλκινόου θυγατρὶ, κελεύει αὐτῇ τὴν ἐσθῆτα ἐπὶ τὸν ποταμὸν ἀγαγούσῃ πλύνειν, πλησίον γὰρ αὐτῇ εἶναι τὸν γάμον. ἡ δὲ τὸ κελευσθὲν ποιεῖ. ἔπειτα παίζει μετὰ τῶν θεραπαινῶν. ἀκούσας δὲ αὐτῶν Ὀδυσσεὺς ἐξυπνίζεται, καὶ δεηθεὶς Ναυσικάας, ἐσθῆτα καὶ τροφὴν παρ' αὐτῆς λαβὼν ἕπεται αὐτῇ εἰς τὴν πόλιν. E.H.P.Q.

ΑΛΛΩΣ.

Ναυσικάα ἡ Ἀλκινόου θυγάτηρ ὑπὸ ὀνείρου τραπεῖσα ἐπὶ τὸν ποταμὸν κάτεισι πλυνοῦσα τὴν ἐσθῆτα. μετὰ δὲ τὸ πλῦναι παιδιά τις ὁποία εἰκὸς διὰ σφαίρας ταῖς κόραις γίνεται. Ὀδυσσεὺς δὲ θορύβου γενομένου διυπνίσθη, καὶ ἐσθῆτος τυχὼν, μέχρι τοῦ τῆς Ἀθηνᾶς ἱεροῦ, ὃ πρὸ τῆς πόλεως ἦν, συνῴδευε τῇ κόρῃ. E.Q.V.

---

1. κάθευδε] Ζηνόδοτος, καθεῦδε. H.P.

2. ὕπνῳ καὶ καμάτῳ ἀρημένος] βεβλαμμένος. ἤτοι συλληπτικῶς· ὑπὸ μὲν γὰρ τοῦ καμάτου βέβλαπτο, ὑπὸ δὲ τοῦ ὕπνου οὐκέτι· ὁ γὰρ ὕπνος οὐ βλάπτει· ἢ κατ' ἀντίφρασιν τὴν ἀγρυπνίαν ὕπνον ἔφη. ἢ ἐπὶ τῷ καμάτῳ στικτέον, εἶτα ἀρημένος ὑπὸ τοῦ Ποσειδῶνος, ἤγουν βλαβεὶς καὶ παρεθεὶς ἢ κατεχόμενος. E.P.Q.V. ἢ τὸ ἀρημένος ἀντὶ τοῦ ἠρημένος καὶ νενικημένος ἀρημένος ἠρημένος, κεκρα-

6—11. Habet hoc argumentum Eustathius p. 1548.

7. ἀγαγούσῃ] ἀγούσῃ H.

14. πλυνοῦσα Struvius pro πλύνουσα.

18. καθεῦδε] καθεῦδεν H.P. Scribendum cum Duentzero Zenodot. p. 61. καθεῦδε (vel κάθευδε)] Ζηνόδοτος, ἐκάθευδε. Nam Zenodotus hujusmodi in locis augmentum, ubi per metrum fieri posset, addere potius solebat quam, quæ Aristarchi ratio est, omittere. De verbo κάθευδε vel ἐκάθευδε idem notatur ad γ, 402.

20. ὁ γὰρ—βλάπτει om. E.Q.V.

22.—24. Eustath. p. 1548, 42. τινὲς δὲ στίξαντες τελείαν ἐν τῷ ὕπνῳ φασὶν ὡς ἐκάθευδεν ὑπνῶν, καίτοι καμάτῳ παρεθείς. ἕτεροι δὲ δασύναντες τὸ ἀρημένος νοοῦσιν ἀντὶ τοῦ ὕπνῳ καὶ καμάτῳ κεκρατημένος.

τημένος. E.P.Q. νῦν καιρίως ἐφίσταται ὅτι ἐπιβουλεύων ἀνῆκεν ὁ Ποσειδῶν. P.

3. βῆ ῥ' ἐς Φαιήκων] ἡ νῦν λεγομένη Κέρκυρα. E.

δῆμόν τε πόλιν τε] δῆμον τὸ πλῆθος τῶν ἀνδρῶν, πόλιν αὐτὴν τὴν οἰκοδομίαν. B.E.H.T. 5

4. ἔναιον ἐν εὐρυχόρῳ Ὑπερείῃ] οἱ μὲν τὴν ἐν Σικελίᾳ Καμάριναν εἶναί φασιν, οἱ δὲ ἀπὸ τοῦ ὑπὲρ τὴν ἡμῖν γινωσκομένην. ἄλλοι δὲ ὅτι νῆσος ἦν πρότερον πλησίον τῆς τῶν Κυκλώπων χώρας. ἔστι δὲ καὶ κρήνη ἐν Θεσσαλίᾳ. B.E.P.Q.V.

εὐρυχόρῳ] ἐν ᾗ ἐστιν εὐρὺ χορεύειν. E. 10

5. ὑπερηνορεόντων] ὑπερεχόντων τῇ ἠνορέῃ, ὅ ἐστι τῇ ἀνδρείᾳ, καὶ διὰ τοῦτο ὑπερηφάνων. V. τῶν λίαν ἀνδρείων. T.

6. οἵ σφεας] ὀξυτονητέον τὸ οἱ ἄρθρον. ἐγκλιτικὸν γάρ ἐστι νῦν ἡ σφέας. P. σινέσκοντο] ἔβλαπτον, ἀπὸ τοῦ σίνω τὸ βλάπτω. B.

7. ἀναστήσας] ἀνακομίσας, ἀποικίαν στειλάμενος. H. 15

8. εἷσεν δ' ἐν Σχερίῃ] ἵδρυσεν ἐν τῇ τῶν Φαιήκων πόλει. H. ἔξω τοῦ ν αἱ Ἀριστάρχειοι, οὐχ ὥς τινες, ἐν Σχερίῃ. H.P. αὕτη δὲ ἡ Σχερίη ἐστὶν ἔξω τῆς καθ' ἡμᾶς οἰκουμένης. Ἀρίσταρχος, εἷσεν δὲ Σχερίῃ. E.Q. ὅτι Σχερία ὠνομάσθη ἡ τῶν Φαιάκων γῆ καὶ οὐ Κέρκυρα, καὶ ὅτι ἔξω τῆς καθ' ἡμᾶς οἰκουμένης. E.P.Q. 20

ἀνδρῶν ἀλφηστάων] τῶν εὑρετικῶν καὶ προνοητικῶν ἀνδρῶν. H. νοῦ γὰρ καὶ ἐπιστήμης δεκτικοὶ καὶ διὰ τοῦτο ἐπινοητικοί. E.

9. ἀμφὶ δὲ τεῖχος ἔλασσε] ἤτοι περιέτεινε, περιέβαλεν. ἡ δὲ μεταφορὰ ἀπὸ τοῦ ἐλαυνομένου σιδήρου. ἢ ἀπὸ τοῦ ἐλάσαι, ὅ ἐστι πῆξαι καὶ σκάψαι. P.Q.V. 25

5. οἰκοδομίαν H. οἰκοδομήν B.E.T.

6. Καμάριναν] καμαρῖναν B.E.Q. καμαρίναν P.V. In H.T. ταύτην τινὲς τὴν Καμαρῖναν (ὑπέρειάν τινες τὴν καμάριναν T.) εἶναί φασιν.

7. ὑπὲρ] ὑπὸ P.Q.

8. ἔστι—Θεσσαλίᾳ om. P.

11. ἀνδρείᾳ] ἀνδρίᾳ V.

13. τὸ] τὴν P.

16. δὲ Σχερίῃ] δ' ἐν σχεδίῃ E.Q. "Apparet hanc Ambross. scripturam non uno modo esse corruptam, Aristarchumque scripsisse ΔΕ pro vulgato ΔΕΝ. Et εἷσε δὲ Σχερίῃ est etiam in schol. ad ι, 345." BUTTM.

17. αἱ ego addidi. αἱ Ἀριστάρχειοι est p. 281, 4. 303, 21.

19. Istud ὅτι, quod semper refertur aut ad signa grammatica versibus olim appicta, diplen maxime, aut ad intellectam vocem σημειοῦνται vel σημειωτέον, male utrobique omissum in E.Q. quo pacto scholium pervertitur. Præterea hoc, Scheriam non esse in orbe noto, etiam l. 17. in male concepto scholio legitur. BUTTM.

ὠνομάσθη] ὀνόματι P.

20. ἔξω] ἔστιν ἔξω Q.

23. περιέτεινε] περιετείχισε Q.

τάχιστα ἐδήλωσε πόλεως κατασκευὴν ἐν ἑνὶ διστίχῳ. καὶ τοὐναντίον "ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει, τέκνα δέ τ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας" (Il. ι, 589. s. 593.)· ἐν δυσὶ γὰρ στίχοις πόλιν διασκαπτομένην ἐδήλωσε. P.Q.

10. θεῶν] Ῥιανὸς, θεοῖς. H. 5

12. θεῶν ἄπο μήδεα εἰδώς] ἡ ἀπό ἀντὶ τῆς παρά· διὸ ὀξύνεται. ἤδη δέ τι τῶν χρησίμων ὑποβάλλει ὅτι φιλοξένου ἀνδρὸς ἐπιτεύξεται ὁ Ὀδυσσεύς. B.P.Q.

13. ὁ μέν ἀντὶ τοῦ δή. H.

15. ἀναστρεπτέον τὸν ἔνι· ἔστι γάρ, ἐν ᾧ. P. 10

18. πὰρ δὲ δύ' ἀμφίπολοι] ἀντὶ τῆς παρά. H. παρέκειντο δὲ καὶ δύο ἀμφίπολοι, ἤτοι ἐκοιμῶντο. B.

Χαρίτων ἄπο] ὁμοίως ἀντὶ τῆς παρά. P.

προκατασκευάζει ὁ ποιητὴς τὸ "καλαὶ δέ τε πᾶσαι" (108.), ὅπερ οὐ δουλοπρεπῶν σωμάτων ἐστὶν οἰκεῖον. P. 15

19. σταθμοῖιν] σταθμοὶ λέγονται τὰ ἑκατέρωθεν τῶν θυρῶν ὄρθια ξύλα τὰ ἀνέχοντα τὰς φλιάς. Q.

20. ἡ δ' ἀνέμου ὡς πνοιὴ] νοητέον παρεισδῦσαν πάλιν τὴν θεὸν παρὰ κληῖδος ἱμάντα (δ, 800.). P.Q.

22. ναυσικλειτοῖο Δύμαντος] προπερισπωμένου τοῦ ναυσικλεί- 20
τοῖο. τινὲς δὲ, τῇ Ναυσικλειτοῖ, ὡς Καλυψοῖ. ἔνιοι δὲ, ναυσὶ κλειτοῖο, ἐν δυσὶ μέρεσι λόγου. ἀμείνων δὲ ἡ πρώτη, ναυσικλειτοῖο, ἐν τοῖς κατὰ ναυτικὴν ἔργοις ἐνδόξου. P.Q.

23. ὁμηλικίη] ὁμῆλιξ. καὶ ἐν Ἰλιάδι (γ, 170.) "ὁμηλικίην ἐρατεινήν." H. 25

κεχάριστο] προσηνὴς ἦν, ἐφιλεῖτο. H.

26. ἀκηδέα] μηδεμιᾶς φροντίδος ἠξιωμένα, ἢ ἀτημέλητα, ἀφρόντιστα. V.

σιγαλόεντα] ἁπαλὰ, ποικίλα. τὰ μὲν γὰρ σκληρὰ ἀντιπίπτει καὶ ἀντιτυπεῖ, τὰ δὲ ἁπαλὰ ὥσπερ σιγᾷ καὶ ἡσυχάζει. P.Q.V. τὰ 30
φύσει λαμπρὰ, τὰ σιγὴν ἐμποιοῦντα, ἢ τρυφερὰ, μὴ ἐμποιοῦντα δοῦπον. E.

1—4. Cf. Eustath. p. 1549, 32.
1. τάχιστα] δ' addit Q.
διστίχῳ] στίχῳ Q.
20. Conf. schol. α, 30. BUTTM.
29. ποικίλα om. P.Q.
ἀντιπίπτει καὶ om. P.Q.
32. δοῦπον anonymus apud Buttm. pro δ' οὔπω.

28. τοῖσι] ἐκείνοις παρασχεῖν, ἤτοι τῷ γαμβρῷ. τὸ πληθυντικὸν ἀντὶ ἑνικοῦ Ἀττικῶς. B. ὡς τοιούτου ὄντος τοῦ ἔθους, τὰς νύμφας τοῖς τοῦ νυμφίου παρέχειν ἐσθῆτας. Q.T. ταῦτα δὲ τὰ τῆς ἀνδρικῆς ἐσθῆτος προοικονομεῖ, ἵνα ἐξ αὐτῶν λάβῃ τι ὁ Ὀδυσσεύς. P.T.

οἵ κέ σ' ἄγωνται] κυριωνυμεῖται τὸ ἄγω. κεῖται γὰρ ἀντὶ τοῦ ἄγωνται εἰς γυναῖκα. καὶ τίθεται τὸ ῥῆμα μόνον, ὡς τὸ ἤγετο καὶ τὸ ἠγάγετο. νοεῖται δὲ τὸ πρόσωπον ἔξωθεν ἀντὶ τοῦ ἤγετο ἄνδρα, ἢ ἠγάγετο γυναῖκα. B.

29. ἐκ γάρ τοι τούτων φάτις ἀνθρώπων ἀναβαίνει] Καλλίστρατος δὲ, χάρις, ἀντὶ τοῦ χαρά. μεταποιῆσαι δέ φησι τὸν Ἀριστοφάνην, φάτις. H.P. ἀναβαίνει] ἀναβιβάζει, αὔξει. P.

31. ἀλλ' ἴομεν] ἀναγκαία ἡ ἔπειξις ἵνα θᾶττον ἡ θεραπεία τοῦ Ὀδυσσέως γένηται. P.Q.T.

32. καί τοι ἐγὼ συνέριθος] καὶ τοῦτο προσαγωγὸν, ἵνα σπεύσῃ συγγενέσθαι τῇ φίλῃ κατὰ σχολήν. P.Q.T.

συνέριθος] κυρίως ἡ συνεργοῦσα εἰς τὰ ἔρια. ἐκ τούτου γοῦν καὶ ὁ ἁπλῶς βοηθός. E. συνεργός, παρὰ τὴν ἀγαθὴν ἔριν. V.

33. ἐντύνεαι] διὰ τὸ μέτρον συνέσταλται τὸ υ καὶ η. P. ἀντὶ ὑποτακτικοῦ τοῦ ἐντύνηαι, ὡς καὶ ἐπὶ τοῦ "ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων" (Il. ι, 409.), καὶ "ὄφρα καὶ ἄλλος πτωχὸς ἀλεύεται ἠπεροπεύειν" (Od. ξ, 400.). P.

ἐντύνεαι] κατασκευάσειας, πλύνειας, κοσμήσειας, κομίσειας. E.Q. κοσμήσειας, πλύνειας, εὐτρεπίσειας. V.

35. ὅθι τοι γένος] οὐ τοπικόν ἐστι νῦν, ἀλλὰ θέλει λέγειν, ἐν οἷς καὶ αὐτὴ ὀνομάζῃ τοῖς ἀρίστοις, τουτέστιν ὅτι εἶ εὐγενής. γράφεται καὶ, ἤ τοι γένος. V. ὅπου ἐν τοῖς ἀρίστοις ἐστὶ καὶ σοὶ αὐτῇ τὸ γένος. H.P.T.

3. τοῖς τοῦ νυμφίου T. τοῖς νυμφίοις Q. Apud Eustath. p. 1549, 54. τὰς νύμφας τοῖς τοῦ νυμφίου ἐσθῆτας ἐν τῷ τοῦ γάμου καιρῷ χαρίζεσθαι.

9. ἀνθρώπων] Ultimæ syllabæ οις superscriptum in P.

Καλλίστρατος—φάτις] Hæc aut vitiata aut commenticia videntur Nauckio Aristoph. p. 39.

12. ἔπειξις] συμβουλὴ T.

19. ἐπεὶ addidit Buttm.

20. καὶ "ὄφρα καὶ ἄλλος πτωχὸς Buttm. pro ἔνθα καὶ ἄλλοι πτωχοί.

26. ἤ τοι] ὅτι τοι codex Barnes.

καὶ σοὶ αὐτῇ Buttm. pro καὶ ὅ σοι (καὶ ὅσῃ P.) αὐτῇ. "In textu H. ὅτι τοι γένος ἐσσὶ καὶ αὐτή. Atque ἐσσὶ a prima manu fuit etiam in P.; ad eandemque scripturam refertur scholium vulgatum quoque: qua ratione τοὶ foret conjunctio." BUTTMANN.

37. ἤ κεν ἄγῃσι] ἀντὶ τοῦ ἄγοι. ὑποτακτικὸν ἀντὶ εὐκτικοῦ. P. ἄγοι, φέροι, βαστάζοι. V.

38. ζῶστρα] τὰ πρὸς τὴν ζώνην ἐπιτήδεια, πάντα ἅ ἐστι ζώσασθαι, οἷον χιτῶνας καὶ τὰ τοιαῦτα. πέπλους δὲ τὰ γυναικεῖα ἐνδύματα καὶ ἐμπερονήματα. ἅπαξ δὲ ἐνταῦθα ἡ ζῶστρα λέγεται. P.Q.T. 5

ζῶστρά τε] γρ. ζώνας. P.

ῥήγεα] τὰ βαπτὰ περιστρώματα. Q. βαπτά. ῥέξαι δὲ τὸ βάψαι. P.

40. ἄπο πλυνοί εἰσι πόληος] βαρυτονητέον τὴν ἄπο· σημαίνει γὰρ τὸ ἄπωθεν. P. 10

πλυνοί] οἱ λίθοι ἐν οἷς πλύνουσιν. ἐκ μέρους δὲ πάντα τὸν τόπον φησί. B. αἱ πληγαί, οἱ τόποι ἐν οἷς πλύνουσι τὰ ἱμάτια. E. γοῦρναι. Gl. H.

42. Οὔλυμπόνδ', ὅθι φασὶ] εἰ μὲν πρὸς τὸν οὐρανὸν τὸ ὅθι φασὶ, νῦν οὐκ ἔχει καλῶς· οὐδὲ γὰρ ἐπὶ τούτου διστάζει ὁ ποιητὴς λέγων, 15 ὅθι φασίν· εἰ δὲ πρὸς τὸ καλούμενον οὕτως ὄρος, καλόν. E.Q. διὰ δὲ τοῦ φασί τὴν ἐκ προγόνων παράδοσιν ἐμφαίνει καὶ οὐκ ἤδη πλάσμα τοῦ ποιητοῦ τὸ τοῦ Ὀλύμπου. E.P.Q.

44. οὔτε χιὼν ἐπιπίλναται] ἀχιόνιστον μὲν αὐτὸν ἀπὸ τῶν ἀνωτέρω μερῶν λέγει, ἀγάννιφον δὲ ἀπὸ τῶν κατωτέρω, τὸν μετὰ τὰ νέφη 20 τόπον, ὡς ὅταν τὸ δόρυ ποτὲ μὲν ἀπὸ τοῦ δένδρου μελίαν τὸ ὅλον, χάλκεον δὲ ἀπὸ μέρους λέγῃ. B.H.P.Q.T.

ἐπιπίλναται] προσπελάζει, ἀπὸ τοῦ πελῶ, προσθέσει τοῦ ν καὶ τροπῇ τοῦ ε εἰς ι πιλνῶ, καὶ ἐξ αὐτοῦ πίλνημι. E.

αἴθρη] Ῥιανὸς, αἰθήρ. H.P. 25

45. ἀνέφελος] νεφελῶν χωρίς. ἡ γὰρ κορυφὴ ἡ τοῦ Ὀλύμπου ἐπουράνιος καλεῖται. ὁ δὲ οὐρανὸς ὑφ' Ὁμήρου ἀπὸ τῶν νεφελῶν ἕως τοῦ κατηστερισμένου τόπου συνωνύμως αὐτῷ τῷ κατηστερισμένῳ καλεῖται. E.P.Q.V.

46. τῷ ἔνι] Ῥιανὸς, τῇ ἔνι, πρὸς τὴν αἴγλην. H.P. 30

3—5. Cf. Eustath. p. 1550, 18.

5. ἡ delendum, aut in τά mutandum.

7. ῥέξαι] Conf. ad γ, 349. BUTT.

13. γοῦρναι] Ex Gloss. Græcobarbaris annotavit Ducangius.

19. ἀνωτέρω] ἀνωτάτων P.T.

20. κατωτέρω Buttm. pro κατωτάτω. κατωτάτων T.

21. τὸ ὅλον] ἀπὸ τοῦ ὅλον (?) H.

22. λέγῃ correxi pro λέγει.

23. πελῶ Struvius pro πέλω.

25—29. Cf. Eust. p. 1550, 52.

25. αἰθήρ] Hoc ferri posse, si μάλα explices "*sane*," monet Lehrs. Aristarch. p. 174.

47. πάντα] γρ. κούρῃ. H.P.

48. ἠὼς ἦλθεν ἐΰθρονος] θρόνον νῦν τὸν ἁρμάτειον λέγει τῆς ἠοῦς. οὐ γάρ ἐστιν ἑδραία ἡ θεὸς αὕτη ἡ νῦν εἰρημένη. E.P.V.

49. ἀπεθαύμασ' ὄνειρον] διὰ τὸ ἐναργές. P.T.

50. διὰ δώμαθ'] ἀντὶ τοῦ διὰ δωμάτων. H. 5

52. ἡ μὲν ἐπ' ἐσχάρῃ] παρὰ τῇ ἐσχάρᾳ. ἐσχάρα δὲ ὁ τόπος ἐφ' ᾧ τὸ πῦρ καίεται. V.

πάλιν σύνηθες αὐτῷ προδιατυποῦν τὴν συναγωγὴν τῶν προσώπων. P.Q.

53. ἠλάκατα στρωφῶσ' ἁλιπόρφυρα] καίτοι τρυφερωτάτης οὔσης 10 τῆς πολιτείας οὐκ ἀμελεῖ τῶν ἔργων. τὰ δὲ ἁλιπόρφυρα οἰκείως τῇ βασιλίδι, ὡς καὶ ἡ Ἑλένη ἰοδνεφὲς ἔριον ἐργάζεται. Q.T. ἠλάκατα τὰ ἔρια, ἠλακάτη δὲ τὸ ξύλον ἐν ᾧ τυλίσσονται τὰ ἔρια. B. ἠλάκατα νῦν τὰ ἔρια. H.V.

στρωφῶσ'] στρέφει. H. 15

ἁλιπόρφυρα] τὰ θαλασσοβαφῆ. ἀντὶ τοῦ παρακαίουσαν ἐπ' Ὀλύμπῳ ἐριπόρφυρα. H.

54. μετὰ κλειτοὺς βασιλῆας] ὄπισθεν τῶν κλειτῶν βασιλήων. νῦν γὰρ τοὺς ἐνδόξους καλοῦσιν. ἢ τὸ μετά ἀντὶ τοῦ εἰς. E. ἐρχομένῳ πρὸς τοὺς κλειτοὺς βασιλῆας. Q.T. οἱ καλούμενοι διὰ τὸ δια- 20 πρέπειν εἰς τὰς ἀγοράς. ἐπιφέρει γὰρ "ἵνα μιν κάλεον Φαίηκες ἀγαυοί." καὶ περὶ τοῦ Τηλεμάχου "ἀλλὰ ἕκηλος Τηλέμαχος τέμένη νέμεται καὶ δαῖτας ἐΐσας δαίνυται, ἃς ἐπέοικε δικασπόλον ἄνδρ' ἀλεγύνειν· πάντες γὰρ καλέουσι" (Od. λ, 185.)· πανταχοῦ γὰρ καλεῖται. T. 25

55. εἰς βουλὴν] τὸ βουλευτήριον λέγει νῦν. B. βουλή σημαίνει τρία, τὴν σύνεσιν, τὴν πρόφασιν, τὴν γνώμην. P.

βέλτιον τοῖς ἄνω συνάπτεσθαι τό, ἐς βουλήν. P.

ἐς βουλὴν, ἵνα μιν κάλεον] οὐχ ὅτι νῦν τοιοῦτόν τι ἦν ὥστε χρείαν εἶναι τοῦ βασιλέως, ἀλλ' οἷόν που ἔδει ἀπαντᾶν ὅπου αὐτὸν ἐκάλει 30 τὰ πράγματα διὰ τὴν ἀρχήν. P.Q.

57. πάππα] πάτερ. ψελλιζομένη ἐστί τις φωνὴ, προσφώνησις φιλοφρονητικὴ νεωτέρου πρὸς πρεσβύτερον. E.P. κατὰ τιμὴν ταῦτά

2. τὸν ἁρμάτειον λέγει] τὸ ἅρμα φησὶ E.

3. ἐστὶν et αὕτη ἡ νῦν εἰρημένη om. E.

ἠοῦς E. ἠοῦς ἐώας ceteri.

26. βουλευτήριον correxi pro βουλευτρόν.

τινες προσαγορευτικά. οὐδέποτε δὲ περί τινος αὐτά φησι, ἀλλὰ πρός τινα. τέττα φίλου, ἄττα τροφέως, ἠθεῖε ἀδελφοῦ, πάππα πατρός. E.

ἐφοπλίσσειας] Ῥιανὸς, ἐφοπλίσσειαν, οἱ δμῶες δηλονότι. H.P.

ἐφοπλίσσειας] παρασκευάσειας. ἐρωτηματικῶς ἔχει ὁ λόγος. P. 5

58. ἵνα κλυτὰ εἵματ' ἄγωμαι] οὐ τὰ τότε, ἀλλὰ τὰ φύσει. ὡς ἐπὶ τοῦ "φαεινὴν ἀμφὶ σελήνην" (Il. θ, 551. s. 555.), οὐ τὴν τότε, ἀλλὰ τὴν φύσει· καὶ ἐπὶ τοῦ "πλήθει δή μοι νεκύων ἐρατεινὰ ῥεέθρα" (Il. φ, 218.). E.

59. τά μοι ῥερυπωμένα κεῖται] μόνος ἐστὶν οὗτος παρακείμενος 10 παρὰ τῷ ποιητῇ ἀπὸ τοῦ ρ δεδιπλασιασμένος. ἔστι δὲ καὶ παρ' Ἀνακρέοντι τὸ "ῥεραπισμένῳ νώτῳ." P.Q.

60. καὶ δέ σοι αὐτῷ] ἡ μὲν Ἀθηνᾶ ἔλεγε περὶ τοὺς γάμους ἀπαρακαλύπτως "τὰ δὲ τοῖσι παρασχεῖν οἵ κέ σ' ἄγωνται," αὐτὴ δὲ τὴν χρείαν ἐνήλλαξε τῶν φορησάντων ἐπ' αὐτὸν καὶ τοὺς ἀδελφούς. 15 ἀλλ' ἔχει ὑπόνοιαν τῆς ἀληθείας ὁ λόγος διὰ τὴν ἀκμὴν τῆς γαμούσης. P.Q.T.

ἐόντα] σοὶ ἐόντα, ἀντίπτωσις. H.

64. ἐθέλουσι] ὀφείλουσι. P.

65. ἐς χορὸν] ἁβροδίαιτοι γὰρ ὄντες οἱ Φαίακες καθ' ἡμέραν ἐχόρευον. H.P.T. 20

χορὸν] τὸ συνέδριον, τὸ ἄθροισμα, τὰ διδασκαλεῖα. V.

μέμηλεν] διὰ φροντίδος εἰσὶν, ἀπὸ τοῦ μέλω τὸ φροντίζω. B.

68. οὔτε τοι] γρ. καὶ, ὅτέ τευ. H.P.

70. εὔκυκλον] εὔτροχον· κύκλοι γὰρ οἱ τροχοί. H. 25

ὑπερτερίῃ ἀραρυῖαν] τῷ πλινθίῳ τῷ ἐπιτιθεμένῳ τῇ ἁμάξῃ πρὸς τὸ πλείονα βάρη φέρειν. B.P.V. τῷ πλινθίῳ τῷ ἐπιτιθεμένῳ ἄνωθεν εἰς τὸ δέχεσθαι τὰ ἐντιθέμενα. E.Q. ὑψηλοτάτῳ, ὃ καὶ πλινθίον καλεῖ-

6. Conf. schol. ad v. 74.

12. τὸ scripsi pro ὁ.

ῥεραπισμένῳ] ῥερυπασμένῳ Q. Chœroboscus p. 555, 24. σημειούμεθα— καὶ τὸ "ῥεραπισμένῳ νώτῳ (νῶ codex Paris.)" παρὰ τῷ Ἀνακρέοντι.

16. ἔχει] ἔσχεν P.

18. ἀντίπτωσις] In P. syllabæ τα in textu appictum τι; et ab alia manu, ἀντίπτωσις.

24. ὅτέ τευ] Corruptum hoc utique ex οὔτέ τευ, quod pro varia lectione erat ad οὔτέ τοι: nam sic in altero quoque hemistichio olim lectum fuisse suspicor e schol. vulg. quod in ed. ant. sic habet: ΟΥΤΤΕ ΤΟΙ. οὔτε τινός. BUTTM.

28. ἐντιθέμενα Buttm. pro ἐπιτιθέμενα.

πλινθίον codex Barnes. πλίνθρον V.

ται. V. ἢ τῷ ὑπεράνω τῆς ἁμάξης τετραγώνῳ ξύλῳ δεχομένῳ τὸ ἐντιθέμενον φορτίον. B.E.Q.V.

71. δμώεσσιν] θεραπαινίσιν. V.

72. ἡμιονείην] γρ. ἡμιόνοιιν. H.

74. ἐσθῆτα φαεινήν] οὐ τὴν τότε οὖσαν φαεινήν· ῥερύπωται γάρ· ἀλλὰ τὴν φύσει καθαράν. E.H.P.V. τὴν φύσει φαεινήν. οἷόν ἐστι καὶ τὸ "φαεινὴν ἀμφὶ σελήνην." τινὲς δὲ τὴν λεπτήν, ὡς καὶ "μάστιγα φαεινήν" (Il. κ, 500.). P.Q.T.

Ἀριστοφάνης "φέρον" γράφει καὶ "κατέθηκαν," οἱ δμῶες. H.P.

76. μήτηρ δ' ἐν κίστῃ ἐτίθει] παρὰ τὸ ἐν αὐτῷ κεῖσθαι καὶ φυλάττεσθαι τὰ βαλλόμενα. οὕτω γὰρ οἱ Ἀττικοὶ καλοῦσι τὸ σκεῦος, εἰς ὃ βάλλουσι τὰ ἐδέσματα. E. ἅπαξ ἐνταῦθα ἡ κίστη. λέγεται δὲ ἡ ἐδεσματοθήκη οὐκ ἄποθεν τοῦ ἐγκεῖσθαί τι ἐν αὐτῇ. P.Q.V.

79. ληκύθῳ] ἀγγείῳ ἐλαιοδόχῳ, τῇ λεγομένῃ λίτρᾳ. P.

ὑγρὸν ἔλαιον] τὸ ὑγροποιόν, ὡς τὸ "χλωρὸν δέος." ἢ διὰ τὸ μὴ ἀποκρυσταλλοῦσθαι τοῦτό φησιν, ἢ διὰ τὸ μὴ ἐῶν ξηρανθῆναι, ἃ καὶ ἀμφότερα θεωροῦνται ἐπὶ τοῦ ὕδατος. E. οὐ τὸ φύσει ὑγρόν, ἀλλὰ τὸ ὑγροποιόν, τὸ μὴ ἐῶν σκληρύνεσθαι, ἢ τὸ χαλαστικὸν τῶν σωμάτων. P.

80. εἴως χυτλώσαιτο] νῦν ἀντὶ τοῦ ὅπως. V. ὅπως, ἵνα. τὸ δὲ χυτλώσασθαι ἐπὶ τοῦ μετὰ λουτροῦ ἀλείψασθαι τίθησιν, οὐχ ἁπλῶς ἐπὶ τοῦ ἀλείψασθαι. τὸ δὲ μετὰ ἐλαίου ὕδωρ χύτλον ἐκάλουν. B.Q.T. μετὰ τὸ λουθῆναι ἀλειφθείη. τοῦτο γὰρ τὸ χυτλοῦν. E. λουσαμένη ἀλείψαιτο. χύτλος γὰρ τὸ μεθ' ὕδατος ἔλαιον. V.

82. μάστιξεν—ἡμιόνοιιν] βραδυτέρα γὰρ ἡ τούτων βάδισις. P.T.

83. αἱ δ' ἄμοτον τανύοντο] ἐκ τοῦ παρακολουθοῦντος ἔτρεχον, ὡς ἐκεῖ "οἱ δὲ πανημέριοι σεῖον ζυγόν" (Od. γ, 486.). B.P. ἄμοτον δὲ γίνεται ἐκ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ μότος τὸ μοτάριον.

4. ἡμιόνοιιν Porsonus. ἡμιονσι H. Cramerus "ἡμιονοίην potius credo scriptum in H."

5. ῥερύπωται] ἐρρύπωτο E.V.

6. ἀλλὰ—καθαράν om. P.

9. φέρον] In textu P. verbo φέρειν superscriptum etiam ον. In H. φέρον a m. pr. et κατέθηκαν a correctore. Videtur Aristophani vox κούρῃ fuisse pro dativo. Sed oporteret potius κούρης. BUTTM. κοῦραι legisse videtur Nauckio Ar. p. 39.

12. λέγεται—] Excerpsit hæc Eustathius p. 1552, 19.

13. αὐτῇ] τουτέστιν, ἔοικεν ἡ λέξις ἐτυμολογεῖσθαι παρὰ τὸ κεῖσθαι, ut monet Eustath.

16. ἀποκρυσταλλοῦσθαι] Scribebatur simplici λ.

ἐῶν Buttm. pro εὖ.

26. ἐκ τοῦ παρακολουθοῦντος] Vid. ad μ, 172.

ἄμοτον γὰρ τὸ ὑγιὲς τὸ μὴ δεχόμενον μότον. ὅθεν καὶ ἄμοτον τανύοντο ἀντὶ τοῦ ὑγιῶς ἔτρεχον. B. ἀπλήρωτον ἔτρεχον, συνεχῶς ἐφέροντο. E. ἀπλήρωτον, ἀκόρεστον. P.

86. ἔνθ' ἤτοι] σημειωτέον πανταχοῦ τὸ ἤτοι ἀντὶ τοῦ μέν, τὸ δὲ ἀτάρ ἀντὶ τοῦ δή. H. τὸ ἤτοι ἀντὶ τοῦ μέν. Q.

πλυνοὶ ἦσαν—καλὸν ὑπεκπρορέει] σημειωτέον τὸ ἀσύντακτον τῶν χρόνων. Q. σημειωτέον τὴν ἐναλλαγὴν τῶν χρόνων, οὗ μὲν ἦσαν, οὗ δὲ ῥέει. πρὸς ὃ ἡ διπλῆ. P.

ἐπηετανοί] πολλοὶ, συνεχεῖς, ὁλοχρόνιοι. E.

87. καλὸν ὑπεκπρορέει] ἡ ὑπό δηλοῖ τὸ εἰς βάθος. B.E. ὑπὸ τοῦ ποταμοῦ εἰς τὸ ἔμπροσθεν πρὸς τοὺς πυέλους ῥεῖ. B.E.H.P.

ῥυπόωντα] γρ. ῥυπόεντα. P.

88. ἡ ἀνταπόδοσις, ἔνθ' αἴγ' ἡμιόνους μὲν, τὰ δὲ ἄλλα διὰ μέσου. P.

ὑπεκπροέλυσαν] ἡ μὲν ὑπό τὴν ἀπόζευξιν δηλοῖ, ἡ δὲ πρό τὴν εἰς τοὔμπροσθεν ἔλασιν τῶν ἡμιόνων. B.H.P.V.

ἀπήνης] γρ. ἁμάξης. H.

89. παρὰ Ἀρίσταρχος ἀναστρέφει, τοῖς κυριωτέροις συντάσσων τὰς προθέσεις. P.

90. ἄγρωστιν] εἶδος βοτάνης, ὅπερ ἐστὶ πόα χορτώδης. V. διουρητικὴ δέ ἐστιν. P.

91. ἐσφόρεον μέλαν ὕδωρ] εἰς τὸ ὕδωρ ἔφερον τὰ ἱμάτια. B.E.P.

92. βόθροισι] τοῖς πλυνοῖς, ταῖς δεξαμεναῖς. B.Q.

θοῶς] βέλτιον τοῖς ἡγουμένοις συναπτέον. P.

93. κάθηράν τε ῥύπα πάντα] κάθηραν ὡς ἤγειραν. τὸ δὲ ῥύπα οἱ μὲν αἰτιατικὴν ἐν μεταπλασμῷ φασιν, οἱ δὲ ἀπὸ τοῦ ῥύπον. βαρύνεται δὲ ὡς τὰ λύχνα καὶ τὰ δίφρα. B.P.Q.

4. σημειωτέον—] Hoc scholium his verbis itidem est in P. sed sine lemmate, et e regione fere versuum 91. 92. ut videri possit spectare aoristum ἕλοντο junctum imperfectis. Sed mire permista sunt in hoc codice et hac ipsa pagina scholia. BUTTM.

7. οὗ μὲν—οὗ δὲ—ὃ] οὐ μὲν—οὐδὲ—ὃν P.

10. ὑπὸ] τὸ δὲ ὑπεκπρορέει ὑπὸ H.

11. τοὺς] Immo τάς.

15. ὑπό H.P.V. ὑπέκ B.

πρό P. πρός ceteri.

17. γρ. ἁμάξης] Est glossema.

18. ἀναστρέφει] Regulam exhibet cur anastrophen admittat hic in voce πάρα Aristarchus, nimirum quoniam τὸ κυριώτερον (hic ποταμόν) præcedat. BUTTM.

22. ἔφερον] συνέφερον P.

26. ῥύπον] ῥύπον. τὰ H.P. ῥύποντα B.Q.

94. 95. ὅπου κατὰ τὴν χέρσον λάϊγγας ἀπέπλυνεν ἡ θάλασσα. P.

95. λάϊγγας] τὰ μικρὰ λιθάρια ἢ τὰς μικρὰς ψήφους. V. λάϊγγάς φησι τὰ μικρὰ λιθίδια, ἀπὸ τοῦ λάας ὁ μέγας λίθος. B.

ἀποπλύνεσκε] τὸ ἀποπλύνεσκεν οὐ πρόσρηξίν τινα κύματος, ἀλλὰ πραεῖαν ἐπίκλυσιν ἐνεδείξατο. P.Q. 5

γρ. ἀποπτύνεσκε, ἤγουν ἀπέπτυε. Vind.

ἀποπτύεσκε] γράφεται, ἀποπλύνεσκε. B. ἀποπτύεσκε] ἀπέρριπτεν. V.

98. ὅτι καὶ τὰ τοιαῦτα τηρεῖ. τὸ μὲν γὰρ ἐν ἡλίῳ ξηρᾶναι τερσῆναι λέγει, τὸ δὲ ἐν ἀνέμῳ ψῦξαι "τοὶ δ' ἱδρῶ ἀπεψύχοντο χιτώ- 10 νων" (Il. λ, 621.). P.

100. ταὶ δ' ἄρ] πᾶσαι διὰ τοῦ δ. H.P.

101. τῇσι δὲ Ναυσικάα] μεταβαλὼν τὸ "σφαίρῃ ταὶ δ' ἄρ' ἔπαιζον" εἶπε "τῇσι δὲ Ναυσικάα λευκώλενος ἤρχετο μολπῆς," πᾶσαν παιδιὰν μολπὴν λέγων. οἱ δὲ νεώτεροι τὴν ᾠδήν. ὅτι δὲ οὐκ 15 ᾔδεν ἡ Ναυσικάα, ἀλλ' ἐσφαίριζε, δηλοῖ τὸ "σφαῖραν ἔπειτ' ἔρριψε μετ' ἀμφίπολον βασίλεια." B.E.H.P.Q.

μολπῆς] τῆς παιδιᾶς. ὡς ἐπὶ τοῦ "κυνῶν μέλπηθρα γενέσθαι" καὶ "δηΐῳ μέλπεσθαι Ἄρηϊ" (Il. η, 241.). P.

102. κατὰ πάντα ἀπαράλλακτος ἡ εἰκών. P. 20

κατ' οὔρεος] γρ. οὔρεα, ὅπερ ἄμεινον. H.P.

103. ἢ κατὰ Τηΰγετον] ἀπὸ Ταϋγέτης τῆς Ἄτλαντος, ἧς καὶ Διὸς Λακεδαίμων. Ἐρύμανθος δὲ ὄρος Ἀρκαδίας, οὗ πολλοὶ σύες καὶ ἔλαφοι γενέσθαι παραδέδονται. B.P.Q.

οἱ γὰρ τόποι οὗτοι πλεονάζουσι κάπροις καὶ ἐλάφοις. οὐκ εἶπε δὲ 25 λέουσι, ἐπεὶ οὐ γεννᾶται ἐνταῦθα τὰ ζῷα ταῦτα, ὡς Ἀριστοτέλης

9. ἐν ἡλίῳ ξ. correxi pro ἐνῆν ὡς ξ. Quanquam nescio qui factum sit, ut dicatur poeta uti hic verbo ξηρᾶναι: nisi forte τερσῆναι et ξηρᾶναι nota erat synonymia. Schol. V. τερσήμεναι· ξηρανθῆναι. BUTTM. Addidi τερσῆναι post ξηρᾶναι cum Lobeck. Rhemat. p. 109. Conf. schol. Il. λ, 621.

13. ταὶ δ' ἄρ'] ταί τ' ἄρ' H.P. Ceterum ratio grammatica solum ταὶ δέ tuetur, ut δέ sit notum illud in apodosi. Contra τέ locum non habet, quoniam neque copulat hic, neque ταί hic est relativum, sed demonstrativum, cui pleonasticum τε adhærere non solet. BUTTM.

18. 19. Cum hoc scholio comparetur p. 174, 3. et Apollon. Lex. s. v. μέλπεσθαι.

18. γενέσθαι] Il. ν, 233. ubi est γένοιτο, et ρ, 255. σ, 179. ubi est κυσίν. BUTTM.

21. ὅπερ ἄμεινον om. P.

22. ἀπὸ] γράφεται ἀπὸ excusum in Maii editione.

26. Ἀριστοτέλης] H. A. 6, 31. 8, 28. Ælian. N. A. 3, 27. Quæ

μαρτυρεῖ. [Ἐν μὲν τῷ "λίην φύλλοισιν ἐοικότες ἢ ψαμάθοισιν" (Il. β, 800.) ἐπίτασίς ἐστι κατὰ τὸ ἐπενηνεγμένον τοῖς φύλλοις τοῦ πλήθους τῶν ψαμάθων, ἐν δὲ τῷ περὶ Κικόνων ῥηθέντι "ἦλθον ἔπειθ' ὅσα φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ" (Od. ι, 51.) δόξειειν ἂν ἐλάττωσις εἶναι ἐκ τοῦ ἐπαγομένου. ἐλάττω γὰρ τὰ ἄνθη τῶν φύλλων καὶ τῆς ψάμμου. ἀλλὰ τὰ μὲν φύλλα παρίστησι τὸ πλῆθος, τὰ δὲ ἄνθη τῇ καθοπλίσει καὶ τῇ ἄλλῃ ἀμφιέσει τῶν Θρᾳκῶν μάλιστα, ὧν εἰσιν οἱ Κίκονες, ταῖς χροιαῖς ποικίλλοντες τὴν ἀμφίεσιν.] P.Q.

Τηΰγετον περιμήκετον] ὄρος τῆς Λακωνικῆς ὑψηλὸν μέγιστον. E.Q.

104. Ἐρύμανθον] ὄρος Ἀρκαδίας καὶ ποταμὸς, ἔνθα ὁ Ἐρυμάνθιος κάπρος. ἐν τούτοις δὲ λέων οὐ γίνεται, ἀλλὰ πολλοὶ σύες καὶ ἔλαφοι. E.V.

106. ἀγρονόμοι] παροξυτόνως αἱ ἐν ἀγρῷ νέμουσαι· οὐ γὰρ νεμόμεναι· τινὲς δὲ ἀγρόνομοι λέγουσι. H.P.Q. αἱ ἐπὶ τῶν ἀγρῶν νεμόμεναι, ἢ ἄγραν νέμουσαι. E.V.

Μεγακλείδης "ἀγρόμεναι παίζουσιν ἀνὰ δρία παιπαλόεντα." H.P.

γέγηθε δέ τε φρένα Λητώ] ἡ Λητὼ ἀλληγορεῖται εἰς τὴν νύκτα. καὶ λοιπὸν λέγεται μήτηρ τῆς Ἀρτέμιδος, ἢ τῆς σελήνης, καὶ τοῦ Ἀπόλλωνος, ἤγουν τοῦ ἡλίου. E.

108. ῥεῖά τε] οὕτως διὰ τοῦ τε αἱ Ἀριστάρχειοι καὶ σχεδὸν πᾶσαι. H.P.

116. ἀμφιπόλου μὲν ἅμαρτε, βαθείῃ δ' ἔμβαλε δίνῃ] τῶν διαβεβοημένων ἐστὶν ὁ τόπος ἐπὶ συντομίᾳ. οὐδὲν γὰρ ἔχει περιττὸν, ἀλλὰ καὶ τὰ ἐπίθετα χρειώδη. τὸ μὲν γὰρ βαθείῃ ὑπὲρ τοῦ βοῆσαι τὰς παρθένους, ὡς ἂν οὐ παρὰ τὴν ὄχθην τῆς σφαίρας ἐμπεσούσης, ὅθεν ῥᾴδιον ἦν ἐξελέσθαι, ἀλλ' εἰς μέσον τὸ βάθος. τὸ δὲ "μακρὸν ἄϋσαν" πιθανὸν εἰς τὸ ἀνεγερθῆναι τὸν Ὀδυσσέα. H.P.Q.

δίνῃ] τῇ τῶν ὑδάτων συστροφῇ. Q.V.

117. ὁ δ' ἔγρετο δῖος Ὀδυσσεύς] ἐπιτηδείως ἀνίστησιν Ὀδυσσέα,

autem abhinc in hoc scholio leguntur in P.Q. quomodo huc venerint divinare nequeo. Spectant ad ι, 51. ubi eadem fere repetita invenies et iterum quidem e Q. BUTTM.

12. ἀλλὰ—ἔλαφοι om. V.

15. λέγουσι] νέμουσι P. et altero superscripto H.

25. τὸ—βαθείῃ Buttm. τὸ—βάθει H.T. τῷ—βάθει Q.

26. οὐ Buttm. οὖν P.Q.

28. ἄϋσαν] ἄϋσαι H.

ὁπότε οὔτε λυπήσειν ἔμελλεν ἐπιτηδείως ἐχούσαις ἐπιφορᾷ, οὔτε ἐνοχλήσειν διακόψας τὴν παιδιάν, λέλυται γὰρ ἡ παιδιὰ τυχηρῶς. P.Q.

120. ἦ ῥ' οἵγ'] ὡς διαπορητικὸν περισπᾶται. P.

121. θεουδής] θεοειδὴς, θεοῖς ὅμοιος. ἢ θεοαδὴς, ὁ θεοῖς ἀρέσκων, ἢ θεοῦ ἔχων αὐδήν. V. θεοδεὴς, ἢ δεισιδαίμων. ἢ θεοαδὴς παρὰ τὸ ἁδεῖν. P. θεοσεβής. Gl. P.

122. οὐκ εἶπε, θήλεια. P.

ἀϋτμή] νῦν ἡ φωνή. V.

ἀϋτή] ἢ ἀϋτμή. νῦν φωνή. P.

123. νυμφάων, αἳ ἔχουσι] ἐπεὶ γὰρ ἐν ἐρημίᾳ ἐστὶν, ἧκεν ἐπὶ ταύτην τὴν ὑπόνοιαν ὅτι ὄντως νύμφαι εἰσίν. εἶτα μεταβαίνει, "ἦ νύ που ἀνθρώπων εἰμὶ σχεδὸν," εἰ μὴ νύμφαι εἰσίν. E.H.P.

124. πείσεα ποιήεντα] τοὺς διύγρους τόπους, ἢ μᾶλλον τὰ δάση ἀπὸ τοῦ τὴν πίσσαν ποιοῦντος ξύλου, ἤτοι τῆς πεύκης. B. λειμῶνας ἢ ὑγρώδεις τόπους ἐξ ὧν ἔστι πιεῖν, ἢ παρὰ τὸ πίσαι, ὅ ἐστι ποτίσαι· ἢ χωρία πόαν ἔχοντα. E.Q.

πίσεα] καὶ πείσεα, ὅτι ἐξηγήσαντο πείσεα πόαν ἔχοντα χωρία. H.

125. ἦ νύ που ἀνθρώπων εἰμὶ σχεδόν] εἰ μὴ νύμφαι εἰσίν. διαπορητικὸς ὁ ῆ, οὐ βεβαιωτικός. P.Q. ὁ ῆ περισπᾶται, τὸ δὲ εἰμί ἐγκλίνεται σημαῖνον τὸ ὑπάρχω. P.

αὐδηέντων] ἐνάρθρῳ φωνῇ χρωμένων, ἢ φιλανθρώπων καὶ εἰς ὅμιλον ἐρχομένων εὐχερῶς. B.E.P.Q. οἱ γὰρ κακοὶ καὶ βάρβαροι οὐδ' εἰς ὅμιλον ἔρχονται. B.E.Q. ἐμφώνων, ἐνάρθρῳ φωνῇ χρωμένων. V.

ὥσπερ ὅταν λέγῃ κατὰ θνητῶν ἀνθρώπων, ἀντιδιαστέλλων πρὸς τοὺς θεοὺς, λέγει ὅτι ἐκεῖνοι ἀθάνατοι, οὕτω καὶ ὅταν λέγῃ "ἦ νύ που ἀνθρώπων σχεδὸν εἰμὶ αὐδηέντων," ἀντιδιαστέλλει πρὸς τοὺς θεοὺς, ὅτι οἱ θεοὶ αὐδῇ τῇ αὐτῇ οὐ χρῶνται. ὥσπερ καὶ ἐπὶ τῆς Λευκοθέας, "ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα" (ε, 334.), καὶ θνητῇ αὐδῇ χρωμένη, καθὰ καὶ οἱ βροτοί. καὶ τὸ "αὐδήεντα δ' ἔθηκε θεα λευκώλενος Ἥρη"

6. θεοδεὴς] θεοδαιὴς P. Manifestum est scripsisse hunc grammaticum θεοδεής; et sic unicus hic est locus qui sincerum exhibet hujus vocis etymon, quod demonstravi in Lexil. I. p. 171. BUTTM. In H. θεοδαιὴς, δεισιδαίμων, ἢ θεοαδής.

11. ἐρημίᾳ] ἐρημίαις H.

19. εἰ μὴ νύμφαι εἰσίν] Sunt ultima verba scholii ad 123. Nam in P. continuatur illud usque ad βεβαιωτικός. BUTTM.

20. ὁ ῆ Buttm. pro εἴη.

24. ὅμιλον] ὁμιλίαν P.

(Il. τ. 407.), οὐκ ἔστι φωνὴν ἔχοντα, ἀλλ' ἀνθρωπίνως φθεγγόμενον, τουτέστι τῇ αὐτῇ ὀπὶ χρώμενον, οἵᾳ δὴ καὶ οἱ λοιποὶ ἄνθρωποι. καὶ τὸ "Κίρκη ἐϋπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα" σημαίνει ἀνθρωπιστὶ φθεγγομένη, οὐχ ὡς θεός. διὰ σημείων γὰρ καὶ ὀνείρων καὶ ἱερείων καὶ οἰωνῶν καὶ θυσιῶν, οὐκ αὐδῆς, φθέγγονται οἱ θεοί. τὸ δὲ "οἱ δ' αἰεὶ βούλοντο θεοὶ μεμνῆσθαι ἐφετμέων" (Od. δ, 353.), τῶν θεοπροπιῶν λέγει. ἡ δὲ Κίρκη καλὸν ἀοιδιάει, ὡς ἄνθρωπος δηλονότι. Q.

127. ὑπεδύσατο] ὑπεξῆλθεν. V. ἀντὶ τοῦ ἀνέδυ, ὡς τὸ "αἰθυίῃ δ' εἰκυῖα ποτῇ ἀνεδύσατο λίμνης" (ε, 337.). P.

128. ὕλης πτόρθον] τὸ ἑξῆς, πτόρθον, ὅ ἐστι κλάδον, φύλλων. B. ὅπως σκεπάσειεν ὁ πτόρθος τὰ ἐν τῷ σώματι αἰδοῖα τοῦ ἀνδρός. B.T.

130. βῆ δ' ἴμεν ὥστε λέων] πρὸς τὴν ὑπομονὴν ἡ εἰκών, ὅτι πᾶσα ἀνάγκη ἐγένετο τῷ Ὀδυσσεῖ ἐξελθεῖν, ὡς καὶ τῷ λέοντι. P.Q.T.

131. εἶσ' ὑόμενος] ἐκ πλήρους τὸ εἶσι αἱ Ἀριστάρχου. H.P.

ὑόμενος καὶ ἀήμενος] βρεχόμενος καὶ ὑπὸ ἀνέμου καταπνεόμενος. B.E.

ὄσσε δαίεται] πυρὶ τοὺς ὀφθαλμοὺς ὁμοίους ἔχει. B.

132. Ῥιανὸς, αὐτὰρ βουσί. P.

133. ἀγροτέρας ἐλάφους] τὰς τοῖς ἀγροῖς βοσκομένας· ἢ τὰς ἀγηροτέρας· πολυχρόνιον γὰρ τὸ ζῷον. P.Q.T.

134. πυκινὸν δόμον] τὸν ἠσφαλισμένον ὑπὸ φυλάκων. P.Q.T. ὡς καὶ ῥινοῖσι πυκινὴν ἀσπίδα (Il. ν, 804.). P.

137. σμερδαλέος] πᾶσα μὲν γὰρ νεότης δι' ἀπειρίαν ἔμφοβος, ἐξαιρέτως δὲ ἡ θήλεια. μᾶλλον δὲ εἰκὸς ἦν τὰς ἐν τρυφῇ τεθραμμένας διὰ τὸ ἄηθες καταπλαγῆναι. P.Q.T.

λευγαλέος, κακῶς. Ζηνόδοτος δὲ, ἀργαλέος, κακῶς. H.P.

138. χωρὶς τοῦ ἰῶτα τὸ ἄλλη. P.

ἐπ' ἠϊόνας προὐχούσας] προβεβλημένας, προεχομένας, ἤτοι πρὸς τὰ ὑψηλότερα μέρη τῶν ὀρῶν. B.

141. στῆ δ' ἄντα σχομένη] ἐξ ἐναντίας ἐπισχεθεῖσα· οἱ δὲ λεί-

4. διὰ σημείων —] Conf. schol. ε, 334.

10. ὅπως T. ὅτι B.

14. ἐκ πλήρους τὸ εἶσι (εἰσιν H. εἰσίν P.)] Hoc dicit, εἶσι in exemplaribus Aristarchi sine elisione scribi. Sic in schol. Il. ν, 407. ad κανόνεσσ' ἀραρυῖαν annotatum ἐκ πλήρους αἱ Ἀριστάρχου κανόνεσσι. De qua consuetudine vid. Lehrs. Quæst. Epic. p. 49.

19. τὰς—βοσκομένας om. Q.T.

ἢ τὰς] τινὲς T. ἢ om. Q.

23. μὲν om. T.

25. ἄηθες Buttm. ex Eustathio. ἄνθος P.Q.T.

πειν φασὶ τὰς χεῖρας, ἢ τὸ κρήδεμνον. τινὲς δὲ περικαλυψαμένη. Η. ἀμφίβολος ἡ στιγμὴ καὶ ἡ διάνοια. ἢ γὰρ ἔστη ἐπισχοῦσα ἑαυτὴν τῆς φυγῆς· καθ' ἣν διάνοιαν χωριστέον ἑκάτερον· οἱ δὲ λείπειν φασὶ τὰς χεῖρας, ἵν' ᾖ παραβαλλομένη τὰς χεῖρας ἐπὶ τὸ κρήδεμνον. οἱ δέ φασι τὸ κρήδεμνον λείπειν, τουτέστι περικαλυψαμένη ὑπ' αἰδοῦς. 5 P.Q. ἄντα σχομένη] νῦν ἐξ ἐναντίας ἀνασχομένη καὶ μείνασα. V.

142. τὸ ἑξῆς, ἢ γούνων λαβὼν λίσσοιτο. P.T.

143. αὔτως] οὕτως ὡς ἔχει σχήματος. P.

144. περιττὸς ὁ στίχος. οὐ γὰρ περὶ τῆς διανοίας αὐτῆς διστάζει, ἀλλὰ πῶς παρακαλέσει, πλησίον σταίη, ἢ ἀφεστηκὼς αὐτῆς. 10 καὶ Ἀθηνοκλῆς δὲ ὑπώπτευσε τὸν στίχον. H.P.

148. αὐτίκα μειλίχιον καὶ κερδαλέον] πανοῦργον, κέρδος αὐτῷ φέρον. καὶ ἄλλως μὲν ὁ ποιητὴς . . . . ἐπισφαλεῖς αἱ τοιαῦται προσρήσεις, ἀλλ' ὅμως Ὁμήρῳ τετόλμηται. προστίθησι δὲ τῷ ἀκροατῇ κανόνα τῶν εἰρησομένων λόγων. εἰσόμεθα δὲ εἰ κεκράτηκε τῆς ἐπαγ- 15 γελίας. H.P.Q.

149. γουνοῦμαί σε, ἄνασσα] τὸ μὲν ἅπτεσθαι τῶν γονάτων παρῃτήσατο. ὅπερ δὲ οὐκ ἔπραξε τῷ ἔργῳ, τοῦτο τῷ λόγῳ προβάλλεται φανερὰν καθιστὰς τὴν αἰτίαν δι' ἣν ἅψασθαι παρῃτήσατο. καὶ τὸ μὲν ἄντικρυς ὡς θεῷ διαλέγεσθαι κολακείας ὑποψίαν ἐμποιήσειν 20 ἔμελλεν, ἐπιδιστάζων δὲ ἀξιοπιστότερον τὸν λόγον καθίστησιν, ὡς ἂν καθελκόμενος ὑπὸ τῆς δόξης. καλῶς δὲ καὶ τῇ τάξει· ἐπὶ πρώτην γὰρ ἧκε τὴν τῆς θεότητος ὑπόνοιαν, ὡς ἐπὶ τοῦτο μᾶλλον ῥέπων. H.Q.

τὸν ῆ ὁ Ἀσκαλωνίτης περισπᾷ ἐρωτηματικὸν νομίζων· ὃ καὶ χα- 25 ριέστερον. οἱ δὲ ἐνέκλιναν ὡς εἰ ἔλεγεν, εἴτε θεὸς εἴτε ἄνθρωπος. P.

152. εἶδός τε μέγεθός τε] ἐκ τριῶν πεποίηται τὸν ἔπαινον, κάλλους, μεγέθους, εὐεξίας σώματος. φυὴ γάρ ἐστιν ἡ ἐκ πάντων μελῶν ἀναλογία· "φυήν γε μὲν οὐ κακός ἐστι μηρούς τε κνήμας τε" (Od. θ, 134.). P.Q. 30

3. οἱ δὲ] Sic Heliodorus ap. Apollon. Lex. s. v. στῆ.

13. ὁ ποιητὴς . . .] Lacuna est in H.P. et fortasse in Q, de quo tacet Maius.

προσρήσεις Buttm. pro προρρήσεις.

20. ἐμποιήσειν H. ποιήσειν Q.

21. ἐπιδιστάζων Buttm. pro ἐπιδιστάζειν.

22. καλῶς δὲ καὶ τῇ τάξει] Vid. ad δ, 720.

26. ἐνέκλιναν] Observandus hic usus de vocula consopito acuto. Vid. Lexil. I. 17. not. 21. et 58. §. 7. BUTTM.

29. γε μὲν] γενομένου P.Q.

155. αἰὲν εὐφροσύνῃσι] γρ. ἐν εὐφροσύνῃσι, κακῶς. οὐδέποτε γὰρ Ὅμηρος ἀδιαιρέτως τὴν εὐφροσύνην φησὶ τὸ ὀνοματικόν. τὰ γὰρ ἐπιρρήματα διαφόρως. P.Q.

157. τοιόνδε θάλος] ἐμφαντικῶς ἄγαν καὶ αὐτὸς θαυμάζων. πάντα γὰρ συμπεριέλαβε διὰ τῆς δείξεως. P.Q. 5

χορὸν εἰσοιχνεῦσαν] εἰσερχομένην εἰς χορὸν ἤτοι εἰς συνάθροισιν καὶ ὁμόνοιαν λαοῦ. B.

159. ὅς κέ σ' ἐέδνοισι βρίσας] ἄμεινον ἐγκλίνειν τὴν σε. H. θωπευτικῶς ἄγαν περιμαχητὴν αὐτὴν δείκνυσι. τὸ δ' ἑξῆς, ὅς κέ σε οἶκον ἀγάγηται ἔδνοισι βρίσας τοὺς ἄλλους μνηστῆρας. P.Q. 10

ἔδνοισι] τοῖς πρὸ γάμου δώροις, μνήστροις. V.

βρίσας] πολλὰ βαρύνας. B.

160. οὐ γάρ πω τοιοῦτον ἴδον] ἄλλη εὐπορία ἐπαίνων. νῦν γὰρ μερικὸς ὁ λόγος πρὸς τὸ ὀρθὸν καὶ εὐφυὲς μόνον τοῦ σώματος. χρώμεθα δὲ καὶ ἡμεῖς τῇ εἰκόνι, κλῶνας καὶ στελέχη καλοῦντες τοὺς 15 εὐφυεῖς. H.P.Q.

163. φοίνικος νέον ἔρνος] ἀειθαλὲς φυτὸν αὐξανόμενον. E. λέγει δὲ τὸν ἀναδοθέντα φοίνικα τῇ Λητοῖ, οὗ καὶ ἐφαψαμένη ἀπεκύησε. E.V.

νεωστὶ ἀνερχόμενον. ὅμοιον τῷ "ὅδ' ἀνέδραμε ἔρνεϊ ἶσος" (Il. σ, 20 56.). τὸ δὲ ἀνερχόμενον τήν τε ἤδη ὑπάρχουσαν ἀκμὴν καὶ τὴν ἐλπίδα τῆς ἐσομένης αὐξήσεως ὑποβάλλει. οὐ τὸν ἐπὶ τῇ Λητοῖ ἀναδοθέντα φοίνικά φησιν. B.P.Q. τοιοῦτο δὲ παρέλαβε δένδρον, ὅπερ αὐτὸ ἐξ αὐτοῦ φυσικὴν ἔχει τὴν ὀρθότητα. B.P.

οὔ φημι λέγειν αὐτὸν ἔρνος νέον, ἀλλὰ τὸ νέον τῷ ἀνερχόμενον δεῖ 25 συνάπτειν, ἵν' ᾖ, νέον ἀνερχόμενον, τουτέστι νεωστὶ ἀνερχόμενον, ὡς τὸ "νέον ἡβώωντα" (Il. ι, 446.) ἔστι γὰρ ὅμοιον τῷ "ὁ δ' ἀνέδραμεν

1. οὐδέποτε —] Si probe memoriter calluit suum Homerum hic Grammaticus habuit in suo codice ι, 6. ἢ ὅτ' ἐϋφροσύνη μὲν ἔχῃ ut revera est in H.P. (in Vind. ὅτε) pro ὅταν: tum υ, 8. ubi pro γέλωτα καὶ εὐφροσύνην Eustathius præbuit γέλω τε καὶ εὐφρ. vix nunc dubites quin alii habuerint γέλω καὶ ἐϋφρ. Restat κ, 465. ubi non facile credam scripsisse illos: οὐδέ ποθ' ὑμῖν θυμὸς ἐϋφροσύνῃ sic sine verbo, pro ἐν εὐφρ. BUTTM.

4. ἐμφαντικῶς] ἐμφατικῶς P.

7. ὁμόνοιαν] ὁμιλίαν Buttm.

14. μερικὸς H. μερικῶς P.Q.

18. φοίνικα om. E.

20. νεωστὶ] νέως P.

21. ἀκμὴν om. B.

23. φησιν Buttm. pro φασιν, quod om. B.

ἔρνεϊ ἶσος." πρόσκειται δὲ τῷ νέον τὸ ἀνερχόμενον, ἴσον τῷ ἀνατρέχοντι. τὸ γὰρ ταχέως ἰὸν τρέχει. εἶτα ἐπήγαγεν "ἐπεὶ οὔπω τοῖον ἀνήλυθε," χωρὶς τοῦ νέον. P.Q.

164. ἦλθον γὰρ καὶ κεῖσε, πολὺς δέ μοι ἕσπετο λαός] πιθανῶς δὲ ἐμφαίνει ἑαυτὸν εἶναί τινα τῶν ἐπιφανῶν, ἵνα μὴ δοκῇ φορτηγός τις ἢ κωπηλάτης εἶναι. E.P.Q.V. λέγοι δ' ἂν πολὺν λαὸν οὐ τὸν ἴδιον στόλον, ἀλλὰ τὸν Ἑλληνικόν, ὅτ' ἀφηγούμενος εἰς Δῆλον ἦλθε Μενέλαος σὺν Ὀδυσσεῖ ἐπὶ τὰς Ἀνίου θυγατέρας, αἳ καὶ Οἰνότροποι ἐκαλοῦντο. ἡ δὲ ἱστορία καὶ παρὰ Σιμωνίδῃ ἐν ταῖς κατευχαῖς. E. P.Q.

ἕσπετο] γράφεται, ἕπλετο. E.

165. ἦ δὴ μέλλεν] ὅτι οὐκ οἶδεν ὁ ποιητὴς τὸ μέλλεν· Ἀττικῶν γάρ ἐστι τῶν μεταγενεστέρων. P.

167. μετὰ τὸ δήν διασταλτέον. ἐπὶ πολὺ γάρ φησι τεθαυμακέναι τὸ φυτόν. οὕτως ὁμοίως ὥσπερ σὲ θαυμάζω. P.

ἐκ δόρυ γαίης] σημείωσαι ὅτι καὶ τὸ δένδρον δόρυ καλεῖ. E.

168. ὥς σε, γύναι, ἄγαμαι] σημειοῦνταί τινες ὅτι τὸ μὲν ἄγαμαι ἀντὶ τοῦ θαυμάζω, τὸ δὲ τέθηπα ἀντὶ τοῦ ἐκπέπληγμαι. P.Q.V.

170. χθιζὸς ἐεικοστῷ] ἐπ' ἄλλο εἶδος μεταβαίνει εἰς ἔλεον κινῶν τὴν παρθένον. καὶ τὸ εἰκὸς τῷ τεχνικῷ. τὸ μὲν γὰρ τὰς δύο ἡμέρας τοῦ ναυαγίου εἰπεῖν ἧττον περιπαθὲς, συλλαβὼν δὲ τῶν ἡμερῶν τὸν ἀριθμὸν ἐν αἷς ἐτέλεσε τὴν συμφορὰν ἐδεινοποίησεν. H.P.Q.

172. κάββαλε δαίμων] τὸ μὲν ἤγαγεν ἀκίνδυνον σημαίνει καταγωγήν, τὸ δὲ κάββαλε τὴν ἀπὸ πνευμάτων δεινῶν ἐξερριμμένην δείκνυσι. H.P.Q.

173. ὄφρ' ἔτι που καὶ τῇδε πάθω] διὰ τούτου ἐμφαίνει ὡς καὶ πρόσθεν πεπονθώς. ἅμα δὲ καὶ τὸ ἔθος τῶν δυστυχούντων διαφυλάττει. P.Q. ὑπὸ γὰρ τῶν κατασχόντων κακῶν ἀπίστως πρὸς τὸ μέλλον ἔχει, καὶ τὴν ἀκούουσαν ἐπάγεται πρὸς τὸν ἔλεον. P.

1. τὸ ἀνερχόμενον] Q. qui supra omiserat verba τουτέστι νεωστὶ ἀνερχόμενον, hic inserit: ἵν' ᾖ τὸ νεωστὶ ἀνερχ.

6. λέγοι correxi pro λέγει.

8. Ἀνίου] αἰνείου H. De Anio et Œnotropis dixit Meinek. Anal. Alex. p. 16. 17.

20. τεχνικῷ] τε χρονικῷ Q. Verba non integra.

23. κάββαλε] κάμβαλε hic et infra H. Sic in textu etiam P., in schol. κάβαλλε.

ἤγαγεν] Ex hoc verbo Porsonus collegit a quibusdam ἤγαγε pro κάββαλε lectum fuisse. Frustra, ut monet Buttm.

24. ἐξερριμμένην] ἐξερριμμένων H.

25. δείκνυσι] κίνησιν δείκνυσι Q.

οὐ γὰρ οἴω παύσασθαι] εἰς τὸ μετέπειτα πρὸ τοῦ ἀφικέσθαι με εἰς Ἰθάκην. E.

174. τελέουσι πάροιθεν] τελέουσιν εἰς τὸ μετέπειτα. B.P.T.

175. ἐλέαιρε] ὁ μὲν ἔλεος τοῖς δυστυχοῦσι κοινὸς παρὰ πάντων ἀνθρώπων· ὁ δὲ αἰσθόμενος ἑαυτῷ μόνῳ τὴν χάριν ὀφειλομένην τῆς ἐπικουρίας ἑτοιμότερον πρὸς τὸν ἔλεον ῥέπει. H.P.Q.

176. ἱκόμην] ἱκέτευσα, ἀφικόμην. V.

178. δὸς δὲ ῥάκος] ὅλον τὸν λόγον τοῦ Ὀδυσσέως ἀκόλουθον τῇ ὑποσχέσει πεποίηκεν Ὅμηρος, μειλίχιον, ὅτι θεραπεύσας εἰς οἶκτον ἐκίνησε, κερδαλέον δέ, ὅτι μικρὰ μὲν ᾔτει, μεγάλα δὲ ἐδήλου. καλῶς δὲ καὶ περὶ τῶν τροφῶν ἀπεσιώπησεν. P.Q. αὔξει διὰ τοῦτο τὸν ἔλεον. H.Q.

179. εἴτι που εἴλυμα σπείρων] περικάλυμμα, ἀπὸ τοῦ εἰλύω τὸ καλύπτω. καὶ ἔστιν ὁ λόγος τοιοῦτος, εἴ πού σοι εὐτελὲς ῥάκιον τὴν ἄλλην ἐσθῆτα φρουρεῖν προβέβλητο, τοῦτο δός μοι ἵνα ἀμπίσχωμαι. E. ἐάν που δέμα τι τῶν ἱματίων τῶν καλῶν τούτων ἔσχες. B. εἴλυμα] ἐνείλυμα. Q.

180. σοὶ δὲ θεοὶ τόσα δοῖεν] εἰκότως τῇ εὐχῇ κέχρηται. οἱ γὰρ παραυτίκα χάριν ἀποδοῦναι μὴ δυνάμενοι ἐπὶ ταύτην τὴν ἀμοιβὴν καταφεύγουσι. καὶ διὰ μὲν τοῦ "ὅσα φρεσὶ σῇσι μενοινᾷς" αὐτῇ καταλείπει τὴν αἵρεσιν, διὰ δὲ τῶν ἑξῆς, ἃ αὐτὸς αἱρεῖται γενέσθαι αὐτῇ παρὰ θεῶν. E.P.

σοὶ δὲ θεοὶ] ἤτοι στικτέον κατὰ τὸ τέλος τοῦ στίχου, ἵν' ᾖ ἀφ' ἑτέρας ἀρχῆς ἕκαστον τῶν ἑξῆς ἐν κεφαλαίῳ, ἢ μέχρι τοῦ "καὶ οἶκον" στικτέον, τὰ δὲ ἄλλα ἀφ' ἑτέρας ἀρχῆς. P.

181. ἄνδρα τε καὶ οἶκον] συνετῶς Ὀδυσσεὺς ταῦτα συνεύχεται ἃ μόνα διὰ φροντίδος οἴεται εἶναι αὐτῇ. E.V.

ὁμοφροσύνην] γνησίαν φιλίαν. Q.V.

183. ἢ ὅθ' ὁμοφρονέοντε] ἄκρως ἐξέθετο δι' ὧν εὐδαιμονεῖ οἶκος. P.Q.

βραχὺ διασταλτέον ἐπὶ τὸ νοήμασι· σαφέστερον γὰρ οὕτως. H.P.

184. πόλλ' ἄλγεα] ταῦτα ἀφ' ἑτέρας ἀρχῆς. P.

185. χάρματα δ' εὐμενέτῃσι] συγγενέσι, φίλοις, εὐμενῶς διακει-

6. ῥέπει] ῥέπειν H.
21. ἃ αὐτὸς αἱρεῖται] ἃς αὐτὸς αἱτεῖται P.
31. βραχὺ] βραχέως P.

μένοις καὶ εὐνοοῦσιν ἀνὴρ καὶ ἡ γυνή. τὸ δὲ "ἔκλυον αὐτοὶ" ἀφ' ἑτέρας ἀρχῆς. E.Q.

μάλιστα δέ τε κλύον αὐτοί] ἤτοι αἰσθάνονται καὶ αὐτοὶ τῆς ὠφελείας τῆς πρὸς ἀλλήλους καὶ ἀπολαύουσιν. E.P.Q. αἰσθάνονται καὶ αὐτοὶ τῆς ὠφελείας, ἤτοι ὁ πατὴρ καὶ ἡ μήτηρ. B. 5

187. ξεῖν', ἐπεὶ οὔτε κακῷ] ἄλλος τρόπος διαλέξεως. πρὸς μὲν γὰρ τὸν πατέρα ἡπλόϊζεν, ἐνθάδε δὲ ἐπιστρέφει ἑαυτὴν "ξεῖν', ἐπεὶ οὔτε κακῷ." οὐδὲν ἀποδίδωσι τῷ ἐπεί ὁ ποιητής. P.Q.

ἀπὸ κοινοῦ τό, τλῆθι, τοῦ γὰρ Ζεύς. P.

189. ἐσθλοῖς ἠδὲ κακοῖσιν] δύναται καὶ, οἷς ἀναμίγνυσι τοῖς ἀγα- 10 θοῖς τὰ κακὰ, πρὸς ἀξίαν ἑκάστῳ νέμει τὰ κακὰ καὶ τὰ ἀγαθά. P.V. δύναται οὕτως νοεῖσθαι, ἀντὶ τοῦ, μίγνυσι τοῖς ἀγαθοῖς κακὰ, καὶ πρὸς ἀξίαν ἑκάστῳ νέμει τὰ ἀγαθὰ καὶ κακά. ἢ ἀντὶ τοῦ, ἐπὶ τῷ θεῷ ἐστι διανέμειν τοῖς ἀνθρώποις τά τε κακὰ καὶ τὰ ἀγαθὰ, καὶ οὐ πάντως κατ' ἀρετὴν ἢ μοχθηρίαν ἀφικνεῖται ἑκάστοις ἕκαστα. E.Q. 15

193. ταλαπείριον] τὸν ταλαίπωρον, ἤτοι τὸν τηλόθεν πεπερακότα. P.Q. τηλόθεν πεπερακότα, ἢ πειραθέντα καὶ παθόντα πολλά. B.

195. Φαίηκες μὲν τήνδε πόλιν καὶ γαῖαν] ἀποροῦσι πῶς, εἰ ἐν Κερκύρᾳ οἰκοῦσι Φαίηκες, λέγει (204.) "οἰκέομεν δ' ἀπάνευθε πολυκλύστῳ ἐνὶ πόντῳ ἔσχατοι, οὐδέ τις ἄμμι βροτῶν ἐπιμίσγεται 20 ἄλλος." ἐσχάτους εἶπε τῆς Ἑλλάδος. πάντα γὰρ ὡς πρὸς τὴν Ἑλλάδα γράφει. E.T.

197. τοῦ δ' ἐκ Φαιήκων] ἐκ τοῦδε ἀνήρτηται τὰ πράγματα τῶν Φαιάκων, ὅ ἐστιν εἰς τοῦτον. B.E.P.

Φαιήκων ἔχεται κάρτος τε βίη τε] οἱ Φαίακες κατὰ περίφρασιν, 25 ὡς "κρατερὸν μένος Ἀλκινόοιο." P.

200. ἦ μή που] περισπαστέον τὸ ῆ, τὸ δὲ μή ὀξυτονητέον. H.P.

δυσμενέων φάσθ'] Τυραννίων συστέλλει ἀπὸ τοῦ φημὶ, ὁμοίως τῷ "καὶ ἀγγελίην ἀπόφασθε." (Il. ι, 645. s. 649.). τινὲς δὲ ὁμοίως

3. καὶ αὐτοὶ] καθ' ἑαυτοὺς P.
4. αἰσθάνονται—ὠφελείας est etiam in T.
7. ἡπλόϊζεν, ἐνθάδε δὲ ἐ. Buttm. pro ἁπλοΐζειν ἐνθάδε ἐ.
9. ἀπὸ κοινοῦ] Vide ad γ, 104.
10. ἀναμίγνυσι V. ἂν μίγνυσι P.
11. ἑκάστῳ] ἑκάστων V.
13. ἑκάστῳ Buttm. pro ἑκάστων.
15. πάντως Buttm. pro πάντα.
18. ἀποροῦσι—γράφει] Hæc habet etiam T. infra post scholion v. 204. (p. 311, 32.) et præscripto ἄλλως. εἰ—Φαίηκες] οἳ—φαίακες T.
27. περισπαστέον—ὀξυτονητέον] περισπᾶται—ὀξύνεται P.
29. ἀπόφασθε Buttm. pro ἀποφᾶσθε.

τῷ νικᾶσθε, ὡς καὶ ἐπεκράτησεν. H.Q. φάσθε] ὑπολαμβάνετε. Q.V.

201. οὐκ ἔσθ' οὗτος ἀνὴρ διερὸς] ὁ ζῶν, ὡς ἐκ τοῦ ἐναντίου ἀλίβαντες οἱ νεκροί. H. ζῶν ἐρρωμένως καὶ ἰκμάδος μετέχων. τὴν μὲν γὰρ ζωὴν ὑγρότης καὶ θερμασία συνέχει, τὸν δὲ θάνατον ψυχρότης καὶ ξηρασία. ὅθεν καὶ ἀλίβαντες οἱ νεκροὶ λιβάδος μὴ μετέχοντες. P.Q.V.

οὐκ ἔστιν ἄνθρωπος ἐκεῖνος ἄρτι ζῶν, οὐδὲ γεννηθήσεται, ὃς μέλλει τολμῆσαι ἀγαγεῖν εἰς τὴν χώραν ἡμῶν πόλεμον. ἀντὶ τοῦ οὐ μὴ ζήσει ὃς τολμήσει ταῦτα. B.

διερὸς] οὕτως τὸν ζῶντα Ἀρίσταρχος. ὁ δὲ Καλλίστρατος γράφει δυερός, ὁ ἐπίπονος, παρὰ τὴν δύην, ἤτοι κακοπαθητικός. E.H.P.Q.T. βλαπτικὸς, πειρατικὸς, πειρατής. Gl. P.

203. φίλοι ἀθανάτοισιν] λείπει τὸ ἐσμέν. P.

204. πολυκλύστῳ ἐνὶ πόντῳ ἔσχατοι] καὶ μὴν ἐν Κερκύρᾳ οἰκοῦσιν. ἀλλ' ὡς πρὸς τὴν Ἑλλάδα ἡ σύγκρισις, ὡς ὅταν μέγιστον ὄρος εἴπῃ, οὐ μεῖζον Καυκάσου οὐδὲ Τμώλου λέγει καὶ Ἄλπεων, ἀλλὰ τῶν Ἑλληνικῶν. καὶ τὸν Ἀχελῷον οὐ τοῦ Νείλου προκρίνει καὶ τῶν μακρὰν, ἀλλὰ τῶν ἐγγύς. ἔσχατοι οὖν Φαίακες τῶν Ἑλλήνων. καὶ Αἰσχύλος λέγει "ἔστιν πόλις Κάνωβος ἐσχάτη χθονός," οὐ τῆς οἰκουμένης, ἀλλὰ τῆς Αἰγυπτίας. ἀλλὰ καὶ ἡ Ἀπειραίη γρηῦς (Od. η, 8.) ἀπὸ τῆς ἀντικειμένης Ἠπείρου. θαυμαστὸν γὰρ εἰ δούλην τινὰ ἔξω στηλῶν Ἡρακλειῶν ἐμπορευσάμενός τις ἐπώλησε. καὶ τί δεῖ πολλὰ λέγειν, Ὀδυσσέως αὐτοῦ ὁμολογοῦντος ὡς περὶ τὴν Θεσπρωτίαν εἰσὶν οἱ Φαίακες "ὡς ἤδη Ὀδυσῆος ἐγὼ περὶ νόστου ἄκουσα ἀγχοῦ Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμῳ" (ρ, 526.), καὶ πάλιν "ὥς μοι Θεσπρωτῶν βασιλεὺς μυθήσατο Φείδων" (ξ, 315.). τοῦτο δηλοῦν ἐστιν ὅτι γείτων ἐστὶ Φαιάκων ὁ Φείδων ὁ τὰ παρ' αὐτοῖς πρασσόμενα γινώσκων. ἡ Δωδώνη τε οὐ πρόσω, εἰς ἣν ἀπὸ Φαιάκων γενέσθαι αὐτὸν μαντευσόμενον. E.P.Q.T.

ὅτι σαφῶς ἐνταῦθα ἐκτετοπισμένην που καὶ ἐσχάτην τὴν τῶν Φαιάκων χώραν ὑφίσταται, οὐ τὴν Κέρκυραν. P.T.

11. οὕτως] οὕτω δὲ T., in quo præcedunt hæc verba, ἀνιηρὸς (corr. ἀνὴρ ἕτερος) θνητὸς ζῶν οὐδὲ γενήσεται.

τὸν ζῶντα] De hac interpretatione dixit Lehrs. Arist. p. 57. τὸν ζῶντα. καλλίστρατος δὲ γράφει (excidit δυερός) ὅ ἐστιν ἐπίπονος παρὰ τὴν δύην :— T.

12. τὴν δύην] τὸ δύειν E.H.Q.

20. Αἰσχύλος] Prom. 852.

29. ἡ—μαντευσόμενον om.P.

32. ὑφίσταται T. ἀφίσταται P. οὐ Lehrs. l. c. p. 254. pro εἰς.

207. τὸν νῦν] Καλλίστρατος, τῷ μιν. H.

πρὸς γὰρ Διός εἰσιν ἅπαντες] παρὰ Διός εἰσιν, ἀντὶ τοῦ πρόσφυγες Διός εἰσι καὶ οἰκτειρόμενοι παρ' αὐτοῦ πάντες ξεῖνοί τε πτωχοί τε. E.H.P.Q.

208. δόσις ὀλίγη τε φίλη τε] ὀλίγη μὲν τῷ διδόντι, φίλη δὲ τῷ λαμβάνοντι. ἡ γὰρ ἔνδεια καὶ τὸ ὀλίγον φίλον ἡγεῖται. B.E.P. Q.V.

215. δῶκαν δὲ χρυσέῃ] οὐκ ἄρα οὐδὲ Νέστορος θυγάτηρ Τηλέμαχον ἔλουσεν, οὐδὲ Ἑλένη Ὀδυσσέα. νῦν οὖν εἰπούσης τῆς Ναυσικάας, λούσατε ἐν ποταμῷ, οὐχ ὡς παρακούσασαι, ἀλλ' ὡς τούτου ὄντος τοῦ λοῦσαι, τὸ παρασχεῖν τὰ λουτρὰ, παρατιθέασιν ἔλαιον αὐτῷ. P.Q.T.

218. στῆθ' οὕτω] δεικτικῶς, οὕτως ὡς ἔχετε· ὡς κἀν τῷ "Ἥφαιστε, πρόμολ' ὧδε" (Il. σ, 392.). P.M.T.

220. ἦ γὰρ δηρὸν] πολὺς γὰρ καιρός ἐστιν ὅτε οὐκ ἠλειψάμην. B.

221. ἄντην δ' οὐκ ἂν ἔγωγε λοέσσομαι] ταῦτα μάχονται τῷ ὑπὸ παρθένων ποιεῖν λουόμενον. λύοιτο δ' ἂν τῇ λέξει, προσέθηκε γὰρ "μετελθών," οἷον ξένος ὤν. τάχα δ' οὐδ' ὅλως παρθένοι λούουσι. λέγεται γὰρ "τὸν δ' ἐπεὶ οὖν δμῶαι λοῦσαν," ἀλλ' οὐχὶ κοῦραι. καὶ περὶ τῆς Ἥβης γὰρ ἀμφισβητεῖται εἰ παρθένος ἦν. καὶ ἡ Ἑλένη λούοιτ' ἂν Ὀδυσσέα. Q.T.

ἢ περιττεύει τὸ ἄν, ἢ τὸ λοέσσομαι ἀντὶ τοῦ λοεσσαίμην τέτακται. P.

222. μετελθών] ἀντὶ τοῦ ἐπελθών. V.

224. χρόα νίζετο] πρὸς τὴν φράσιν, τὸν χρόα τὴν ἅλμην ἀπενί-

1. μιν Porsonus pro μέν.

2. παρὰ Διός — πτωχοί τε P. ἀντὶ τοῦ πρόσφυγες Διός εἰσιν οἰκτειρόμενοι παρ' αὐτοῦ καὶ ὑπὸ Διὸς πάντες ὑποπτεύοντες ξένοι καὶ πτωχοί ceteri, nisi quod παρὰ Διός ex H. enotavit Porsonus.

17. ὑπὸ παρθένων ποιεῖν λουόμενον] De hac quæstione conf. schol. γ, 464.

19. ξένος ὢν] Majus pro ξένος ὤν reponendum, certe inserendum putabat κούραις. Sed ξένος ὤν est interpretatio verbi μετελθών. Vox οἷον in Mediol. non legitur. BUTTM.

20. τὸν δ' ἐπεὶ —] Aut Il. ω, 587. sed ibi cadaver Hectoris lavatur; aut Od. ρ, 88. sed ibi est τοὺς δ' ἐπεί. BUTTM.

23. τὸ ἄν Buttm. pro τὸ ἄντην.

25. ἐπελθών Buttm. pro ἀπελθών. "Post v. 223. in textu cod. P. desunt omnia usque ad v. 316. quod et indicatum ab ea manu quæ scholia scripsit his verbis: ἐνθάδε λείπ. στίχοι ϟγ'. BUTTM.

26. πρὸς] Pendet ab omisso σημειοῦνται. Vid. not. ad ζ, 2. BUTT.

ζετο, οὐχὶ ἀπὸ τοῦ χροὸς τὴν ἅλμην. Q. νίζετο τὴν ἅλμην ἀπὸ τοῦ χροὸς, ἢ τὸν χρόα ἀπὸ τῆς ἅλμης. B.

ἢ περισσεύει θάτερον, ἢ τὸ χρόα ἐντείνει τὴν ἅλμην. ὅμοιον δέ ἐστι τῷ Ἰλιακῷ (φ, 122.) "οἵ σ' ὠτειλὴν αἷμ' ἀπολιχμήσονται." P.

νίψατο] ἀπεπλύνετο. V.

226. ἁλὸς χνόον] τὸ λεπτότατον τῆς θαλάσσης, ἢ τὴν ἀκαθαρσίαν. E.V.

227. λίπ' ἄλειψεν] λιπαρῷ ἢ λιπαντικῷ ἐλαίῳ ἠλείψατο. V.

228. ἀμφὶ δὲ εἵματα] ἄδηλον ποῦ ἐστιν ἀνταπόδοσις, πότερον εἰς τὸ "τὸν μὲν Ἀθηναίη θῆκε," καὶ ὑποστικτέον εἰς τὸ ἀδμής, ἢ ἀποδοτέον "ἀμφὶ δὲ εἵματα ἕσσατο," τοῦ δέ πλεονάζοντος. Q.

231. οὖλας ἧκε] τὸ οὖλος πολλαχῶς λέγεται. οὖλος ὁ προσηνής. δηλοῖ δὲ καὶ τὸ ὁλόκληρον, καὶ τὴν τῶν τριχῶν διαστροφήν. αἰνίττεται δὲ καὶ τὸν ὀλέθριον, ὡς ἐν Ἰλιάδι (β, 5.) φησὶν "ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή, πέμψαι ἐπ' Ἀτρεΐδην Ἀγαμέμνονα οὖλον ὄνειρον," ἤγουν τὸν ἐπ' ὀλέθρῳ πεμπόμενον. σημαίνει δὲ καὶ τὸν ὑγιῆ, ὥσπερ λέγεται οὖλα τραύματα. σημαίνει δὲ καὶ τὸ ὑγίαινε, ὡς ἐν ἐκείνῳ "οὖλέ τε καὶ μάλα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν" (Od. ω, 402.). E. ἧκε νῦν ἀντὶ τοῦ ἐποίησε. H.

233. δέδαεν καὶ Παλλὰς Ἀθήνη] ἐδίδαξεν. ἐργάνη γὰρ θεός. Q.

234. τέχνην παντοίην] πάντα τὰ μέρη τῆς τέχνης ἢ τῆς χρυσοχοϊκῆς τέχνης. πᾶσαν τὴν κατὰ μέρος ἀκρίβειαν. H.Q.T.

235. ὡς ἄρα τῷ κατέχευε χάριν] παραβολὴ πρὸς τὴν ἐξαλλαγήν, καὶ τὸ καλὸν ὄντα ὀφθῆναι καλλίω· ὥσπερ ὁ ἄργυρος καλὸς ὢν καλλίων ἐστὶ χρυσοῦ περιχυθέντος. καλῶς δὲ οὐκ ἔξωθεν παρέλαβε τὴν ὁμοιότητα, ἀλλ' ἐπεὶ Ἀθηνᾶ ἐστιν ἡ τοῦτο ποιήσασα, τοῖς ἐκείνης δημιουργοῖς πρὸς τὴν εἰκόνα συγκέχρηται. ἢ, ᾗ ἐκεῖνος χρυσὸν ἀργύρῳ, οὕτω καὶ ἡ Ἀθηνᾶ χάριν τῷ Ὀδυσσεῖ. ἦν μὲν γὰρ καλὸς καὶ πρόσθεν, οὐκ ἐφαίνετο δὲ διὰ τὴν κάκωσιν τῆς θαλάσσης, νῦν δὲ ἀπέλαβε τὴν οἰκείαν χάριν. τοῦ μὲν γὰρ εἶναι καλὸν ἡ φύσις αἰτία, τοῦ δὲ δοκεῖν ἡ χάρις. H.Q.

239. κλῦτέ μοι] κλῦτέ μευ, οὕτως. H.

1. τοῦ χροὸς Buttm. pro τοῦ πρός.
3. ἢ περισσεύει Buttm. pro ἀπηρέσκει.
26. ἐκείνης Buttm. ἐκείνοις H. ἐκείνου Q.
27. ἢ, ᾗ Buttm. ἠε H. ἢ Q. χρυσὸν ἀργύρῳ H. χρυσαργύρῳ Q.
28. ἦν μὲν—χάρις] Hæc etiam in T.
29. καὶ om. H.Q.

240. οὐ πάντων ἀέκητι θεῶν] ἀλλ' ἔστι τις δηλονότι θεῶν, ὃς διέσωσεν ἐνθάδε τὸν Ὀδυσσέα. Q.T.

241. οὕτως ἐν μέλλοντι χρόνῳ, ἐπιμίξεται. H.

242. ἀεικέλιος δέατ' εἶναι] τὸ γὰρ παρὰ τὸ καθῆκον ἀεικέλιον λέγεται. τὸ δὲ ἐδέατο ἀντὶ τοῦ ἐδόκει. καὶ γίνεται ἀπὸ τοῦ δέω δεύω, καὶ ἐξ αὐτοῦ δεύσω δέδαμαι ἐδεδάμην ἐδέδατο, καὶ ἐκβολῇ τοῦ ε κατ' Ἴωνας καὶ τοῦ δ, δέατο. E.

δέατο] ἔδοξε. H. ἐδόκει, ἐφαίνετο. T.V.

244. αἴ γὰρ ἐμοὶ τοιόσδε πόσις] εἴθε ὁ τοιοῦτος ὑπάρξειέ μοι ἀνὴρ καλούμενος καὶ ἐνθάδε οἰκῶν καὶ ἀρέσκοι αὐτῷ μένειν ὧδε. τοῦτο δὲ λέγει ἡ Ναυσικάα, ἐπειδὴ οὐκ ἐμνήστευον οἱ Φαίακες ἐξ ἑτέρας γῆς. B.

δοκοῦσιν οἱ λόγοι ἀπρεπεῖς παρθένῳ εἶναι καὶ ἀκόλαστοι. λύουσι δὲ ἐκ τοῦ προσώπου· ὑπόκεινται γὰρ τρυφῶντες οἱ Φαίακες καὶ παντάπασιν ἁβροδίαιτοι. Ἔφορος μέντοι τοὔμπαλιν ἐπαινεῖ τὸν λόγον ὡς ἐξ εὐφυοῦς πρὸς ἀρετὴν ψυχῆς. E.T. Ἔφορος ἐπαινεῖ τὸν λόγον ὡς ἐξ εὐφυοῦς πρὸς ἀρετὴν ψυχῆς. ἐγὼ δὲ τοῦτο πρὸς τὸ ἁβροδίαιτον τῶν Φαιάκων δίδωμι. Q.T.

Καὶ ἄλλως. εἴθε τις ἐκ τῶν Φαιάκων ὅμοιος τῷ Ὀδυσσεῖ ἀνήρ μου εἴη κεκλημένος, ἢ αὐτῷ τῷ Ὀδυσσεῖ ἄδοι ἐνταῦθα μίμνειν, ἵν' ᾖ ὁ καί ἀντὶ τοῦ ἤ, ὡς ἐν τῷ "ἤτοι ὁ μὲν πρώτῃσι καὶ ὑστατίῃσι βόεσσιν αἰὲν ὁμοστιχάει" (Il. ο, 634.). H.Q.T.

αἴ γὰρ ἐμοὶ—ἐνθάδε ναιετάων] ἄμφω μὲν ἀθετεῖ Ἀρίσταρχος, διστάζει δὲ περὶ τοῦ πρώτου, ἐπεὶ καὶ Ἀλκμὰν αὐτὸν μετέβαλε παρθένους λεγούσας εἰσάγων "Ζεῦ πάτερ, αἴ γὰρ ἐμὸς πόσις εἴη." H.Q.

249. ἧσθε] ἀπὸ τοῦ ἔσθω, οὗ ὁ παρατατικὸς ἧσθον. B. ἧσθε] ἥσθιε. κατὰ συγκοπὴν ἀπὸ τοῦ ἐσθίω γίνεται. E.

256. πατρὸς ἐμοῦ] ὅτι ἐν πᾶσι φέρεται, ἐμοῦ, ἀλλ' οὐκ, ἐμεῦ. ὅμως ἐπί τινων ὁ Ζηνόδοτος ἐπὶ τὸ χεῖρον μετατίθησι. H.Q.

ἔνθα σέ φημι] ὅπου φημί σε εἰδησέμεν καὶ γνωσθῆναι τοῖς ἄν-

13. οἱ λ. ἀ.] ἀ. οἱ λ. T.
εἶναι om. E.
19. εἴθε] αἴθε H.
ἐκ τῶν—Ὀδυσσεῖ om. T.
20. ἄδοι—ὁμοστιχάει om. T.
24. μετέβαλε] Probabilius μετέλαβε, *transtulit ad sua*, quod conjecit Lehrs. Aristarch. p. 355. et ad Herodian. p. 125. cui ipsi quoque in verbis ὁ μέντοι Ἴβυκος διέστειλε τὸ μένος ἐν τῷ πρώτῳ σχεδὸν τὸν Ὁμηρικὸν μεταβαλών restituit μεταλαβών.

θρώποις ἐκείνοις ὅσοι εἰσὶν ἄριστοι ἀπὸ πάντων τῶν Φαιάκων. ἢ οὕτως, ὅπου φημί σε γνωρίσειν τοὺς Φαίακας ἐκείνους ὅσοι ἀπὸ πάντων Φαιάκων εἰσὶν ἄριστοι. B.

258. ἀλλὰ μάλ' ὧδ' ἔρδειν] ὅτι ἀντὶ τοῦ προστακτικοῦ τοῦ ἔρδε. τὸ δὲ οὐκ ἀπινύσσειν, οὐκ ἀπίνυτος εἶναι, ὡς καὶ ἐν Ἰλιάδι (ο, 10.) "κῆρ ἀπινύσσων" τὸ κῆρ ἀπίνυτος ὤν. Q.T. πινυτὸς γὰρ ὁ φρόνιμος, ἀπίνυτος δὲ ὁ ἀσύνετος. E.

259. ἐκ παραλλήλου τρεῖς συνδέσμους τέθεικε. τὸ δὲ ἴομεν ἀντὶ τοῦ ἴωμεν. H. δι' ἀγρῶν πορευσόμεθα. T.

261. ἔρχεσθαι] ἀπαρέμφατον ἀντὶ τοῦ προστακτικοῦ τέθεικεν. H. ἔνιοι ἔρχεσθαι. V.

262. τὸ ἑξῆς οὕτως, αὐτὰρ ἐπὴν πόλιος ἐπιβήομεν, ξεῖνε σὺ δ' ὧδ' ἐμέθεν ξυνίει ἔπος, (289.). τὰ δὲ λοιπὰ διὰ μέσου. H.Q.T. καὶ ἄλλως. αὐτὰρ ἐπὴν πόλιος ἐπιβάζομεν, δήεις ἀγλαὸν ἄλσος (291.). οὕτω τὸ ἑξῆς. H.Q.

ἐπιβείομεν] ἐπιβῶμεν, εἰσέλθωμεν. V.

264. λεπτὴ δ' εἰσίθμη] στενή, φησίν, ἐστὶν ἡ δίοδος τοῦ λιμένος· τὸ γὰρ πλῆθος τῶν νηῶν ἐπέχει τὸ πλάτος τῆς διόδου. B.E.Q.T. ἢ ἀπὸ τοῦ εἰσιέναι κατὰ πλεονασμὸν τὸν ἰσθμὸν λέγει. B.H.Q. ἕκαστος γὰρ τῶν Φαιάκων κέκτηται ναῦν εἰς ἣν ἐναυλίζεται. B.H.Q.T. τὸ δὲ εἰσίθμη βαρύνεται ὡς στάθμη. Ἀριστοφάνης δὲ σὺν τῷ σ γράφει ἴσθμη παρὰ τὸν ἰσθμόν. B.H.Q.

τὸ δὲ ἀμφιέλισσαι, ἀμφοτέρωθεν στρεφόμεναι ὑπὸ κωπῶν. B.E.Q.

265. εἰρύαται] εἱλκυσμέναι εἰσὶν, ἢ φυλάττουσιν, ἔνθα ἵστανται αἱ νῆες. E.

4. ὅτι om. Q.

6. ἀπίνυτος T. πινυτὸς Q.

11. ἔνιοι ἔρχεσθαι] In editionibus antiquis hoc scholium non comparet: neque dubium quin ut alia quædam hujus generis ex recentiori sit interpolatione; nimirum ad emendandam corruptelam ἔρχεσθον, quæ in edd. ant. textus obtinebat. Vid. Barnes. BUTTM.

12. 13. τὸ ἑξῆς οὕτως et τὰ δὲ λοιπὰ διὰ μέσου addidi ex T.

13. ἔπος] οὕτως τὸ ἑξῆς addunt H.Q.

17. In T. est καλὸς δὲ λιμὴν: ὥστε δύο λιμένας ἔχειν. τὸ δὲ "νῆες δ' ὁδόν" τὴν δίοδον φησὶ τοῦ λιμένος εἰρύαται, φυλάττουσι τὴν ὁδὸν καὶ ἑλκυσμέναι εἰσὶν ἢ φράττουσι τὴν εἴσοδον. (Hoc ex schol. ad v. 265.)

19. ἕκαστος γὰρ—] Hæc spectant ad v. 265. γὰρ om. B.H.Q.

20. τὸ δὲ εἰσίθμη—ἰσθμόν] In V. est εἰσίθμη, εἴσοδος, ἀπὸ τοῦ εἰσιέναι κατὰ μεταπλασμὸν τὸν ἰσθμὸν λέγει. ubi πλεονασμὸν corrigendum ex scholio B.H.Q. Pleonasmum dicit literæ θῆτα: v. Eustath. p. 1562, 30.

τὸ δὲ ἐπίστιον, ἐποίκιον, σκηνή, νεώριον, ἢ σκάφος, παρὰ τὸ ἱστίον. λέγει δὲ ὅτι ὑπὸ τοῦ πλήθους τῶν νεῶν τῶν νενεωλκημένων στενή ἐστιν εἴσοδος. E.T.V.

Ἰακὴ ἡ συναλοιφή· τῷ δὲ τόνῳ ὡς ἐπίκριον. ἤτοι ἐποίκιον, σκηνή, νεώριον, ἢ σκάφος, παρὰ τὸ ἱστίον. λέγει δὲ ὅτι οὐδεὶς ξένος ἐστίν, ἀλλ' ἅπαντες πολῖται καὶ ἐφέστιον πῦρ ἔχοντες. διὰ δὲ ψιλοῦ ἀντιστοίχου ἐξενήνεκται, ὡς τὸ δέχεσθαι δέκεσθαι καὶ οὐχί οὐκί. τοῦτο δὲ κατὰ διάλεκτον. Q.

266. ἔνθα δέ τέ σφ' ἀγορὴ] περὶ τὸ ἱερὸν τοῦ Ποσειδῶνός ἐστιν ἀγορὰ ἔνθα δημηγοροῦσι. B.Q.

καλὸν Ποσιδήϊον] ἀφιερωμένον τῷ Ποσειδῶνι τέμενος. E.V.

267. ῥυτοῖσι λάεσσιν] μεγάλοις, τοῖς μὴ δυναμένοις ἐπ' ὤμων φέρεσθαι, ἀλλὰ ἑλκομένοις διὰ τὸ μέγεθος. E. ἑλκομένοις διὰ τὸ μέγεθος. κατωρυχέεσσι δὲ, καλῶς θεμελιωθεῖσι. B.Q.T. λείοις, εὐξέστοις. Q. τοῖς εἱλκυσμένοις, ἐκ δὲ τούτου μεγάλοις. V.

268. μελαινάων ἀλέγουσι] διὰ φροντίδος ἔχουσι καὶ ἐπιμελείας ἀξιοῦσι. V. ἀποτιθέασι, συλλέγουσι. δηλοῖ γὰρ τὸ α τὸ ὁμοῦ, ὡς ἐπὶ τοῦ ἀκόλουθος, ὅ ἐστιν ὁμοκέλευθος, καὶ ἄβρομοι ἄβρομοι, καὶ ἀνίαχοι ἀμαΐαχοι. οὕτω δὲ καὶ ἄλοχος καὶ ἄκοιτις. E.

269. πείσματα καὶ σπεῖρα] πείσματα τὰ ἀπόγεια σχοινία, παρὰ τὸ πείθεσθαι αὐτοῖς τὴν ναῦν. σπεῖρα δὲ οἱ μεγάλοι κάλοι, παρὰ τὸ συσπειρᾶσθαι καὶ κεῖσθαι. ἢ σπεῖραι δι' ὧν ἕλκονται αἱ νῆες· ἢ τὰ σχοινία δι' ὧν δεσμεύονται οἱ τροχίλοι. T. τὸ δὲ "ἀποξύνουσιν" ἤτοι τὸν φλοιὸν περιξέουσιν. E.H.

273. φῆμιν ἀδευκέα] ἀπὸ τοῦ γλεῦκος ἀγλευκέα καὶ ἀδευκέα. ἢ τὴν ἀπροσδόκητον, ἀπὸ τοῦ δεύκω τὸ βλέπω. ἢ τὴν πικρὰν, ἢ τὴν

1. νεώριον ἢ σκάφος est etiam in H.

2. νενεωλκ– Buttm. νεωλκ– V. ἑωλκ– E. ἑολκ– T.

11. ἀφιερωμένον] καθιερωμένον V.

18. ὅ ἐστιν Buttm. pro ἔστι δὲ καὶ.

19. ἀνίαχοι ἀμαΐαχοι] ἀνίσχυροι ἅμα Ἰάχου ed. Mediol. Sed manifesta est corruptela. Eodem enim hæc pertinent quo præcedens ἄβρομοι, nimirum ad Il. ν, 41. scribendumque καὶ ἀνίαχοι ἀμαΐαχοι. Nam in textu etiam scribebatur olim ibi ἀνίαχοι pro αὐΐαχοι. BUTTM.

20. Hujus scholii particulæ leguntur in E. (πείσματα καὶ σπεῖρα: τὰ σχοινία τὰ ὑπόγεια παρὰ τὸ π. α. τ. ναῦν) et in Q. (καὶ σπεῖρα: δι' ὧν ἕλκονται αἱ νῆες). Paullo plura, ut videtur, in H. In fine, ubi οἱ τροχιλλεῖς in T., οἱ τροχαλοί in H., ego οἱ τροχίλοι scripsi ex Eustathio p. 1563, 4. ubi est, σπεῖρα, ἤγουν ὑφάσματα ἐξ ὧν τὰ ἱστία, ἢ σπεῖρας δι' ὧν αἱ νῆες ἕλκονται, ἢ δι' ὧν οἱ τροχίλοι δεσμοῦνται.

26. ἀπὸ τοῦ—οὖν om. Q.

ἀφανῆ. B. ἀπὸ τοῦ δεῦκος. ἀδευκέα οὖν τὴν πικρὰν καὶ δεῦκος μὴ ἔχουσαν. H.Q. ἀπροσδόκητον. παρὰ τὸ δοκεῖν. καὶ ἀδευκής, ἀπευκέα τινὰ οὖσαν τὴν πολύπικρον. E.

275. καί νύ τις ὧδ' εἴπῃσιν] ἀθετοῦνται στίχοι ιδ' ἕως "ἀνδράσι μίσγηται" ὡς ἀνοίκειοι τῷ ὑποκειμένῳ προσώπῳ. εἴρηται οὖν τοῦτο διὰ τῶν πρὸ αὐτῶν β' στίχων, τῶν "ἀλεείνω φῆμιν ἀδευκέα." H.Q.

278. ἦ] βεβαιωτικῶς ἀναγνωστέον. H.

279. ἐπεὶ οὔτινες ἐγγύθεν εἰσίν] ἐπειδὴ οὐκ εἰσὶ πλησιώτερον ἄλλοι, εἰρωνικῶς. B.

280. ἤ] οὗτος ὀξύνεται, ὁ δὲ ἑξῆς (283.) περισπᾶται. H.

πολυάρητος θεὸς] πολλῶν εὐχῶν ἀκούων, ἢ πολλῶν εὐχῶν ἀξιούμενος. γίνεται δὲ ἀπὸ τοῦ πολὺ καὶ τοῦ ἀρά ἡ εὐχή. B.

282. βέλτερον, εἰ καὐτή] ἄμεινον εἰ ἀπελθοῦσα εὗρεν ἄνδρα ἀλλαχόθεν. εἰ γὰρ Φαίακα, φησὶ, λήψεται, ἀτιμάσει τοὺς ἄλλους μνηστῆρας, οἵτινες αὐτὴν μνηστεύονται. ἢ κατ' εἰρωνείαν, βέλτερον εἰ αὐτὴ εὗρεν ἑαυτῇ ἄνδρα. ἀτιμάζει γὰρ τοὺς Φαίακας, οἳ αὐτὴν μνηστεύονται. B.E.Q.T.

286. νεμεσῶ] περισπωμένως τὸ νεμεσῶ. H.

287. ἤ τ' ἀέκητι] ψιλωτέον τὸ ἤτ', ἵν' ᾖ οὕτως, καὶ ἄλλην νεμεσῶ ἥτις ἂν ταῦτά γε ῥέζοι καὶ ἀέκητι γονέων ἀνδράσι μίσγηται. Ἀρίσταρχος. Q.

φίλων] βραχὺ διασταλτέον μετὰ τὸ φίλων. H.

289. Ἀρίσταρχος, σὺ δ' ὦκ' ἐμέθεν. H.

290. ἐμεῖο] ἄμεινον γράφειν ἐμοῖο, ἀπὸ τοῦ ἐμός. τὸ γὰρ ἐμεῖο ἀπὸ τοῦ ἐμεῦ ἀσυνάρθρου γέγονεν. Ζηνόδοτος ἐμεῖο, καὶ ἐπεκράτησεν. H.Q.

291. δήομεν] εὕρωμεν. MS. Barnes.

19. ἤτ'] Hæc non intelligo: nisi fuit forte olim ἡ δ', Aristarchus autem scribebat ἠδ'—. BUTT. Aristarchi nomen ex scholio ad v. 289. huc illatum videtur. Similiter in nomine Callistrati erratum p. 319, 8. 10.

24. ἐμεῖο] Hoc lemma ego præfixi. Referebatur hæc annotatio ad ἐμέθεν v. 289.: unde Porsonus conjiciebat Zenodotum ἐμέο legisse pro ἐμέθεν, etsi hæc ipsa verba ἐμέθεν ξυνίει ἔπος rursus leguntur θ., 241. nulla annotata scripturæ diversitate. Planissime autem ratio nostra confirmatur annotationibus scholiastæ ad Il. ξ, 118. et ω, 486. ubi idem notatur error Zenodoti πατρὸς ἐμεῖο et πατρὸς σεῖο pro πατρὸς ἐμοῖο et πατρὸς σοῖο scribentis.

τοῦ ἐμός correxi pro τοῦ ἐμοῦ, quod est in H., vel τοῦ ἐμεῦ, quod habet Q.

δήομεν] γρ. δήεις, ἀντὶ τοῦ εὕρῃς. H.Q. αἱ χαριέστεραι, δήεις. H. ἄγχι θαλάσσης] γρ. κελεύθου. H.

292. ἀμφὶ δὲ λειμών] λείπει ἐστίν, ἢ θάλλει. H.

293. ἐνθάδε πατρὸς ἐμοῦ τέμενος] τέμενος λέγεται ἡ ἀποτετμημένη γῆ κατὰ τιμὴν, δενδροφόρου γῆς ἢ ἀμπελοφόρου ἢ σιτοφόρου. τὸ δὲ τεθαλυῖα ἡ θάλλουσα καὶ πλήθουσα φυτοῖς. E.V.

ἀλωὴ λέγεται ὁ εἰς φυτείαν ἐπιτήδειος τόπος, δενδροφόρος γῆ. Q.V.

294. ὅσσον τε γέγωνε βοήσας] λείπει τὸ τις, ὅσον τις βοήσας ἠκούσθη. H.Q.

297. ἡμέας] ἀπόλυτος ἡ ἡμέας. H.

δώματ' ἀφῖχθαι] Ἀριστοφάνης, δώματα ἶχθαι. H.

298. ἴμεν] ἀντὶ τοῦ ἴθι. H.

ἠδ' ἐρέεσθαι] γρ. ἠδ' ἔρχεσθαι. H.

ἐρέεσθαι] ἐρωτᾶν· ἀντὶ τοῦ, ἐρώτησον. V.

302. οἷος δόμος Ἀλκινόοιο] εἰ μὲν πρὸς γενικὴν ἀφορᾷς, μὴ στίξῃς εἰς τὸ Ἀλκινόοιο· εἰ δὲ πρὸς κλητικὴν, στίξον, ἵνα ᾖ πρὸς Ὀδυσσέα ὁ λόγος λέγων, ἀλλὰ ὦ ἥρως. B.

303. κεκύθωσι] ἔστι τὸ ὑγιὲς ἀπὸ τοῦ κεύθω, εἶτα συστολὴ παρηκολούθησεν, ὡς ἐν τῷ "μὴ δή μοι φύξιν γε Δόλων ἐμβάλλεο θυμῷ" (Il. κ, 447.). κεκύθωσιν ὅμοιον τῷ λελάχωσιν. προειπὼν δὲ δώματα ἐπήνεγκε δόμος, πρὸς ὃ ἡ διπλῆ. Q.

305. ἡ δ' ἧσται ἐπ' ἐσχάρῃ] οὐ σημαίνει τὸ παρὰ τὴν ἐσχάραν, ἀλλ' ὡς τοῦ θρόνου ὑψηλοτέρου ὄντος τοῦτό φησι. τοιοῦτόν ἐστι καὶ τὸ "πάντας μὲν φιλέεσκεν ὁδῷ ἔπι οἰκία ναίων" (Il. ζ, 15.). οὐ γὰρ τὸ παρὰ τὴν ὁδὸν οἰκῶν σημαίνει, ἀλλὰ δηλοῖ ἐν τούτοις τὸ ὑψηλὸν ἀπὸ τῆς γῆς· ἐπεὶ τοίνυν ἐστὶν ἡ οἰκία ὑψηλοτέρα τῆς γῆς, καὶ ὁ ἐν αὐτῇ οἰκῶν ἐπάνω οἰκεῖ τῆς γῆς. E.

1. εὕρῃς] Porsonus reponi jubet εὑρήσεις; et in suo scholio Barnes. præeunte Eustathio, reposuit εὑρήσομεν, grammaticum corrigens uterque, non librarium. BUTTM.

2. δήεις] Sic citatur in scholio ad v. 262.

6. τεθαλυῖα] θαλεῖα E.

9. τις, ὅσον τις H. τι, ἥτις Q.

18. ἥρως] In hoc itaque scholio ne dubitatum quidem est de scriptura ἥρως, quam alii genitivum alii vocativum esse putabant. BUTTM.

20. φύξιν] Hanc solam vocem spectat grammaticus ut quæ sit pro φεῦξις. BUTTM.

25. οὐ γὰρ Buttm. pro οὐδέ.

ἐκ τούτου δηλοῖ τὸν καιρὸν, ὅτι χειμὼν ἦν. B. ἀντὶ τοῦ ἐπ' ἐσχάρῃ. ὡς χειμῶνος ὄντος. H.

ἐν πυρὸς αὐγῇ] ἐν τῷ φωτιζομένῳ ὑπὸ τοῦ πυρὸς τόπῳ. B.Q.T.V.

308. ποτικέκλιται αὐγῇ] περικέκλιται καὶ περιέχεται τῇ αὐγῇ. Q. περιέχεται τῇ αὐγῇ, ἀντὶ τοῦ πεφώτισται. V.

310. μητρὸς περὶ γούνασι] ἤτοι ὡς γυνὴ γυναῖκα προκρίνει, ἢ ἐπεὶ φρονιμωτάτη ἡ Ἀρήτη παραδίδοται. καὶ ἄλλως δὲ φιλοικτίρμον τὸ θῆλυ. Καλλίστρατος. E.H.Q.V. ὡς φιλοικτίρμονα τὴν θήλειαν κελεύει παρακαλέσαι. T.

318. Καλλίστρατος, αἱ δ' εὖ μὲν τρεχέτην. τὸ δὲ, πλίσσοντο, βάδην διέτρεχον. ὥστε τὸ ὅλον εἶναι, εὖ μὲν ἐτρόχαζον, εὖ δὲ βάδην ᾔεσαν. B.H.P.Q.T. Ἄλλως. πλίσσειν ἐστὶ τὸ μεταφέρειν σκέλος παρὰ σκέλος. οἱ Δωριεῖς δὲ τὰ βήματα πλίκας καλοῦσιν. Ἱπποκράτης δὲ πλίγμα τὸ μεταξὺ τῶν μηρῶν διάστημα. ὅθεν καὶ διαπεπλίχθαι φασὶ τὸ περιπλέκειν τοὺς πόδας. ἐπειδὴ τοίνυν διισταμένων τῶν μηρῶν τὸ βῆμα γίνεται, οὐκ ἀφυῶς οἱ Δωριεῖς τὰ βήματα πλίκας λέγουσι. B.H.P.Q.T. πλίξ τὸ βῆμα. πλίσσοντο οὖν ἀντὶ τοῦ ἐβημάτιζον. ἐπαινεῖ τοίνυν καὶ τὸν δρόμον καὶ τὴν τῶν ποδῶν κίνησιν. P.Q.T. πλίσσοντο, διέβαινον. πλίχος γὰρ τὸ ὑπὸ τὰ αἰδοῖα δέρμα, ὃ δεῖται διαβαινόντων. πλίσσεσθαι γὰρ τὸ βάδην διαβαίνειν, καὶ πλίγμα τὸ διάστημα τῶν ποδῶν. V. et codex Barnes.

ἔστι μὲν τὸ πλίσσειν τῶν ἅπαξ εἰρημένων παρ' Ὁμήρῳ, σημαίνει δὲ τὸ τρώχων τὸ τρέχειν· οἱ γὰρ τροχοὶ καὶ τοὺς δρόμους σημαίνουσι· τὸ δὲ πλίσσειν πόδεσσι τὸ βηματίζειν δηλοῖ, ἀπὸ τοῦ πλήσσειν τὴν γῆν· οἱ μέντοι Ἴωνες τὸ ἐκτρέχειν τὰ σκέλη· σκέλος γὰρ παρὰ σκέλος θέντα πλίσσειν λέγουσι. Δωριεῖς δὲ καὶ τὰ βήματα

3. φωτιζομένῳ] καταπεφωτισμένῳ V.

4. αὐγῇ] Nam sic aliis in libris scriptum fuit pro αὐτῇ. Eustath. p. 1564, 25. ποτὶ κέκλιται αὐγῇ ἢ αὐτῇ.

6. προκρίνει] κινεῖ E.

7. ἡ Ἀρήτη om. H.

8. Καλλίστρατος om. V. et videtur ortum ex scholio proximo, quod ab hoc nomine incipit.

10. Καλλίστρατος—τρεχέτην om. B.Q.

τρεχέτην] τρεχέην H.P.

τὸ δὲ πλίσσοντο] πλὶξ τὸ βῆμα. τὸ δ' ἐπλίσσοντο B.Q.

13. πλίκας] In scholio proximo πλίχας. De utraque forma dixit Lobeck. Paralip. p. 103.

14. πλίγμα] κλάδα P. κλάδος H. In πλίγμα consentit Eustath. p. 1564, 51.

20. πλίσσεσθαι—ποδῶν om. V.

23. τὸ τρώχων (τρωχᾶν Buttm.) om. Q.

24. πλήσσειν Buttm. pro πλίσσειν.

25. σκέλος γὰρ H. σκέλη γὰρ P.Q.

πλίχας καλοῦσιν. ἐπαινεῖ οὖν τὸν δρόμον καὶ τῶν σκελῶν τὰς διαβάσεις καὶ τοὺς βηματισμούς, ὡς ἔχοντας τὸ εὔτακτον ἐν τῇ πορείᾳ. H.P.Q.

319. μάλα] ἀντὶ τοῦ ἐπιστημόνως. Q. νῦν ἐπιστημόνως. V.

320. νόῳ δ' ἐπέβαλλεν] τεχνικῶς ἤλαυνεν. V. 5

321. δύσετό τ' ἠέλιος] νῦν πρὸς δυσμὰς ἀπέκλινεν. ἡμέρας γὰρ ἔτι οὔσης εἰσέρχεται Ὀδυσσεύς, παρὸ καὶ ἀχλὺν αὐτῷ καταχέει. P.V. καὶ πῶς ἀχλὺν ἐπιχέει τῷ Ὀδυσσεῖ Ἀθηνᾶ ἅπαξ ἑσπέρας οὔσης; τὸ δύσετο οὖν, πρὸς δυσμὰς ἀπέκλινεν. P.Q.T.

327. καινῶς ἡρμήνευσε τὸ δός με φιληθῆναι καὶ ἐλεηθῆναι ὑπὸ 10 Φαιάκων, "δός μ' ἐς Φαίακας φίλον ἐλθεῖν ἠδ' ἐλεεινόν." τὸ γὰρ δός ἐν ταῖς εὐχαῖς κεῖται. "δὸς μὴ Ὀδυσσῆα πτολιπόρθιον οἴκαδ' ἱκέσθαι" (Od. ι, 530.) καὶ μεταλαβὼν εἰς τὸ ὀπάζειν "Νέστορι μὲν πρώτιστα καὶ υἱάσι κῦδος ὄπαζε· αὐτὰρ ἔπειτ' ἄλλοισι δίδου χαρίεσσαν ἀμοιβήν, δὸς δ' ἔτι Τηλέμαχον καὶ ἐμὲ πρήξαντα νέ- 15 εσθαι" (Od. γ, 57.). "ἀλλὰ ἄνασσ' ἵληθι, δίδωθι δέ μοι κλέος ἐσθλόν" (γ, 380.) ἀντὶ τοῦ φιληθῆναι καὶ ἐλεηθῆναι. T.

ἐλεεινόν] ἐλέους τυχεῖν. V.

329. αἴδετο] γρ. ἄζετο. P.

330. πατροκασίγνητον] τὸν θεῖον αὐτῆς, ἤτοι τὸν Ποσειδῶνα. 20 οὗτος γὰρ ἀδελφός ἐστι τοῦ ταύτης πατρὸς τοῦ Διός. B.

Ἀρίσταρχος περισπᾷ τὸ ζαφελῶς, καὶ οὕτως ἐπεκράτησεν. ἔδει δὲ βαρυτόνως. P.

H.

ΥΠΟΘΕΣΙΣ. 25

Ἀθηνᾶ ἐπὶ τὴν πόλιν παραγενομένῳ Ὀδυσσεῖ ὑπαντᾷ, καὶ ἀξιώσαντι δείκνυσι τὸν Ἀλκινόου οἶκον, εἰς ὃν εἰσελθὼν Ὀδυσσεὺς προσπίπτει τοῖς τῆς Ἀρήτης γόνασι, καὶ δεῖται αὐτῆς πέμψαι αὐτὸν εἰς τὴν πατρίδα. ἀναστήσας δὲ αὐτὸν ὁ Ἀλκίνοος παρακαθίζει αὐτῷ καὶ δεῖπνον παρέχει. ἡ δὲ Ἀρήτη θεασαμένη τὴν ἐσθῆτα πυνθάνεται 30

1. πλίχας P. πλίσσας H.Q. πλίκας Buttm. ut supra.

6. νῦν] ἤγουν P.

22. περισπᾷ] περισπᾶται P. Herodianus ap. Joann. Alex. τον. παραγγ. p. 39, 18. παρὰ τὸ ζάφελος προπαροξυνόμενον ὀφείλει καὶ τὸ ζαφελῶς ἐπίρρημα βαρύνεσθαι, ὡς ἀπὸ τοῦ ζάθεος ζαθέως· οὐ γάρ ἐστι παρὰ τῷ ποιητῇ ζαφελής. δείκνυσι δὲ Ἡρωδιανὸς ὡς ὅτι κατὰ συνεκδρομὴν τοῦ ἀμελῶς καὶ ἐντελῶς περιεσπάσθη τὸ ζαφελῶς.

26. ἀξιώσαντι δείκνυσι H. ἀξίως ἀντιδείκνυσι ceteri.

27. εἰσελθὼν] ἐλθὼν H.

πόθεν ἔσχεν. ὁ δὲ διηγεῖται αὐτοῖς τὸν ἀπὸ Καλυψοῦς πλοῦν καὶ τὸ γεγενημένον ναυάγιον καὶ τὴν πρὸς αὐτοὺς ἄφιξιν, καὶ ὅτι δεηθεὶς Ναυσικάας ἔλαβε τὴν ἐσθῆτα. E.H.P.Q. MS. Barnes.

ΑΛΛΩΣ.

Ναυσικάα εἰς τὴν πόλιν ἀφικνεῖται. καὶ μετ' ὀλίγον ὁ Ὀδυσσεὺς ἱκετεύει Ἀρήτην τὴν Ἀλκινόου γυναῖκα τοῦ βασιλέως. καὶ μετὰ τὸ δεῖπνον πυνθανομένης ὁπόθεν τὴν ἐσθῆτα ἔσχεν, ἐγνώρισε γὰρ αὐτήν, τὰ συμβάντα αὐτῷ κατὰ τὸν πλοῦν ἀπὸ τῆς Ὠγυγίας μέχρι τῆς τῶν Φαιάκων γῆς διηγεῖται. H.P.Q.V.

---

4. στῆσεν] ἀπὸ κοινοῦ τὸ, μένος ἡμιόνοιιν. P.

5. ἀθανάτοις] ἀστράσιν. P.

οἵ ῥ' ὑπ' ἀπήνης ἡμιόνους ἔλυον] τοὺς ὑπ' ἀπήνης ἡμιόνους. P.

7. δαῖε δέ οἱ πῦρ] ἤτοι ἧπτε πυρὰν διὰ τὸ εἶναι χειμῶνα. B.

8. γρηὺς] αἰδέσιμον γὰρ τὸ γῆρας καὶ σωφροσύνης παρασκευαστικόν. P.T.

Ἀπειραίη] ἄποθεν παροῦσα, ἢ Ἠπειρωτική. P.T.V. ἔστι δὲ ἀντικρὺ Κερκύρας ἡ Ἤπειρος. V. Ἠπειρωτική. ἡ γὰρ τῶν Φαιάκων νῆσός ἐστιν. P. ἡ Ἠπειρωτική. ἡ γὰρ Ἤπειρος τῶν Φαιάκων νῆσός ἐστι. λέγεται δὲ καὶ ἤπειρος ἡ ὅλη οἰκουμένη, ἥτις τέμνεται εἰς τρία, εἰς Ἀσίαν, εἰς Λιβύην καὶ εἰς Εὐρώπην. ἑκάστη δὲ τούτων γῆ καλεῖται ἤπειρος. B. ὅτι συνέστειλεν Ἰακῶς. καὶ ἑξῆς, τήν ποτ' Ἀπείρηθεν. P.

θαλαμηπόλος] ἤτοι ἡ περὶ τὸν θάλαμον ἀναστρεφομένη, ἢ ἡ τοῦ οἴκου προνοοῦσα. V.

2. γεγενημένον] γενόμενον E.H.Q.

5—9. Habet hoc argumentum Eustathius p. 1565.

5. ὁ addidi ex Eustathio.

6. τὴν om. Eustathius.

γ. τοῦ β.] τοῦ β. γ. Eustathius.

7. πυνθανομένης Eustathius. πυνθανόμενος Q. πυθομένης H.P.V.

αὐτὴν] αὐτὴ H.

16. ἢ addidit Buttm.

Ἠπειρωτική] ἡ πειρατικὴ P.

18. Φαιάκων νῆσός ἐστι] Vide quam egregie recentior Græculus antiquioris observationem perverterit. Dixerat ille ἠπειρωτικὴν vocari peregrinam illam anum, quoniam ἡ τῶν Φαιάκων (int. vel, si mavis, ins. γῆ) νῆσος sit: hic τὴν Ἤπειρον insulam facit. Quin in ipso P. qui sincerius scholium habet, inter lineas tamen, sed ab alia manu, supra ἀπείρηθεν scriptum est: ἀπὸ τῆς Ἀπείρου νήσου. Sed super ἀπειραίη iterum alia, ni fallor, manu, πολύπειρος. Cf. autem supra schol. ad ζ, 204. BUTTM.

11. Ἀπείρηθεν] πόρρωθεν, ἀπὸ τῆς ἠπείρου. V.

11. θεοῦ δ' ὡς δῆμος ἄκουεν] καὶ τοῦτο οἰκονομικῶς. ἀηδῶς γὰρ ἔχουσι πρὸς τὰς πομπὰς, ὡς ἐν τοῖς ἑξῆς ἐρεῖ. διὰ δὲ τὴν φιλοξενίαν τοῦ Ἀλκινόου ἀναγκαίως ὑπακούουσι. τὴν πειθαρχίαν οὖν αὐτῶν ἀναγκαίως προσυνίστησιν. P.Q. 5

13. ἀθετεῖ Ζηνόδοτος. ἤδη γὰρ εἶπε "δαῖε δέ οἱ πῦρ." καὶ διὰ τὴν διαφορὰν τοῦ εἴσω πρὸς τὸ ἔνδον. H.P.

δόρπον ἑκόσμει] παρεσκεύαζε. P. ἑσπερινὴν τροφήν. δεῖ γὰρ νοεῖν ὅτι ἑσπέρας εἰσῆλθεν ἡ Ναυσικάα. H.P.T.

14. αὐτὰρ Ἀθήνη] ἤτοι ἡ οἰκεία φρόνησις ὑπέθετο αὐτῷ κατὰ 10 τὴν νύκτα ἰέναι. καὶ ὁ ἀὴρ δὲ καὶ ἡ ἀὴρ τὸ αὐτό. ἡ ἀὴρ γὰρ ἡ ἀορασία, ὁ ἀὴρ εἰ μὴ ἔχει τὸ φωτίζον. E.

15. πολλὴν ἠέρα χεῦε] ὅτι τῷ Ὀδυσσεῖ περιέθηκε σκότος, οὐ τοῖς Φαίαξιν, ὡς ἐν τοῖς ἑξῆς Ζηνόδοτος. P.Q.T.

16. μή τις Φαιήκων μεγαθύμων] ὑπερόπτας εἰσήγαγε τοὺς Φαία- 15 κας οἰκονομικῶς, ἵνα πρὸ καιροῦ μήτε ὄνομα μήτε πατρίδα μήτε τύχην αὐτοῦ μάθωσιν, ἀλλ' ὡς ἤθελεν αὐτοῖς οἰκονομήσῃ τὴν ἀπόκρισιν. πῶς οὖν πέμπουσι τοὺς ξένους; ὅτι ἐκ τῶν ἐναντίων φιλανθρώπους πεποίηκε τοὺς ἄρχοντας αὐτῶν. οὐδὲν οὖν εἰς τὰ τοιαῦτα ἔμελλε βλάψειν τὸν Ὀδυσσέα ἡ τῶν ὑποτεταγμένων αὐθάδεια. εἰ δὲ 20 καὶ περὶ τῆς εἰς τὴν Ἰθάκην ἐκβάσεως προοικονομεῖ τι ὁ ποιητὴς διὰ τοῦ τοιούτου ἤθους τῶν πολιτῶν, εἰσόμεθα ἐπὶ τοῦ οἰκείου τόπου γενόμενοι. H.P.Q.

18. ἐραννὴν] διὰ τὸ ἄπραγμον καὶ τὴν ῥαστώνην τῶν βιούντων αὐτόθι. ἢ τὴν τῷ Ὀδυσσεῖ ἐραννὴν δι' ἄμφω, ὅτι τε ἐκ ναυαγίου 25 περισέσωστο, καὶ ὅτι ἐντεῦθεν προσεδόκα εἰς τὴν πατρίδα ἀφίξεσθαι. H.P.Q.T.

19. θεὰ γλαυκῶπις Ἀθήνη] κόρη τις, ἣν θεὰν ὀνομάζει διὰ τὸ δεῖξαι αὐτῷ τὴν ὁδόν. P.

22. οὐκ ἄν μοι] Ἀριστοφάνης, ἤ ῥά μοι. H.P. 30

2. ἀηδῶς P. ὠμῶς Q.

5. Scripsi προσυνίστησιν, ut schol. ι, 187. h. e. *exhibet, commonstrat antea.* προσενίστησιν P.Q. BUTTM.

6. καὶ addidit Buttm.

8. ἑσπερινὴν τροφὴν et γὰρ om. P.

13. ὅτι et ὡς ἐν—Ζηνόδοτος om. T.

14. ἐν τοῖς ἑξῆς] Vide ad v. 41.

18. πέμπουσι] πέμπωσι H.

30. Ἀριστοφάνης] Sic H. et ut opinor P. Buttmannus Ἀρίσταρχος edidit, calami, ut videtur, lapsu ad versum proximum aberrans. Scriptura ipsa ἤ ῥά μοι corrupta est. Videtur ἦ ῥά νύ μοι scripsisse, quod conjecit Nitzsch. vol. 2. p. 136.

24. ταλαπείριος] Ἀρίσταρχος μὲν ἀντὶ τοῦ ταλαίπωρος. τινὲς δὲ ἀντὶ τοῦ ξένος καὶ πόρρωθεν πεπερακὼς, ἢ μακρόθεν ἀφιγμένος. P.V.

25. τηλόθεν ἐξ ἀπίης γαίης] ὅτι τὴν πολὺ ἀφεστῶσαν γῆν. οὐ τὴν Πελοπόννησον, ὡς οἴονται οἱ νεώτεροι. E.M.P.T.

26. καὶ γαῖαν ἔχουσιν] γράφεται καὶ ἔργα νέμονται, ἀντὶ τοῦ κατοικοῦσι. E. καὶ τὰ γεώργια μερίζονται. T.

καὶ ἔργα νέμονται] γρ. καὶ γαῖαν ἔχουσιν. H.

129. δείξω] προσαγωγὸν πάνυ. οὐ γὰρ τὴν ἰδίαν χρείαν καταλιποῦσα ὑπουργήσειν φησὶν, ἀλλὰ τῆς αὐτῆς ὁδοῦ δείξειν τὸ ζητούμενον. P.Q.T.

30. ἀλλ᾽ ἴθι σιγῇ τοῖον] οὕτως ὡς ἔχεις, ἢ ὥς σοι δεικνύω. P.

31. ποτιόσσεο] ἐνόρα, ἢ προσαγόρευε, ἢ περιβλέπου. V.

μηδὲ πρός τινα ἀνθρώπων ἐνατένιζε. P.

32. οὐ γὰρ ξείνους—ἀνέχονται] οὐ ξενίζουσι τοὺς ἀνθρώπους. V.

μάλ᾽ ἀνθρώπους ἀνέχονται] ἀντὶ τοῦ, ἀνθρώπους ἀνέχοντας ὑποδέχονται. P.Q.

ζητοῦσί τινες πῶς ἐν τοῖς ἑξῆς φιλοξενωτάτους λέγει τοὺς ἀνθρώπους. καὶ φαμὲν ἢ τὸν μὲν ναυτικὸν ὄχλον εἶναι τῷ ὄντι ἀηδῆ, τοὺς δὲ βασιλεῖς φιλοξένους· ἢ ἵνα φυλάξηταί τινος πυθέσθαι καὶ πρὸς ἕτερον καταχθῆναι. E.V.

4. ὅτι] ἐπὶ T.

5. οἴονται post οἱ νεώτεροι T.

6. ἔργα addidit Buttm.

9. δείξω T. Præfixum erat ἡγεμονεύσω ex v. 30. "In cod. Vindob. 5. post versum 30 spatium vacuum pro uno versu relictum est: in P. autem 30. 31. appositis α et γ numerantur, nec tamen, ut alias fieri solet, medius aliquis versus cum numero β in margine comparet. Sed cum eorum scholiorum quæ manu antiquiore scripta sunt pars interdum a bibliopego sit abscissa, id hic etiam factum puto. Nam ante verba scholii ad 31. μηδὲ πρὸς in ora comparet sigla $\overset{\chi}{\sigma\tau\iota}$ h. e. στίχος, manu, ni fallor, illa antiquiori: quod mihi videtur reliquum ex nota: λείπει στίχος. Quicquid est, apparet fuisse opinionem de defectu versus quem nullum exemplum præberet. Verum vide ne hæc mera fuerit suspicio nata ex illo μηδέ, quod videretur similem antea prohibitionem requirere, cum tamen recte illud jungatur illis ἀλλ᾽ ἴθι σιγῇ τοῖον, verbis ἐγὼ δ᾽ ὁδὸν ἡγεμονεύσω parenthetice interjectis." BUTTM.

13. ποτιόσσεο] Sic, non προτιόσσεο. Et sic in schol. ad ν, 320. BUTTMANN.

16. ἀντὶ τοῦ Buttm. ἀττικῶς libri, confusis siglis de quibus v. Bast. ad Greg. Cor. p. 793.

20. καὶ πρὸς Buttm. pro ἢ πρός.

33. ἀγαπαζόμενοι] τὸ παθητικὸν ἀντὶ τοῦ ἐνεργητικοῦ. τὸ δὲ φιλέουσι, μετὰ στοργῆς ξενίζουσι. B.P.T.

ἡδέως πάνυ, ὡς αὐτὴ παρὰ τὸ ἔθος τῆς πολιτείας φιλανθρώπως διακειμένη πρὸς τὸν ξένον. P.

35. λαῖτμα] οἱ μὲν ὅρμημα, οἱ δὲ τὸ κύτος, οἱ δὲ τὸ διάστημα τοῦ πελάγους, ἐξ οὗ τὸ μέγα καὶ πλατύ. λέγει δὲ τὸ κῦμα. V.

προοικονομεῖ τὴν ἐπάνοδον. P.

36. ἠὲ νόημα] ἐντεῦθεν τὸ παροιμιῶδες "διέπτατο δ' ὥστε νόημα." B.E.T.

τὸ γὰρ ἐνθύμημα καὶ τὰ πόρρω φαντάζεται. E.

39. ναυσικλυτοὶ] ὡς ἀγακλυτοί ἐν συνθέσει καὶ κατ' ὀξεῖαν τάσιν. ἡ γὰρ ναυσί δοτικὴ παρὰ τῷ ποιητῇ, ὅταν κατ' ἰδίαν λέγηται, διὰ τοῦ η γράφεται· "ὡς οἱ μὲν παρὰ νηυσί." "νηυσὶ θοῇσι τοί γε πεποιθότες" (Od. η, 34.)· διὰ τοῦ α, ὅτε ἐν συνθέσει, Ναυσικάα, Ναυσίθοος. H.P.Q.T.

40. διὰ σφέας] ἀντὶ τοῦ, δι' αὐτῶν. V. ἔθος τῷ ποιητῇ τὴν διὰ ταῖς αἰτιατικαῖς συντάσσειν. δύναται δὲ τὸ ἑξῆς εἶναι, διερχόμενον. P.

ὀρθοτονητέον τὴν ἀντωνυμίαν διὰ τὴν πρόθεσιν. P.

41. ἤ ῥά οἱ ἀχλὺν] Ζηνόδοτος, ἤ σφισιν ἀχλύν, γράφει, οὐκ εὖ. ἐν γὰρ τοῖς ἑξῆς (143.) φησιν "καὶ τότε δή ῥ' αὐτοῖο πάλιν χύτο θέσφατος ἀήρ." H.P.

47. ὅτι δύο ὄντων "τοῖσι" εἶπε. καὶ περισσὸς ὁ δέ. P.

49. βασιλῆας] βασιλεῖς τοὺς κατὰ μέρος ἄρχοντάς φησιν. B. P.Q.T.

50. δαίτην δαινυμένους] ἰδίωμα τῶν Ἀττικῶν, ὡς τὸ λόγον λέγει, γραφὴν γράφει. E. περίφρασις ὁ τρόπος, ὡς τὸ ποδάνιπτρα ποδῶν. P.

51. θαρσαλέος] ὁ πεπαρρησιασμένος καὶ εὔτολμος, οὐχ ὁ θρασύς·

11—15. Hoc scholion est etiam in T. ad v. Ναυσίθοον relatum v. 56. et minus integrum, ναυσικλυτοί, ἀγακλυτοί, ἐν συνθέσει κατ' ὀξεῖαν τάσιν. ἡ γὰρ—π. ὅτε κατ' ἰδίαν—παρὰ νηυσὶ θυῇσι ἐν συνθέσει, διὰ τοῦ α, Ναυσίθοος, Ναυσικάα.

11. In interiori margine P. ὡς ἀγάκλυτοι τόνδ' ἄρα βαρύνεσθαι: quod non intelligo; maxime ob insertum illud τόνδ' ἄρα quod est initium versus 39. BUTTM.

ἐν συνθέσει καὶ κατ' ὀξεῖαν τάσιν] Conf. schol. ad α, 30.

13. γράφεται] γράφουσιν H.

14. φησιν om. T.

21. αὐτοῖο] αὐτοῖς H.P.

29. ὁ π. καὶ εὔτολμος om. P.Q.

ἐκεῖνος γὰρ ἀναιδής. καὶ ἔστιν οἰκεῖον τῇ Ἀθηνᾷ τὸ τῆς γνώμης. καὶ ἐξ ἀνδρείας καὶ λογισμοῦ ὀρθοῦ τὸ θαρρεῖν περιγίνεται. τοῦτο γὰρ δοκεῖ παραιτεῖσθαι τὴν παρρησίαν Ὀδυσσέως, ὅτι ξένος ἐτύγχανεν. ὑποβάλλει οὖν ὅτι καὶ τὸν τοιοῦτον θαρρεῖν δεῖ, εἰ μέλλει σωτηρίας τεύξεσθαι. P.Q.T.

52. εἰ καί ποθεν] γράφεται, εἰ καὶ μάλα. Q.

εἰ καὶ μάλα τηλόθεν ἔλθοι] γρ. εἰ καί ποθεν ἄλλοθεν ἔλθοι. H.P.

53. δέσποιναν μὲν πρῶτα κιχήσεαι] καὶ πῶς ἡ Ναυσικάα φησὶ "τὸν παραμειψάμενος μητρὸς ποτὶ γούνασι χεῖρας βάλλειν" (ζ. 310.): κιχήσεαι οὖν. ἱκετεύσεις. ἢ ἐκεῖ τὸ παραμειψάμενος ἀντὶ τοῦ παρελθὼν. ἐάσας ἀπαράκλητον. B.P.Q.T. κιχήσεαι νῦν ἀντὶ τοῦ ἱκετεύσεις. οὐ γὰρ καταλήψεσθαι σημαίνει. V.

54. Ἀρήτη] καθὸ ἀρητῶς καὶ εὐκταίως ἐγεννήθη. P.V.

ἐπώνυμον] φερώνυμον. V. ἐπώνυμόν ἐστι τὸ ἀπὸ γενέσεως μὲν αὐτομάτως τεθὲν, ὕστερον δὲ κατὰ τύχην δοκοῦν τεθεῖσθαι. ὡς τὸ Δημοσθένης, οἷον τὸ τοῦ δήμου σθένος. B.P.Q.T.

Ἀρήτη δ' ὄνομ' ἐστίν· ἐκ δὲ τοκήων] τοῦτο μάχεται τοῖς ἑξῆς· τὴν μὲν γὰρ λέγει Ῥηξήνορος, τὸν δὲ Ναυσιθόου. λύοιτο δ' ἂν ἐκ τῆς λέξεως. τὸ γὰρ τοκήων δηλοῖ καὶ τὸ προγόνων. καὶ γὰρ τοὺς πατέρας ἐπὶ τῶν προγόνων τάττουσιν. E.P.Q.

δοκεῖ ὅτι καὶ ἀδελφή ἐστι τοῦ Ἀλκινόου ἡ Ἀρήτη. οἱ δὲ τοκήων ἐνόησαν τῶν προγόνων, ἵν' ὦσι συγγενεῖς καὶ μὴ ἀδελφοί. οὗτοι δέ εἰσι θεῖος καὶ ἀνεψιά. B.

Ἡσίοδος δὲ ἀδελφὴν Ἀλκινόου τὴν Ἀρήτην ὑπέλαβεν. B.P.Q.T. Vind.

ταῦτα πάντα χρήσιμα μανθάνειν τὸν ἱκέτην, ἵνα καὶ ἐκ πατέρων τὴν προσφώνησιν ποιήσηται, "Ἀρήτη, θύγατερ Ῥηξήνορος ἀντιθέοιο" (146.). P.Q.

56. Ναυσίθοον] πόρρωθεν ἀναλαμβάνει τὴν διαδοχὴν τοῦ γένους, ἐν συντόμῳ δὲ καὶ σαφῶς ἐκτίθεται ὅπερ ἐστὶ δυσχερέστατον οὐχ

1. ἀναιδής. καὶ ἔστιν οἰκεῖον] ἀναιδής ἐστιν. οἰκεῖον γὰρ T.

2. καὶ ante ἐξ om. T.

τοῦτο—τεύξεσθαι om. T.

6. εἰ καί] εἰ κέ Q.

7. τηλόθεν] τηλόθεν ἄλλοθεν H. correctus et P., duabus scripturis confusis. Nam qui καὶ μάλα legerunt, τηλόθεν scripserunt, qui καί ποθεν, servarunt ἄλλοθεν.

15. ὡς τὸ] καὶ ὁ T.

16. τὸ om. T.

24. δὲ om. P. In Vind. est σημ. ὅτι ἡσίοδος ἀδελφὴν etc.

ὅπως ἐν μέτροις, ἀλλὰ καὶ ἐν πεζῷ λόγῳ. P.Q. Ποσειδῶνος καὶ Περιβοίας τῆς Εὐρυμέδοντος Ναυσίθοος, οὗ Ῥηξήνωρ καὶ Ἀλκίνοος, Ῥηξήνορος Ἀρήτη. P.

59. ὑπερθύμοισι γιγάντεσσι] ὡς ἔθνους τινὸς τῶν γιγάντων μέμνηται γενναίου καὶ ὑπερηφάνου. τὰ δὲ παρὰ τοῖς νεωτέροις οὐκ οἶδεν, 5 οὔθ' ὡς ἦσαν ἐκτράπελοί τινες καὶ ὀφιόποδες, οἵους αὐτοὺς ἀναζωγραφοῦσιν, οὔτε ὡς Φλέγραν ᾤκησαν, οὔτε ὅτι θεοῖς ἐμαχέσαντο. P.Q.

60. ἀλλ' ὁ μὲν ὤλεσε λαὸν] ὅτε ἐμάχετο μετὰ τοῦ Διὸς ἤτοι μετὰ βασιλέως τινός. P.

64. τὸν μὲν ἄκουρον ἐόντα] τοῦτο ἐναντίον τῶν ἐπιφερομένων 10 "μίαν οἴην παῖδα λιπόντα Ἀρήτην." λύοιτο δ' ἂν ἐκ τῆς λέξεως. τὸ γὰρ ἄκουρον οὐκ ἐκδεκτέον ἄπαιδα, ἀλλὰ οὐκ ἔχοντα κοῦρον, ὅ ἐστιν ἄρρενα παῖδα. B.E.P.Q.

ἄκουρον] ἄμοιρον ἄρρενος παιδὸς, ἢ μὴ γεννήσαντα παῖδα ἄρρενα. V. 15

65. νυμφίον] νεωστὶ γεγαμηκότα. V. νυμφίον ἰδίως τὸν ἤδη παιδοποιήσαντα. P.

τὸ δὲ νυμφίον ἀντὶ τοῦ νέον, οὐ πολὺν χρόνον ἀπὸ τοῦ γάμου βιώσαντα. ἅπαξ δὲ εἴρηται ἡ λέξις. B.E.P.Q.T.

βραχὺ δὲ διασταλτέον μετὰ τὸ νυμφίον. βέλτιον γὰρ τὸ "ἐν 20 μεγάρῳ" τοῖς ἑξῆς προσνέμειν, ἵνα δηλωθῇ ὅτι παρθένον αὐτὴν ἀπέλιπεν. P.T.

68. ἐπ' ἀνδράσιν] γρ. ὑπ' ἀνδράσιν. P.

72. δειδέχαται μύθοισιν] ἐκδέχονται ἐπαίνοις. P.

στείχῃσιν ἀν' ἄστυ] πορεύονται. Gl. H. 25

τελεία εἰς τὸ ἐσθλοῦ. H.

74. οἷσίν τ' εὖ φρονέῃσι] καὶ οἷς ἂν εὐφρονῇ ἡ Ἀρήτη τὰ νείκη καὶ τὰς πρὸς ἀλλήλους διαφορὰς τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν διαλύει. V.

ἥσίν τ' εὖ φρονέῃσι] θαυμαστικόν· οἷς εὖ φρονεῖ, οὐδὲ γυναικῶν, 30 ἀλλὰ καὶ ἀνδρῶν νείκεα λύει. γράφεται δὲ καὶ "ἥσί τ' εὖ φρονέῃσι." E.

18. ἀντὶ τοῦ νέον] Hoc glossema in P. etiam vocabulo ἄκουρον v. 64. est superscriptum errore librarii.

19. ἅπαξ—ἡ λέξις om. P.T.

25. στείχῃσιν ἀν' ἄστυ] Sic H. in textu ex emendatione.

πορεύονται] Fortasse interpretatur στείχωσιν. PORSON.

30. εὖ φρονεῖ Buttm. pro δὲ φρονεῖ.

οἷσίν τ' εὖ φρονέῃσι] τοσαύτῃ συνέσει φησὶ κεχρῆσθαι τὴν Ἀρήτην ὁ ποιητὴς ὥστε καὶ στάσεις ἀνδρῶν δύνασθαι αὐτὴν διαλύειν. τὸ δὲ καὶ ἀνδράσιν ὡς ἐν ἐπιτάσει παρέλαβε. τὸ γὰρ γυναικῶν νείκεα λύειν ἁρμόζει γυναιξίν. B.P.Q.T.

αἱ χαριέστεραι, ᾗσίν τ' εὖ φρονέῃσι. πρεπῶδες γὰρ αὐτῇ τὰς πρὸς τοὺς ἄνδρας ἔριδας διαλύειν ταῖς γυναιξίν. ὑπερβιβαστέον δὲ τὸν καί· καὶ ᾗσιν εὖ φρονέῃσι τὰ πρὸς τοὺς ἄνδρας νείκεα διαλύει. B.H.P.Q.T.

75. εἰ ἐκείνη προσφιλῶς διάκειται, ἐν σοὶ ἐλπὶς ἔστω ἰδεῖν τὴν οἰκίαν σου. P.

ὡς γελοίως, ὦ βέλτιστε. οὐ γὰρ τῷ δικαίῳ, ἀλλὰ τοῖς φίλοις φησὶν αὐτὴν βοηθεῖν. P.T.

79. Σχερίην] Σχερία ἡ χώρα τῶν Φαιήκων. H. τὴν Φαιακίαν. τὰ λεγόμενα νῦν Κέρκυρα αὕτη ἐστὶν ἡ Φαιακία. B.

80. Μαραθῶνα] τόπος τῆς Ἀττικῆς, ἔνθα ἀνετράφη ἡ Ἀθηνᾶ. E. ἔστι δὲ Μαραθὼν ὕστερον τῆς Λεοντίδος φυλῆς. διγενὴς δὲ ἡ λέξις· καὶ ὁ Μαραθὼν γὰρ λέγεται καὶ ἡ Μαραθών· ἔνθα καὶ τὸν λεγόμενον Μαραθώνιον ταῦρον Θησεὺς κατεπάλαισεν. M.

Ἀθήνην] ὅτι ἑνικῶς τὰς Ἀθήνας. H.

ὑποπτεύεται ὁ τόπος, ὡς καὶ Χαῖρίς φησιν ἐν Διορθωτικοῖς. H.P.

5. αἱ χ. ᾗσι] αἱ χ. δὲ εἰσὶν T.
γὰρ] γάρ ἐστιν T.

7. καί· καὶ ᾗσιν εὖ T. καὶ, ᾗσί τ' εὖ ceteri. Eustath. p. 1568, 27. φέρεται δὲ καὶ τρίτη γραφὴ (præter οἷσίν vel ᾗσίν τ' εὖ φρονέῃσι) αὕτη, ᾗσιν εὐφροσύνῃσιν (scr. εὔφρ.), ἤγουν ἰδίαις φρονήσεσι, λύει δικαστικῶς τὰ νείκεα.

11. 12. Operæ pretium esse videtur observare, hoc scholium, quod Lucianeum illum potius scholiasten sapit, manu tamen eadem qua longe plurima et optima codicis P. scholia scriptum esse. BUTT. In T. est ἄλλως. ὡς γελοίως τοῦτο· οὐ γὰρ—φασὶ αὐτὴν διαλύειν.

13. τὰ λεγόμενα] ἡ λεγομένη dicere debebat.

15. τόπος τῆς Ἀττικῆς] Est gl. in P.

16. ὕστερον τῆς Λεοντίδος φυλῆς] Huic tribui adscribitur ab Stephano Byz. aliisque. Scholiasta quum ὕστερον dicit, olim alius tribus fuisse indicat, quam Æantidem fuisse aliorum scriptorum et inscriptionum auctoritate constat. Totum scholion exscripsit Eustathius p. 1568, 44.

διγενὴς δὲ ἡ λέξις] Vide quæ L. Dindorfius collegit in Thesauro vol. 5. p. 577.

17. τὸν (τὸ M.) λεγόμενον Μαραθώνιον ταῦρον] De hoc v. Plutarch. V. Thesei c. 14.

20. ὑποπτεύεται T. qui sola hæc verba ὑ. ὁ. τ. habet post p. 328, 2. ὑποτοπεύεται H.P.

Χαῖρις Boeckhius apud Buttm. χάρις P. χάρης H.
φησιν] φασι P.

81. δῦνε δ' Ἐρεχθῆος] ἀπὸ μέρους τὰς Ἀθήνας. τουτέστιν εἰς τὸ ἑαυτῆς τέμενος· ἐν τούτῳ γὰρ ἐτράφη ὁ Ἐρεχθεύς. E.H.P.T.V. τὸ δὲ, πυκινὸν δόμον, καλῶς κατεσκευασμένον καὶ ὑπὸ τεχνικῆς συνέσεως. E. τὴν ἀκρόπολιν. H.P.T.

83. ὥρμαιν' ἱσταμένῳ] ἠπόρει γὰρ τί βούλεται ἡ τοιαύτη κατασκευή. καὶ γὰρ ἀπὸ οἰκίας καὶ ἐσθῆτος καὶ θεραπόντων ἐστὶ τεκμήρασθαι τὸ ἔθος τῶν δεσποτῶν. E.P.Q.T.

85. δῶμα καθ' ὑψερεφὲς] περισσὴ ἡ κατά. P.

86. χάλκεοι μὲν γὰρ τοῖχοι] ῥᾴδιον μὲν ἦν χρυσῆν πᾶσαν φάναι τὴν δημιουργίαν τῆς οἰκήσεως, ἀλλὰ τὸ πιθανὸν πρὸς ἕκαστον μέρος τῆς κατασκευῆς ἐπιλέγεται, χαλκοῦς μὲν τοὺς τοίχους πρὸς ἀσφάλειαν, τὸν δὲ θριγκὸν κυάνεον, τουτέστι τὴν στεφάνην· πρέπον γὰρ τὸ μετέωρον ἀεροειδὲς φαίνεσθαι· τὰς δὲ θύρας χρυσᾶς, ἵνα τὸ πρῶτον τῇ ὄψει προσπῖπτον ἐκ τῆς πολυτελεστάτης ὕλης ᾖ. οἱ δὲ σταθμοὶ πρὸς τὴν ἐξαλλαγὴν ἀργύρεοι. χάλκεος δὲ οὐδὸς, διὰ τὸ πατεῖσθαι. τὸ δὲ ὑπέρθυρον ἀργύρεον, ὡς καὶ οἱ σταθμοὶ, ἵν' ἐκ τῆς ὁμοίας ὕλης ἡ τῶν θυρῶν περιγραφὴ τυγχάνῃ. καὶ φύλακας τοῖς τοιούτοις οἴκοις ἐπέστησε κύνας ἀΰπνους ἐκ πολυτελοῦς ὕλης. καὶ ταύτης οὐχ ὁμοίας, ἀλλὰ διαφόρου, ἵν' ὁ μὲν φιλόπλουτος τὴν ὕλην θαυμάζῃ, ὁ δὲ φιλόκαλος τὴν τέχνην, ὁ δὲ σπουδαιότερος τὴν χρείαν. οὐδὲν οὖν μειρακιῶδες πάσχει ὁ Ὀδυσσεὺς καταπληττόμενος τὰ οὕτω παράδοξα. E.P.Q.T.

ἐληλάδατ'] Ἰωνικῶς ἀντὶ τοῦ ἐληλασμένοι ἦσαν καὶ παρατεταμένοι. B.E.

ἐρηρέδατ'] γράφεται, ἐληλέδατο. E.

ἐληλέδατο] παρατεταμένοι ἦσαν, εἰ δὲ ἐρηρέδατο, ἡρμοσμένοι ἦσαν ἢ ἐμπεπηγμένοι. M.

1. ἀπὸ μ. τὰς Ἀ. om. E.P.V. τουτέστιν εἰς addidi ex T.

2. ἐν τούτῳ γὰρ H. ἐν γὰρ τούτῳ E.P.V. ἐν αὐτῷ γὰρ T.

ἐτράφη] ἀνεώγραφεν enotatum ex H., id est ἀνετράφη.

4. τὴν ἀκρόπολιν] Gl. in H.P. male relatum ad Μαραθῶνα v. 80.

7. δεσποτῶν] δεσποινῶν T.

11. κατασκευῆς] παρασκευῆς E.Q.

12. θριγκὸν] θριγγὸν E.Q.

14. ᾖ T. εἴη ceteri.

20. χρείαν] χροιάν P.

26. In V. ἐληλέδατο· παρατεταμένοι. εἰ δὲ εἰρηρέδατο, ἡρμοσμένοι ἦσαν. De H. Porsonus "ἐληλέδατ' [in textu]: et interpr. ἐληλαμένοι ἦσαν. Etiam in marg. ἐληλέδατο et eadem interpretatio." "In textu P. est ἐληλέατ' et superscr. ἐληλαμένοι, παρατεταμένοι, et in marg. sine lemmate, sed ab eadem, quæ textum

87. ἐς μυχὸν ἐξ οὐδοῦ] ἀντὶ τοῦ μέχρι τοῦ μυχοῦ, ἤτοι ὅλου τοῦ οἴκου. ὅλος γὰρ ὁ οἶκος χαλκός. B. ἀπὸ φλιᾶς μέχρι τῆς ἔσω γωνίας. E.

θριγκὸς κυάνοιο] ἀπὸ γενικῆς εἰς εὐθεῖαν μετῆκται. θρὶξ, τριχὸς, θριγκὸς, τῶν στοιχείων ἀπολαβόντων τὴν οἰκείαν μετάθεσιν μετὰ πλεονασμοῦ τοῦ γ. δηλοῖ δὲ τὴν στεφάνην καὶ πᾶν τὸ ὑπὲρ τῶν τοίχων καὶ τοῦ στέγους ὥσπερ ἐξέχον τάξει τριχώσεως καὶ κόμης. ἢ παρὰ τὸ θρέξαι, ὁ περιτρέχων κύκλῳ. B.P.Q.T. ἀπὸ γενικῆς εἰς εὐθεῖαν μετῆκται. δηλοῖ δὲ τὴν στεφάνην καὶ πᾶν τὸ ὑπὲρ τῶν τοίχων καὶ τοῦ στέγους ὑπερεξέχον, τάξει τριχώσεως καὶ κόμης. καὶ ἔστιν ἡ εὐθεῖα ἡ θρίξ, καὶ κλίνεται τῆς τριχός. οἱ δὲ Ἴωνες ὡς τὸν χιτῶνα κιθῶνα λέγουσι καὶ τὴν χύτραν κύθραν καὶ τὸ ἐντεῦθεν ἐνθεῦτεν, τρέπουσι καὶ ἐπὶ τῆς τριχὸς τὸ χ εἰς κ, τὸ δὲ τ εἰς θ. ἡ δὲ γενικὴ ἐν πολλοῖς μετάγεται εἰς εὐθεῖαν, ὡς Τρώς Τρωός, καὶ ἡ εὐθεῖα Τρωός Τρωοῦ. καὶ σάρξ σαρκός καὶ ἄσαρκος, καὶ δμώς δμωός. οὕτως καὶ ἐπὶ τῆς τριχὸς μεταβληθέντων τῶν γραμμάτων μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν ὁ θρικός, προσθέσει τοῦ ν ὁ θρινκός. διὰ δὲ τὸ εὑρεθῆναι ἔμπροσθεν τοῦ κ τρέπεται τὸ ν εἰς γ. κυάνοιο δὲ ὁ ἔχων τὴν βαφὴν ἀπὸ τοῦ κυάνου εἶδος βάμματος ὄντος· κύανος, κυάνεος, κυανοῦν, ὡς χρύσεος, χρύσειος, χρυσοῦν· ὅστις κύανος ἐστὶ μέλας· ἢ διὰ τοῦ ἐφ' ὕψους τοῦ τοίχου εἶναι πρὸς τὸν ἀέρα. καὶ γὰρ ὁ ἀὴρ μέλας ἐστίν. E. Ἄλλως. περίφραγμα, περίβολος τῆς οἰκίας καὶ τὸ ἐπικόσμημα τοῦ τοίχου. παρὰ τὸ θρέξαι, ὁ περιτρέχων κύκλῳ. κυάνεον δὲ τὸν σίδηρον λέγει. E.

88. πυκινὸν δόμον ἐντὸς ἔεργον] τὸν στερεὸν δόμον ἔνδον ἑαυτῶν περιέκλειον. P.Q.

89. σταθμοὶ] αἱ παραστάδες. V.

90. ὑπερθύριον] τὸ ἐπικείμενον ταῖς θύραις, εἰς ὃ οἱ ἄνω στρόφιγγες ἐναρμόζονται. P.

κορώνη] τὸ ἐπίσπαστρον τῆς θύρας, ἤτοι τὸ κρίγκιον. Q.V. κο-

scripsit manu, πεπηγμένοι." BUTTMANN. ἐληλάδατ' M. in textu.

P. 328, 26. ἐληλέδατο—ἐρηρέδατο] ἐληλάδαται—ἐρηρέδατ' M.

P. 329, 7. κόμης pro κόσμου correxi ex scholio proximo.

8. ἢ παρὰ—κύκλῳ om. B.P.Q.

ἀπὸ γενικῆς —] Comparanda annotatio Eustathii p. 1570, 13.

20. χρύσεος, χρύσειος, χρυσοῦν] Immo χρυσὸς χρύσεος χρυσοῦς.

25. στερεὸν] στερρὸν P.

28. ὃ Buttm. pro ὃν.

30. ἐπίσπαστρον V. ἐπίσπαστον Q. τὸ κρίγκιον est etiam in H.

ρώνη τὸ κρικίον. P. κορώνη ἐπὶ τοῦ ζῴου καὶ ἐπὶ τοῦ τόξου καὶ ἐπὶ τῆς θύρας καὶ ἐπὶ τῆς πρύμνης τοῦ πλοίου, διὰ τὸ ἐπικαμπὲς σχῆμα. εἴρηται δὲ ταῦτα ἀπὸ τοῦ ζῴου τῆς κορώνης. εὐλύγιστον γὰρ ἔχει ὅσον εὐκαμπῆ τὸν τράχηλον. καὶ παρὰ μέρος σώματος ἐπὶ τοῦ ἀγκῶνος. οὕτω Φιλόξενος ἐν τῷ περὶ τῆς Ῥωμαίων διαλέκτου. H.P.T. 5

91. χρύσειοι δ' ἑκάτερθε καὶ ἀργύρεοι κύνες ἦσαν] ἤτοι κυρίως, ἢ ἥλους λέγει, παρὸ καὶ κυνάδας φαμὲν, ἢ τοὺς διπλοῦς ἥλους. τινὲς δέ φασι τοὺς δοθέντας ὑπὸ Ἥρας Ποσειδῶνι ὑπὲρ τοῦ συλλαβεῖν αὐτῷ πρὸς τὴν τοῦ Διὸς ἐπίθεσιν οὕτως περιελθεῖν εἰς Ἀλκίνοον. V.

ἑκάτερθε] ἑκατέρωθεν τῶν θυρῶν. H.P.Q. 10

92. ἰδυίῃσι πραπίδεσσι] ταῖς ἐπιστημονικωτάταις βουλαῖς καὶ συνέσεσι. P.

93. φυλασσέμεναι] ὥστε δοκεῖν φυλάσσειν. E.

94. καὶ ἀγήρως] διὰ τὸ δοκεῖν εἶναι νεωστὶ κατεσκευασμένους. B.

95. ἐληλέδατ'] ἐμπεπηγότες ἦσαν. P. ἐρηρέδατο] ἐνηρμοσμένοι 15 ἦσαν. P.V. ἐνηρμοσμένοι ἦσαν ἐρεισθέντες ὡς ἐμπεπηγότες εἰς τὸν τοῖχον. H.

97. ἐύννητοι] εὖ νενησμένοι ἐπέκειντο. H.

100. κακῶς οἱ "βουνῶν" γράφοντες. Ὅμηρος γὰρ βωμοὺς τὰς βάσεις φησί. P. 20

102. δαινυμένους] εὐωχουμένους. V.

103. πεντήκοντα δ' ἔσαν δμωαὶ κατὰ δῶμα γυναῖκες, αἱ μὲν ἀλετρεύουσι μύλης ἐπὶ μήλοπα καρπὸν, αἱ δ' ἱστοὺς ὑφόωσι] τὸ σχῆμα τῆς διαλύσεως ὁμοιότροπον, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων πτώσεων· τούτους ἠγάπησα, τὸν μὲν ὅτι εὐφυής ἐστι, τὸν δὲ ὅτι φιλόπονος. 25 τούτων κήδομαι, τοῦ μὲν ὅτι εὐφυής ἐστι, τοῦ δὲ ὅτι ἀγαθός. καὶ ἐπὶ δοτικῆς, τούτοις ἐδωρησάμην, τῷ μὲν, τῷ δέ. οὕτως οὖν καὶ ἐπὶ τῆς ὀρθῆς, "Νεστορίδαι δ' ὁ μὲν ὁ δέ" (Il. π, 317.), καὶ γυναῖκες αἱ μὲν αἱ δέ. εἰ δέ τῳ προσκόπτοιτο, στιζέτω ἐπὶ τοῦ γυναῖκες, ἵνα λείπῃ τὸ ἦσαν, τὸ δὲ ἑξῆς ἀπὸ ἄλλης ἀρχῆς. P.Q. 30

1. ἐπὶ τοῦ ζῴου om. P.

4. παρὰ μέρος T. περιμέρου H.P.

5. οὕτω—διαλέκτου] Nihil præter φιλόξενος ἱστορεῖ T.

6—9. Cf. Eustath. p. 1570, 44.

21. δαινυμένους—εὐωχουμένους] Fort. —οισι—οις, ut varia lectio sit δαινυμένοισι pro δαιτυμόνεσσι. BUTTM.

23. τὸ σχῆμα —] In T. τὸ σχῆμα ὁμοιότροπον, αἱ μὲν, αἱ δὲ, ὅτι τὸ μὲν ὅτι εὐφυής ἐστι, τὸ δὲ ὅτι φιλόπονος. καὶ ἐπὶ γενικῆς, τοῦ μὲν κήδομαι ὅτι εὐφυὴς, τοῦ δὲ ὅτι ἀγαθός. καὶ ἐπὶ δοτικῆς, τῷ μὲν, τῷ δέ. καὶ ἐπὶ εὐθείας, ὁ μὲν, ὁ δέ.

29. στιζέτω Friedlaender. de Nican. p. 95. pro σχηματιζέτω.

104. ἀλετρεύουσαι] ἀλήθουσαι ἐπὶ τῆς μύλης, ἤτοι τοῦ μηροῦ. μύλη γὰρ λέγεται καὶ ὁ μηρὸς καὶ πᾶν τὸ συστρεφόμενον. B. κλώθουσαι, ἐπὶ τοῦ μηροῦ στρέφουσαι καρπὸν μήλων, ἤτοι ἔρια. B.

ἀλοῦσιν, ἐν τοῖς μύλοις ἀλήθουσι. P. ἀντὶ τοῦ ἠλέτρευον. ἀναστρεπτέον δὲ τὴν ἐπί. H.P. 5

μύλοις ἔπι] ἐν τοῖς μύλοις, ἐπὶ τοῖς μύλοις. μήλοπα καρπὸν] τοὺς πυρούς· μηλοειδὴς γάρ ἐστι τὴν χροιάν. οἱ δὲ ὅτι τὸ ἔριον ἐπὶ τοῦ μηροῦ ἔτρεφον. μύλη γὰρ τὸ ἄκρον τοῦ μηροῦ. V.

μύλης ἐπὶ μήλοπα καρπόν] μύλας τινὲς τὰ γόνατα ἀκούουσι, μήλοπα δὲ καρπὸν τὸ ἔριον. καρπὸς δέ ἐστι τῶν προβάτων, ἵνα ὁ λόγος 10 ᾖ ἐπὶ τῶν τὰς κρόκας τριβουσῶν ἐπὶ τῆς ἐπιγουνίδος. ἀλλὰ τὸ τρίβειν ἐν τοῖς γόνασιν οὐχ Ὁμηρικόν. καθόλου γὰρ οὐ ποιεῖ γυναῖκας γυμνουμένας ἕως μηρῶν. ἀλλ' οὐδὲ μύλην ποτὲ εἴρηκεν Ὅμηρος τὸ γόνυ, ἀλλ' ἐν ᾧ τοὺς πυροὺς ἀλοῦμεν· "ἥ ῥα μύλην στήσασα" (Od. υ, 111.). μήλοπα δὲ καρπὸν τὸν σῖτον τὸν μηλοειδῆ τὴν χροιάν, 15 ὡς καὶ τὴν Δήμητραν αὐτὴν οὕτως ὀνομάζει, "ὅτε τε ξανθὴ Δημήτηρ" (Il. ε, 500.). πρεπῶδες δὲ πεντήκοντα οὐσῶν τὰς μὲν περὶ τὰς τροφὰς ἀσχολεῖσθαι, τὰς δὲ ταλασιουργεῖν, ὡς καὶ ἐν τῇ Ὀδυσσέως οἰκίᾳ παρέδωκεν. ἄλλως τε καὶ τὴν κρόκην τῇ χειρὶ ἔνηθον αἱ παλαιαὶ γυναῖκες, ὥς που καὶ Εὔπολίς φησι "τῇ χειρὶ νῆθε μαλθακω- 20 τάτην κρόκην." H.P.Q.T.

Ἄλλως ἐκ τοῦ Πορφυρίου. οὐκ ἔστι τὸ "αἱ μὲν ἀλετρεύουσι μύλης ἐπὶ μήλοπα καρπὸν" τὸ ἐκ τῶν μήλων ἔριον, ὥς τινες οἴονται, ἀλλὰ μήλοπα καρπὸν ἔφη τὸν μήλῳ ἐμφερῆ κατὰ τὴν χροιάν. τοιοῦτος γὰρ ὁ πυρός, ὡς ἐν ἄλλοις "μυληφάτου ἀλφίτου ἀκτῆς" (Od. β, 25 355.). ἔστι δὲ ἡ ἀκτὴ οὐ τὸ κατεαγμένον, ὥς τινες, ἀλλὰ τὸ ἐξέ-

4. ἀντὶ τοῦ om. P.
ἠλέτρευον] ἠλίτρευον H.P.
6. μύλοις — μήρου] Sic editiones veteres. In recentioribus verba ultima οἱ δὲ—μηροῦ rejecta sunt post superiora ἐπὶ τοῖς μύλοις; eorumque loco post τὴν χροιάν adjectum: ἄλλοι, μύλης ἔπι: prius autem lemma mutatum in μύλης ἔπι: pro ἔτρεφον denique scriptum ἔστρεφον. BUTT.
11. ἐπιγουνίδος] γουνίδος T.
τὸ addidi ex T.
τρίβειν] προστρίβειν P.
13. μηρῶν] μηροῦ Q.T.
μύλην] αὐτὸ T.
15. μήλοπα] μύλοπα P.T. et mox μυλοειδῆ P.
δὲ] οὖν T.
16. ὅτε] ὅτι Q.
19. παρέδωκεν] παραδέδωκεν T.
20. τῇ χειρὶ νῆθε] νῶσαι T., omisso τῇ χ. νῶσαι etiam Eustath. p. 1571, 35.
μαλθακωτάτην] μαλθακωτάτῳ Q.
21. κρόκην] Πορφύριος in fine hujus scholii addit Q.
22. Ἄλλως ἐκ τοῦ Π. om. E.Q.
25. μυληφάτου] μηλοφάτου H.

χον, ἐκ μεταφορᾶς τῶν κατὰ τοὺς αἰγιαλοὺς ἐξοχῶν, ἃς ἀκτὰς λέγει, "ἀκτῇ ἐπὶ προὐχούσῃ." τὸ ἄκρον οὖν καὶ ἐξέχον τοῦ ἀλφίτου. ὡσαύτως ἐξηγητέον καὶ τὸ "ὃς θνητός τ' εἴη καὶ ἔδοι Δημήτερος ἀκτήν" (Il. ν, 322.), ἤτοι τὸν ἔξοχον πυρὸν, ὡς τὸ "οἶος ἄωτος." E.H.P.Q. τὸ δὲ, "ἀκτῇ ἐπὶ προὐχούσῃ" (Od. ω, 82.) ἔφη καὶ ἄλλως, "προβλῆτι σκοπέλῳ" (Il. β, 396.). E.Q.

Ἄλλως. μήλοπα, τοὺς πυρούς· μηλοειδὴς γὰρ ὁ καρπὸς τὴν χροιάν. ἢ ἤτοι "αἱ μὲν ἀλετρεύουσι μύλης ἐπὶ μήλοπα καρπόν," ὅταν πεπανθῇ· οἱ δὲ ὅτι τὸ ἔριον ἐπὶ τοῦ μηροῦ ἔστρεφον· μύλη γὰρ καὶ τὸ ἄκρον τοῦ μηροῦ. καὶ Ἡσίοδος γάρ φησι τὸ "ἀλετρεύουσι μύλης ἐπὶ μήλοπα καρπόν," ἐπὶ τῆς ἠλακάτης τῆς στρεφομένης δίκην μύλης. μήλοπα γὰρ τὸν τῶν προβάτων καρπὸν, ἤτοι τὸν μαλλόν. μυλὼν δὲ καὶ μύλη λέγεται, οὐ μέντοι καὶ μύλος. E. κλώθουσιν, ἀλήθουσι. μηλοειδῆ, ἐπεὶ καὶ Δήμητρα ξανθή. ἢ τὸν σῖτον τὸν πυρόν. E.

πολλῆς φροντίδος ἄξιον. Πορφύριος τὸν σῖτόν φησιν, ὡς χροιὰν μήλου ἔχοντα. P.

105. ἠλάκατα] διαφορὰ ἠλακάτης καὶ ἠλακάτων παρ' αὐτῷ ἥδε. ἡ μὲν γὰρ ἠλακάτη δηλοῖ τὸ ξύλον εἰς ὃ περιειλοῦσι τὸ ἔριον, ἠλάκατα δὲ αὐτὰ τὰ ἔρια περιειλούμενα τῇ ἠλακάτῃ. τὴν μὲν οὖν ἠλακάτην διὰ τούτων δεδήλωκεν, "ἠλακάτη τετάνυστο ἰοδνεφὲς εἶρος ἔχουσα" (Od. δ, 135.). τετανύσθαι δὲ αὐτὴν εἶπε διὰ τὸ εἶναι ἐπιμήκη καὶ λείαν. τὰ δὲ ἔρια αὐτὰ ἐπὶ τῆς ἠλακάτης, "ἠλάκατα στρωφῶσ' ἁλιπόρφυρα" (Od. ζ, 53.). H.P.Q.

106. μακεδνῆς] μακεδνή γίνεται ἀπὸ τοῦ μῆκος καὶ τοῦ δίνη. καὶ μακεδνή ἡ ἐκ τοῦ μήκους δινουμένη, ἤτοι συστρεφομένη. B.

οἷά τε φύλλα μακεδνῆς αἰγείροιο] οἱ μὲν ὅτι ἡλιοτροπίου τάξιν ἐπεῖχον καθήμεναι θεατροειδῶς, οἱ δὲ ὅτι πεπύκνωται τὸ δένδρον τοῖς φύλλοις. φύλλα δὲ ἤτοι διὰ τὸ πλῆθος, ἢ διὰ τὸ εὐκίνητον τῶν χειρῶν ἐν τῷ στρέφειν τὴν κρόκην, ὡς καὶ τὰ φύλλα τῆς αἰγείρου ἀντεστραμμένα ἀλλήλοις, καὶ εὐκίνητα ῥᾳδίως καὶ ὑπὸ τυχούσης αὔρας, ὡς καὶ Σοφοκλῆς ἐν Αἰγεῖ "ὥσπερ γὰρ ἐν φύλλοισιν αἰγείρου μα-

1. ἐξοχῶν addidi ex H.
8. ἢ ἤτοι] Delendum ἢ, nisi plura exciderunt.
12. μαλλόν] μαλόν E.
21. εἶρος] ἧρος H.
28. ἐπεῖχον] συνεῖχον H.
31. ῥᾳδίως] Reliquam scholii partem om. P.
32. ἐν Αἰγεῖ Brunckius. ἐναργῶς V., om. M.
ἐν φύλλοισιν M. ut correxerat Barnesius. εὐφύλλοισιν V.

κρᾶς, κἂν ἄλλο μηδὲν, ἀλλὰ τοὐκείνης κάρα κινεῖ τις αὔρα κἀνακουφίζει πτερόν. M.P.V. τὸ εὐκίνητον αὐτῶν κατὰ τὴν ἐργασίαν δηλοῖ ἐν τῷ στρέφειν τὴν κρόκην, ὡς καὶ τὰ φύλλα τῆς αἰγείρου ἀντεστραμμένα ἀλλήλοις καὶ εὐκίνητα ῥᾳδίως καὶ ὑπὸ τυχούσης αὔρας, ὡς καὶ Σοφοκλῆς ἐν Αἰγεῖ. ἡ εἰκὼν οὖν πρὸς τὸ συνεχὲς τῆς ἐργα- 5
σίας. οἱ δὲ, ὅτι πολλαὶ, καὶ πεπύκνωνται τὰ δένδρα τοῖς φύλλοις. ἔστι δὲ καὶ εὐκράδαντα τὰ τῶν αἰγείρων φύλλα, ὡς καὶ ἐν ὕψει ὄντα. B.E.Q. et partim P.

107. καιροσέων δ' ὀθονέων] Ἀρίσταρχος. καιροσέων. καῖρος δὲ ὁ μίτος, οὗ παράγωγον τὸ καιρόεις, θηλυκὸν καιρόεσσα. ἡ γενικὴ τῶν 10
πληθυντικῶν, τῶν καιροεσσῶν, καὶ κατὰ συγκοπὴν καιροσσῶν, κατὰ δὲ διάλυσιν "καιροσσέων δ' ὀθονέων." Καὶ ἄλλως. ὅτι καὶ ἐπὶ ἐρίων ὀθόναι λέγονται. καῖρος ἡ διαπλοκὴ τοῦ διάσματος, ἐν ᾗ οἱ στήμονες καθίενται. ἔνθεν καὶ αἱ καιρωτίδες καιρωστρίδες παρὰ Καλλιμάχῳ. ἄλλο δέ ἐστι μίτος, δι' οὗ τοὺς στήμονας ἐναλλάττουσι 15
χάριν τοῦ τὴν κρόκην πλέκεσθαι. B.H.M.P.T.

ἰστέον ὅτι οὐ μόνον τὴν λινῆν ἐσθῆτα ὀθόνην ἐκάλουν. ἀλλὰ καὶ τὰ διὰ τῶν ἐρίων ὑφάσματα. P.

καιροσέων δ' ὀθονέων] καῖρος λέγεται ὁ μίτος, οὗ παράγωγον τὸ

1. τοὐκείνης] τῆς κείνης M.

κινεῖ τις αὔρα κἀνακουφίζει] Libri κινήσῃς αὔραις ἀνακουφίζει. Correxi ad Sophoclis Fragm. 24.

5. ἐν Αἰγεῖ] ἐν ἄργει B.E.Q.

7. ὡς καὶ ἐν ὕψει] ὡς ἐν ὄψει P.

9. καιροσέων] Sic P. in scholio plane ut in lemmate: neque aliter in textu, nisi quod ibi ex emend. ita repositum videtur, cum antea fuerit καιροσσων. In antiquioribus autem Odysseæ exemplis videtur fuisse καιροσσέων: vid. Ern. ad h. l. et Toll. ad Apollon. in v. In B. [et T.] scholium hoc, sine mentione Aristarchi, statim incipit καῖρος ὁ μίτος. [καιρὸς δὲ ὁ μῖτος T.] Contra e Q. seorsim affertur: Ἀρίσταρχος, καὶ ῥοσέων. quod merum esse mendum puto. BUTTM.

καῖρος] In P. est καιρός, neque aliter in Etym. Gud. in v. Sed καῖρος hic et in seqq. constanter Mediol. Et sic ap. Eustath. et ap. Hesych. BUTTM.

11. κατὰ δὲ διάλυσιν] καὶ κατὰ διαίρεσιν H. διαιρέσει δὲ ἐξ αὐτῆς T.

12. καιροσσέων scripsi pro καιροσέων.

δ' ὀθονέων om. B.P. Post ὀθονέων T. pergit καὶ ἐπὶ ἐρίων δὲ ὀθόναι λέγονται. ἄλλως. καιροσέων. καιρὸς ἡ διαπλοκὴ—. In H. ὀθονέων. καὶ ἄλλως. καιροσέων ἡ διαπλοκὴ —.

καὶ ἄλλως] Cod. B. sine verbis καὶ ἄλλως ita: ὀθόνη λέγεται καὶ ἐπὶ ἐρίων.

ἐρίων] ἱερέων P.

13. καῖρος] καιροσέων H.P.

ἐν ᾗ] ἐν ᾧ B.

14. ἔνθεν καὶ αἱ κ.] καὶ αἱ κ. ἔνθεν (ἔνθα M.) M.T.

καιρωστρίδες M. καιροστρίδες T. κεραστρίδες B. κερωτίδες H. καιρωτίδες P. καιρωστρίδες ἢ καιρωστίδες Eustath. p. 1571, 57.

Καλλιμάχῳ] Fragm. 356.

καιρόεις. ἀπὸ μέρους δὲ τοῦ μιτώματος τοὺς ὅλους εὐυφεῖς λέγει. καιροσέων γὰρ τῶν εὖ κεκαιρωμένων καὶ εὐυφῶν. E.H.Q. τῶν καλῶς μεμιτωμένων. καὶ τὰ δι' ἐρίων ὑφάσματα ὀθόνας ἐκάλουν. E.

καιροσέων] εὐυφῶν, εὖ κεκαιρωμένων. καίρωμα δέ ἐστι τὸ διαπλεκόμενον ἐν τῷ στήμονι παρὰ τὸν μίτον ὑπὲρ τοῦ μὴ συγχεῖσθαι τοὺς στήμονας. ὅθεν ἀπὸ μέρους, τοῦ μιτώματος, τοὺς ὅλους εὐυφεῖς λέγει. E.P.Q.V.

τὸ δὲ, ἀπολείβεται ὑγρὸν ἔλαιον, ἤτοι οὕτως ἦσαν πυκναὶ ὡς μηδὲ ἔλαιον δι' αὐτῶν ἐλθεῖν, ἢ ἔξωθεν ὡς ἔλαιον ἔστιλβον διὰ τὴν λευκότητα, ἢ τρυφεραὶ ἦσαν ὡς δοκεῖν ἔλαιον ἀπορρεῖν· ἢ ἀποστίλβειν οὕτως τὸν μίτον, ὡς δοκεῖν ἔλαιον ἐκχεῖν. E.Q.V. et ex parte P.

λείπει ὡς. P.

108. τόσσον] ἀντὶ τοῦ τοσοῦτον. P. γράφεται ὅσσον. E.P.

109. νῦν τὸ ὡς ἀντὶ τοῦ τοσοῦτον. V.

110. τεχνήεσσαι] τεχνίτιδες. Gl. M.V.

112. ὄρχατος] δενδροφόρος γῆ. B. ἡ ἐπὶ στίχον καὶ ἐν τάξει τῶν ἀμπέλων φυτεία ὄρχατος λέγεται, ἢ κῆπος. V.

113. τετράγυος] τετράπλευρος, ἢ τεσσάρων γυῶν τὸ μέγεθος. γύη γὰρ μέτρον γῆς. ὁ δὲ γύης δύο στάδια ἔχει. B.E.M. τετράγυος] ἀξιοπίστως ὡς ἐπ' ἀληθέσι καὶ τὰ μέτρα τῆς γῆς προστίθησιν. ὁ γύης δὲ δύο στάδια ἔχει. P.T. τεσσάρων μέτρων, πλέθρα ὀργυιῶν. Gl. P.

1. μιτώματος] μιτώεντος H. μινώεντος Q.

εὐυφεῖς] εὐφυεῖς libri. Correxi ex scholio proximo.

2. εὐυφῶν Buttm. pro εὐφυῶν.

4. διαπλεκόμενον] ἐσπλεκόμενον P.

5. Pars hujus scholii, ἄλλως. καίρωμά ἐστι τὸ διαπλ.—τοὺς στήμονας est in E.Q., post quæ sequitur scholion supra ex aliis libris appositum, hoc modo, ἡ διαπλοκὴ τοῦ διάσματος, ἐν ᾗ οἱ στήμονες καθίενται καὶ αἱ καιροσίδες. καὶ ἔστι καῖρος ὁ μίτος, οὗ παράγωγον τὸ καιρόεις (Q. καιρόν), θηλυκὸν καιρόεσσα. ἡ γενικὴ τῶν πληθυντικῶν, καιροεσσῶν, καὶ ἐν συγκοπῇ καιροσσῶν, καὶ ἐν διαιρέσει καιροσέων.

9. διὰ τὴν λευκότητα] μετὰ λευκότητος P.

11. ἐκχεῖν Struvius pro ἔχειν. ἀποβάλλειν V.

13. Addidi τοῦ.

15. τεχνήεσσαι] Vera quam Bekkerus restituit scriptura τεχνῆσσαι est, de qua vid. Lobeck. Pathol. Elem. vol. 1. p. 343.

τεχνίτιδες M. τεχνίδιες V.

19. τετράγυος—γύης] τετράγυιος—γυίης P.

20. τῆς γῆς T. et qui sola verba τὰ μέτρα τῆς γῆς supra versum habet H. ταῖς γαῖς P.

21. In T. ὁ γύης δύο στάδια ἔχει. ἀμφοτέρωθεν, ἐξ ἑκατέρου μέρος, πλάτος καὶ μῆκος. ἢ οὕτως, ἀξιόπιστος, ὡς ἐπ' ἀληθέσι καὶ τὰ μέτρα τῆς γῆς προτίθησι.

τετράγυος] τεσσάρων γυῶν. γύη δὲ μέτρον γῆς γεωργικόν. V.

ἐρειρέδατ'] γρ. ἐλήλαται. H.

ἀμφοτέρωθεν] ἐξ ἑκατέρου μέρους εἰς πλάτος καὶ μῆκος. B.E.P. νῦν πανταχόθεν. V.

115. ὄγχναι λέγονται καὶ τὰ κυδώνια καὶ τὰ ἄπια τὰ ἥμερά τε καὶ τὰ ἄγρια. ἀπὸ τοῦ ἄγχειν δὲ γίνεται καὶ τὰ ἀμφότερα. B.E.Q. οὐ κυκλικῶς τὰ ἐπίθετα προσέρριπται, ἀλλ' ἑκάστου δένδρου τὸ

P. 334, 21. μέτρων] μετρῶν P.

ὀργυιῶν] ὀργιῶν P. Correxi ex H. qui sola verba τεσσάρων ὀργυιῶν habet. Recte Eustath. p. 1572, 18. τετράγυος δὲ οὗ ἑκάστη τῶν τεσσάρων πλευρῶν γύην εἶχεν, ἵνα ᾖ τετράπλεθρος, φασὶ, τετράγωνος, ἰσόπλευρος.

P. 335, 4. πανταχόθεν] πάντοθεν Eustathius.

5. ἄπια] Legebatur ἀπίδια. Correxi ex Eustathio p. 1572, 32. ubi ἡ ἀγρία ἄπιος.

7. οὐ κυκλικῶς—ἀλλ' om. T.

Locutio οὐ κυκλικῶς integra est sane hic ut supra ad δ, 248. Dicitur de re, quæ fit, vel de verbo, quod usurpatur *more non tralaticio*, ductum exinde quod ἐν τοῖς κύκλοις homines tralaticia et trivialia loqui solent. Eodem pertinet, arbitror, ad π, 191. et ρ, 25. commemorata ἡ κυκλικὴ, *tralaticius textus, vulgata lectio*, ἡ κοινή. De Cyclo vere dixit Heynius Exc. ad Æn. 2, 297. nunquam tale corpus plurium poetarum aliter confectum fuisse quam ut grammaticus aliquis eorum recensum seu indicem fecerit: quare Boeckhio de editione quæ cum ceteris poëtis cyclicis circumlata sit, accedere non possum. HEINRICH. Hunc vocis κυκλικῶς sensum, quem hic potissimum locus tantum non porrigere videtur, ipse Boeckhius et ego pervidebamus; sed propter obscuritatem quæ remanet in priori loco ad δ, 248. equidem proferre nolebam quæ postea forsitan retractanda essent. Nam quid est illic ὀνομαστικῶς ἀκουόμενον? An idem quod alias ὄνομα κύριον? [Recte intelligit Buttmannus, etsi non vidit ὀνομαστικῶς vitiose pro ὀνοματικῶς scriptum esse.] Hoc certe scholiastæ verba, quæ tamen in his ὃς—ἀχρεῖος emendationis adhuc indigere videntur, non satis clare loquuntur. Et si ita est, nimium sane mirum, sensum vocis alicujus appellativum, et eum quidem præter quem alium non novimus, tanquam tralaticium et vulgarem opponi nomini hominis alicujus proprio. Tamen quod eleganter hic a viro amicissimo expositum est, premere eo minus sustinebam, quo magis etiamnum illi vocis κυκλικῶς expositioni faveo. Simul autem cupio ut ad sustentandam eam ex his ὀνομαστικῶς κ. τ. ἑ. exquisitiorem aliquam vocis δέκτης sensum exsculpat aliquis. Quin ipse jam ex collatione cum hac voce, illius alterius quoque, κυκλική, eandem quam Heinrichius nunc explicationem, per conjecturam proponere volueram: sed in re incerta Boeckhii opinio tanquam verisimilior se mihi commendabat, quoniam vox eo sensu, ut in Θηβαΐς ἡ κυκλικὴ, pervulgata est, illius autem usus quo ἡ κοινὴ, ἡ δημώδης dicta sit ἡ κυκλικὴ vestigium nullum: nisi forte, quod ratione et auctoritate non careat, ipsa illa κυκλικὰ ἔπη ab hominum κύκλοις dicta statuas, et ad idem sic utraque sententia redeat. Quicquid est, abjicere ego Boeckhii conjecturam nunc quoque minime possum, qui sciam tam obscuram esse illam de Cyclo materiam, ut meris conjec-

ἰδίωμα διὰ τοῦ ἐπιθέτου προστετήρηται. κάλλος μὲν γὰρ πρόσεστι ταῖς μηλέαις ἐπικειμένου τοῦ καρποῦ, τῶν δὲ συκῶν γλυκὺς ὁ καρπὸς, ἐλαίας δὲ ἀειθαλὴς ἡ φύσις. ἐκόσμησε δὲ τὴν ἐπαγγελίαν καὶ ἡ ὁμοιοκαταληξία τῶν λέξεων. B.E.P.T.

Ἄλλως. μηλέαι. τὸ μηλέαι ὡς ἰτέαι καὶ συκέαι, ὃ κατὰ κρᾶσιν γέγονε καὶ συκαῖ, ὡς γαλαῖ. P. 5

117. τάων οὔποτε καρπὸς ἀπόλλυται] οὐ μόνον εἰς τὴν ἀπόλαυσιν τῶν κεκτημένων, ἀλλὰ καὶ εἰς ὄψιν τῶν ἐντυγχανόντων. B.P.Q.T. τὸ δὲ ἑξῆς, οὐδ' ἀπολείπει ἐπετήσιος, ὅ ἐστι δι' ὅλου τοῦ ἔτους. B.P.Q.

ἐπετήσιος] ἑκάστου ἔτους. ἢ ἐφ' ὅλῳ τῷ ἔτει τοῦ ἐνιαυτοῦ. V. 10

118. ἔκφρασις λειμῶνος. P.

119. ζεφυρίη] λείπει, αὖρα. P.

122. ἀλωὴ ἐρρίζωται] ἀλωὴ νῦν ἡ ἀμπελόφυτος γῆ. ἐρρίζωται δὲ, πεφύτευται. B.

123. θειλόπεδον λέγεται ὁ τόπος ἐν ᾧ τίθενται αἱ σταφυλαὶ καὶ ἡλιάζονται. H.P. 15

θειλόπεδον] ἔνθα θεῖλος γίνεται βοτρύων καὶ ἡλιοῦνται καὶ ψύχονται, ἢ ὁ ψυκτήρ. V.

τὸν τόπον τὸν ψυκτῆρα τῶν σταφυλῶν, ἀπὸ τοῦ εἴλω τὸ θερμαίνω. E. 20

ἀπὸ τοῦ θέσθαι καὶ τοῦ εἴλη ἡ θερμασία καὶ τοῦ πέδον. ἢ κατὰ πλεονασμὸν τοῦ θ, εἰλόπεδόν τι ὂν, τὸ πεδίον τὸ ἔχον ἕλην, ἤτοι λαμπηδόνα. E.

εἰλόπεδον τὸ πέδον τὸ ἔχον ἕλην ἡλίου. τὸ δὲ ἀδιάλειπτον τῆς σταφυλῆς θέλων σημᾶναι φησὶν ὡς τὸ μὲν αὐτῆς πατεῖται, ἄλλο 25

turis non solum quod affirmes, sed etiam quod *neges*, nitatur. BUTT. Verba scholiastæ recte interpretatus est Heinrichius, qui similis usus exempla addere poterat ex schol. Il. ζ, 325. νείκεσσιν· ἡ διπλῆ, ὅτι κυκλικῶς κατακέχρηται. (ut in schol. Il. μ, 267. κοινὸν δ' ἐστὶ τὸ νείνεον). et ι, 222. κυκλικώτερον δὲ κατακέχρηται τῷ στίχῳ. In superiore vero scholio ad δ, 248. et librorum scripturæ et ipsa scholiastæ verba ostendunt veram scripturam esse non οὐ κυκλικῶς, quod in uno libro legitur Mediolanensi, sed ὁ κυκλικὸς, quum necessario illic grammaticus aliquis, quicunque ille fuerit, designandus sit, qui aliam quam Aristarchus interpretationem proposuerit.

3. ἀειθαλὴς ἡ φύσις] τὸ ἀεὶ θάλλειν Q.

4. ὁμοιοκαταληξία T. ὁμοιοκατάληξις ceteri.

10. Verba τοῦ ἐνιαυτοῦ delerem prorsus, nisi scirem ἔτος etiam dici de qualibet anni parte, ut τέσσαρα ἔτη ἐνιαυτοῦ. BARNES.

ψύχεται, ἄλλο τρυγᾶται, ἄλλο περκάζει, ἄλλο ὀμφακίζει, ἵνα δι' ὅλου ἔτους αὐτῶν ἀπολαύωσιν. B.Q.T.

θειλόπεδον ἐκ τριῶν σύγκειται, ἀπὸ τοῦ θεῖναι καὶ τοῦ ἕλη καὶ πέδον. σημαίνει δὲ τὸν ψυκτῆρα τῶν σταφυλῶν. τινὲς δὲ πλεονασμὸν τοῦ θ φασὶν, ἵν' ᾖ εἰλόπεδον, τὸ πέδον τὸ ἔχον ἕλην ἡλίου, ἤγουν θερμασίαν. P.Q.T.

λευρῷ] λείῳ, ὁμαλῷ, ἢ πλατεῖ. V.

124. τέρσεται] ἀντὶ τοῦ πέφρυκται. B.V.

125. τραπέουσι] πατοῦσιν· ἢ εἰς πίθους βάλλουσι, παρὰ τὸ ἐξ ὀπώρας εἰς οἶνον τρέπειν. E.Q.

πάροιθε δὲ] τὸ πλῆθος ἔμπροσθέν ἐστι τούτων ἐν ἑτέρῳ τόπῳ. διὸ πάλιν ἐπιφέρει, ἕτεραι δ' ὑποπερκάζουσι, οὐχὶ ὅλαι. E.V. τὸ δὲ ὄμφαξ ἀπὸ τοῦ ὠμόφαξ, καὶ ἐξ αὐτοῦ ὄμφαξ, ὁ ὠμὸς εἰς τὸ φαγεῖν. E. αἱ ὄμφακες τὸ ἄνθος καὶ τὴν κύπριν μεταβάλλουσιν εἰς σταφυλήν. ἐὰν δὲ στίξωμεν εἰς τὸ εἰσὶ, τὸ δὲ "ἄνθος ἀφιεῖσαι" τοῖς ἑξῆς συνάψωμεν, ἔσται ὁ νοῦς οὕτως· τινὲς αὐτῶν περκάζουσι, τὸ ἄνθος καὶ τὸ θερμὸν τῆς αὐξήσεως λήγουσαι καὶ πεπαινόμεναι. P.Q.

ἄνθος ἀφιεῖσαι] ἀπὸ ἄνθους εἰς ὄμφακας μεταβάλλουσαι. E.V.

126. ὑποπερκάζουσι] τῇ παραστάσει ἀκμάζουσι. οἷον ἐκ τοῦ ὄμφακος μεταβάλλουσιν εἰς τὸ μέλαν τῆς σταφυλῆς χρῶμα πεπαινόμεναι. V. ὡριμάζουσι, μελανίζουσι. τὸ ἀδιάλειπτον δὲ τῆς σταφυλῆς διὰ τούτων πάντων θέλει σημᾶναι. E.

τὸ ἕτεραι δοκεῖ παρὰ τὴν Ὁμηρικὴν χρῆσιν ἐνταῦθα κεῖσθαι. εἰπὼν γὰρ "ἕτερον μὲν θειλόπεδον, ἑτέρας δ' ἄρα τε τρυγόωσιν," εἶτα ἐκ τρίτου "ἄλλας δὲ τραπέουσιν," ἐπήνεγκεν "ἕτεραι δ' ὑποπερκάζουσιν." Ἀττικοὶ μὲν οὖν καὶ ἐπὶ τρίτῳ καὶ τετάρτῳ τάττουσι τὸ ἕτερος, ἀλλ' οὐχ ὁ ποιητής. εἴωθε γὰρ τὸ ἕτερος ἐπὶ δύο τάττειν, ὥς που καὶ ἐν τῇ Πατροκλείᾳ φησὶ, "τῆς μὲν ἰῆς στιχὸς ἦρχε Μενέσθιος αἰολοθώρηξ, τῆς δ' ἑτέρης Εὔδωρος, τῆς δὲ τρίτης Πεί-

1. ψύχεται] ψύγεται P.

5. ἤγουν θερμασίαν addidi ex T. In P.Q. sequitur τῆς ἕτερον μὲν θειλόπεδον. τὰ ἀδιάλειπτον θέλει σημᾶναι καὶ φησὶ ὡς et reliqua usque ad ἀπολαύωσιν ut in scholio præcedente. Sic etiam T., nisi quod τῆς ἕ. μ. θ. omittit et τὸ δὲ ἀδιάλ. habet, post σημᾶναι autem pergit, καὶ φησὶ καὶ τὸ μὲν αὐτῆς πατεῖται et reliqua usque ad αὐτῶν ἀπολάβωσιν. Post quæ sequitur scholion inferius (lin. 24.) τὸ ἕτεραι δοκεῖ etc.

8. πέφρυκται Barnes pro πεφύτευται.

11. τὸ—ἐν] ἤτοι ἐν E.

12. ὅλαι] ὅλας V.

25. ἐπήνεγκεν] ἐπήγαγεν P.

29. αἰολοθώρηξ om. P.T.

σανδρος" (Il. π, 173. 179. 193.) ῥητέον δὲ ὅτι κἀνθάδε παραπεφύλακται τῷ ποιητῇ ἡ ἀκρίβεια. τῶν γὰρ σταφυλῶν τὰς μὲν πεπείρους ἐπίσταται, τὰς δὲ ὄμφακας. εἶτα περὶ τῶν πεπείρων φησὶν ὡς αἱ μὲν ψύχονται, αἱ δὲ τρυγῶνται, αἱ δὲ ἄλλαι πατοῦνται. τελέσας δὲ τὸν περὶ τούτων λόγον καὶ ἐπὶ τὰς ὄμφακας μεταβαίνει ὅτι αἱ μὲν αὐτῶν ὀμφακίζουσιν, ἕτεραι δὲ μελαίνονται ἐξ ὄμφακος. P.Q.T.

πρὸς τὸ ἕτερον, ὅτι ἐπὶ δύο. ἐπὶ δὲ τοῦ τρίτου, ἄλλας. P.

127. κοσμηταὶ πρασιαὶ] ἐν τάξει διατεθειμέναι, κατασκευασταὶ λαχανιαί. ἢ αἱ τῶν φυτῶν τετράγωνοι σχέσεις, ὡς νῦν κῆπον ἢ στίχον ἀμπέλων. B.E. εὖ διατεθειμέναι πρασιαὶ, λαχανοφόροι γαῖ. B.P.T. αἱ λαχανεῖαι, ἢ αἱ τῶν φυτειῶν τετράγωνοι σχέσεις ὡς τὰ πλινθία. V.

130. ἡ δ' ἑτέρωθεν] ἡ δὲ ἑτέρα πρὸς τὸ οἴκημα τὸ ὑψηλὸν ὑπὸ τὴν ὁδὸν τῆς αὐλῆς ὁρμᾷ. M.

132. τοῖά ῥ' ἐν Ἀλκινόοιο θεῶν ἔσαν ἀγλαὰ δῶρα] δαιμονίως κατέφυγεν ἐπὶ τὴν θείαν ἐξουσίαν ὅτι ταῦτα παρῆν Ἀλκινόῳ θεῶν δωρησαμένων. P.Q.T.

τοῖ' ἄρ'] τόσα ἔσαν, ὡς "σπάρτα λέλυνται" (Il. β, 135.) κοινῶς, τὸ δὲ Ἀττικὸν τοῖα. H.

134. ἑῷ θηήσατο θυμῷ] δαιμονίως οὐ τοῖς ὀφθαλμοῖς, ἀλλὰ τῇ διανοίᾳ συνελογίζετο, ἐκ τούτων τεκμαιρόμενος τὴν τῶν χρωμένων προαίρεσιν. P.Q.

137. σπένδοντας] ἐκ τοῦ πραττομένου τὴν ὥραν τῆς εἰσόδου δεδήλωκεν. ἡ δὲ αὐτὴ ὥρα καὶ ἐπὶ τοῦ Πριάμου· ἁρμόδιος γὰρ ὁ καιρὸς πρὸς ἔντευξιν. ἱλαρωτέρους γὰρ ἡμᾶς ὁ οἶνος ποιεῖ. H.P.Q.T.

138. ᾧ πυμάτῳ] ἐπεὶ ὀνειροπομπὸς καὶ ὑπνοδότης. P.T. ἡ δὲ διπλῆ πρὸς τὸ ἔθος, καὶ ὅτι κοίτου ἀρσενικῶς φησι. P.

ᾧ πυμάτῳ] ἐπεὶ ὀνειροπομπὸς ἢ ὕπνου παρεκτικός. διὸ καὶ "εἵλετο δὲ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει" (ε, 47.). V.

4. ψύχονται scripsi pro ψύγονται. Conf. schol. ad 123.

10. γαῖ] γαῖαι B.T.

14. τὴν ὁδὸν] τὴν ὁδὸν M.

15. Hic versus in text. P. primitus omissus ab alia manu ad marginem additus est, atque eodem calamo litteris nunc fere evanidis superscriptum τοιαῦτα ἐν τοῖς δώμασι τοῦ Ἀλκινόοιο. BUTTM.

18. τὸ δὲ Ἀττικὸν τοῖα] Hæc non intelligo. Videtur tale quid dici debuisse, τὸ δὲ ἐν Ἀλκινόου Ἀττικῶς ὡς καὶ τὸ ἐν Ἅιδου καὶ τὸ ἐν Κίρκης καὶ ὅσα τοιαῦτα, ut legitur apud Eustath. p. 1574, 37.

23. ἐκ τοῦ] ἐκ τούτου P.Q.

27. κοίτου Buttm. pro καὶ τοῦτο.

ὅτε μνησαίατο κοίτου] διὰ τὸ μνείαν ἔχειν λόγου τὸν κοιμώμενον. ἢ ὅτι ὀνειροπομπὸς ἢ ὕπνου παρεκτικὸς ὁ θεός. E.

139. διὰ δῶμα] διὰ τοῦ δώματος. P.

140. ἥν οἱ περιέχευεν] ὅτι τῷ Ὀδυσσεῖ περιέχεεν, οὐ τοῖς Φαίαξιν, ὡς Ζηνόδοτος. τὸ δὲ περιέχευε διχῶς, περιέχευε καὶ περιχεῦεν. H.P. 5

Ἀθήνη] ἡ φρόνησις αὐτοῦ. P.

143. πάλιν χύτο] ἀντὶ τοῦ ἀφῃρέθη ἀπ' αὐτοῦ ὁ ἀήρ. B.

144. οἱ δ' ἄνεῳ ἐγένοντο] εἰκότως ἐθαύμαζον ὅτι προσιόντα οὐκ εἶδον. P.Q.T.

ἄνεω] ἥσυχοι, ὥσπερ μὴ ὄντες. P. 10

146. Ἀρήτη θύγατερ] κατὰ τὰς ὑποθήκας ἱκετεύει τὴν Ἀρήτην. καὶ τὸ πρὸς Ἀλκίνουν δὲ καθῆκον ἀποπληροῖ πρῶτον αὐτὸν ὀνομάζων, σόν τε πόσιν. P.T.

θύγατερ Ῥηξήνορος] τοῦ διὰ τῆς ἠνορέης ῥήσσοντος τὰς τάξεις τῶν πολεμίων. ἦν γὰρ αὐτῆς πατήρ. P.Q. 15

148. ὄλβια δοῖεν] ἐν τῷ ὄλβια δοῖεν ἡ στιγμή. λοιπὸν λέγει ποῖα ὄλβια, "ζωέμεναι καὶ παισὶν ἐπιτρέψειεν ἕκαστος τὸν ὄλβον." ἤτοι συναπτέον, ἵν' ᾖ ὀλβίως ζῆν. B.P.Q.T. ὄλβια δοῖεν ζωέμεναι] ἐν εὐδαιμονίᾳ παράσχοιεν ζῆσαι. V. ὀλβίως. Gl. P. ἀντὶ τοῦ εὐδαιμονίαν. Gl. P. 20

149. ἐπιτρέψειαν] παραδοῖεν. M.V.

οὕτως, ἐπιτρέψειεν, αἱ Ἀριστάρχου. H.P.

151. ὀτρύνετε] ἐπείξατε, παρορμήσατε. V.

152. ἄπο πήματα] ἀναστρεπτέον τὴν ἀπό. δηλοῖ γὰρ τὸ ἄποθεν. P. 25

153. ἕζετ' ἐπ' ἐσχάρῃ] ἀντὶ τοῦ παρ' ἐσχάρῃ. P.T. τὸ δὲ πὰρ πυρί οὐ μόνον τὸν λόγον ἐντέχνως ὡμίλησεν, ἀλλὰ καὶ διὰ τοῦ σχήματος τῆς καθέδρας οἶκτον ἐκίνησεν. ἅμα δὲ καὶ τὴν ἄνασσαν ᾤετο

4. οὗ] ἐν H.

5. Ζηνόδοτος] Vid. ad v. 41., ubi Zenodotus ἥ σφισιν ἀχλὺν—κατέχευε scripserat pro ἥ ῥά οἱ etc.

περιέχευε καὶ περιχεῦεν post διχῶς addit H., om. P. Annotatio inepta, nisi scholiasta scripsit διχῶς, κατέχευε (quod legitur v. 42.) καὶ περίχευεν.

6. ἡ φρόνησις αὐτοῦ] ἡ φρόνησις ἡ προβουλευσαμένη τὸν τοιοῦτον καιρόν dixit Eustath. p. 1575, 7.

19. ἀντὶ τοῦ εὐδαιμονίαν] Hoc gl. abalia manu habet P.

21. ἐπιτρέψειαν] Sic H. in textu, ἐπιτρέψειεν M.P., sed superscripto in P. a diversis manibus παραδοῖεν, ἐπιτρέψειαν.

22. οὕτως Porsonus pro ὄντως.

ἐπιτρέψειεν] ἐπιτρέψοιεν H.

προσηγορίας ἀρχὴν καὶ φιλίας ὑποθήκην αὐτῷ γενήσεσθαι. πρὸς δὲ τοὺς ζητοῦντας πῶς φησιν ὡς χειμῶνος ὄντος Ἀρήτην ἀλεαίνεσθαι παρὰ τῷ πυρί. εὔκρατος γὰρ ὁ ἀὴρ καὶ οἱ καρποὶ διαμένουσι καὶ γειτνιῶσιν Ἠλυσίῳ πεδίῳ μὲν ὄντι, ὅθεν καὶ τὸν Ῥαδάμανθυν διεκόσμησαν, τὸ δὲ ἀεὶ καθιερωμένον τῇ Ἑστίᾳ πῦρ. Τ. 5

154. πὰρ πυρὶ] ἐπὶ τὸ διακονικὸν πῦρ. Ρ.

155. ὀψὲ δὲ δὴ μετέειπε] καὶ πανταχοῦ τῇ σοφίᾳ προεδρίαν ὁ ποιητὴς δέδωκε τῶν ἀρετῶν, διαφερόντως δὲ ἐπὶ τῆς Ὀδυσσέως ἱκετείας, τοὺς μὲν ἄλλους Φαίακας ἐκπεπληγμένους καὶ σιωπῶντας εἰσάγων, ὁ δὲ τοῖς ἔτεσι προγενέστερος καὶ τὴν γνώμην φρονιμωτέραν 10 εἶχεν. Τ. Ἐχένηος] γρ. Ἀλιθέρσης. Ρ. ὁ ποιητὴς πλάττει τοῦτο τὸ ὄνομα· ἀπὸ γὰρ τοῦ ἔχειν τὴν νῆα ἐκάλεσε τοῦτον Ἐχένηον. Ε.

156. ὃς δὴ Φαιήκων] ἐπειδὴ μέλλει ἐπιτιμήσειν τῷ βασιλεῖ, προσυνίστησι τὸ πρόσωπον ὅτι ὑπὸ γήρως καὶ ἐμπειρίας ἐθάρρησεν ἐπιτιμῆσαι. Η.Τ. 15

159. οὐ μέν τοι τόδε κάλλιον] ἀντὶ τοῦ οὐ καλόν. Ρ.Q. γρ. καὶ, τό γε κάλλιον. Η.Ρ.

161. ἰσχανόωνται] ἐπέχονται τοῦ εἰπεῖν τι πρὸς τὸν ξένον. Ρ.Q.Τ.

164. οἶνον ἐπικρῆσαι] πρὸς τῷ ὄντι ἕτερον ἐπιχέαι, ὡς τὸ "κέρασσε δὲ νέκταρ ἐρυθρόν" (ε, 93.). Ρ.Q.Τ. 20

Διὶ] ἱκέσιος γὰρ ὁ θεός. Ρ.

166. ταμίη] ἡ ταμίη ἡ οὖσα ἀπὸ τῶν ἐόντων ἔνδον δούλων· ἢ ἡ ταμίη ἀπὸ τῶν ἐόντων βρωμάτων ἔνδον δότω τῷ ξένῳ φαγεῖν. Β.

167. αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε] δηλονότι περιμείνας σύμψηφον τῇ ἑαυτοῦ βουλήσει τὴν παρὰ τῶν Φαιάκων κρίσιν εὑρεῖν. Ρ.Q.Τ. 25

169. ὦρσεν ἀπ' ἐσχαρόφιν] αἰτιῶνται δέ τινες τὸν Ἀλκίνοον ὡς φιλόξενον ὄντα ἐπὶ τοσαύτης ὥρας ἐρρίφθαι ἐπὶ κόνει τὸν Ὀδυσσέα. πρὸς οὓς λεκτέον ὅτι οὐκ ἐκ τυραννίδης εἶχε τὴν ἀρχήν, ἀλλ' εἰς οὓς ἐπέλασεν. ὁπότε οὖν ἐβούλευσε τὸ κοινόν, εἰκότως αὐτὸν . . . . ἀνίστησιν. Τ. 30

170. υἱὸν ἀναστήσας] τῶν μὲν ἄλλων οὐδένα ἀποκλίνει, τὸν δὲ υἱὸν τὸν μάλιστα ἀγαπώμενον. τὰ γὰρ ὑπηρετικὰ τῶν ἐπιταγμάτων μάλιστα τοῖς στεργομένοις ἐπιτάττειν εἰώθαμεν διὰ τὸ πρόδηλον

16. γρ. καὶ] γρ. δὲ καὶ Η.
18. ἐπέχονται τοῦ εἰπεῖν] κατέχονται εἰπεῖν Q.
19. πρὸς] ἐπὶ Τ.
29. ἐπέλασεν] ἀπέλασεν Τ.
33. διὰ addidit Prellerus.

εἶναι τὴν εἰς αὐτοὺς εὔνοιαν. πρὸς δὲ τὸ πιθανώτερον ὑπὲρ τοῦ μὴ λυπῆσαι τὸν παῖδα οὕτως εἰσῆκται. τὸ δ' αὐτὸ καὶ ἐν Ἰλιάδι "πὰρ δὲ Διὶ καθέζετο, εἶξε δ' Ἀθήνη" (ω, 100.) T.

ἀγαπήνορα] τινὲς τὸν ἀγαπῶντα ἀνδρείαν, τινὲς δὲ τὸν ἀπὸ τῆς ἀνδρείας ἀγαπώμενον· ἢ ὑπὸ τῶν ἀνδρῶν ἠγαπημένον· ἢ φιλάνθρωπον προσηγορικῶς ἀπὸ τοῦ ἀγαπᾶν τοὺς ἄνδρας· ἢ ἀπὸ τοῦ ἀγαπᾶσθαι διὰ τὴν ἠνορέην, ἤτοι τὴν ἀνδρείαν. H.P.Q.V.

174. ἐτάνυσσε τράπεζαν] ὡς πτυκτῆς οὔσης τῆς τραπέζης. P. ἀθετεῖται τὸ ἔπος ὡς ἀσύμφωνον τῇ τοῦ Ὁμήρου συνηθείᾳ. οὐ γὰρ ποιεῖ τὰς τραπέζας ἀφαιρουμένας παρόντων τῶν δαιτυμόνων, ἀλλὰ μετὰ τὴν ἀπαλλαγήν. H.P.Q.T.

176. εἴδατα πολλὰ] οὐ τῆς σκευασίας, ἀλλὰ τῆς οὐσίας. T.

παρεόντων] ἐν τοῖς παροῦσι. P.

183. βραχὺ διασταλτέον μετὰ τὸ πᾶσι. P.

τὸ δὲ ἐπαρξάμενος, ἀπὸ τοῦ πρώτου ἀρξάμενος. P.B.Q.T. τὴν καταρχὴν τῆς πόσεως ποιησάμενος. V.

188. δαισάμενοι κατακείετε] εὐωχησάμενοι καθευδήσατε. ἐκ τοῦ κῶ, κείω. P. κοιμήθητε. Gl. P.

189. ἐπὶ πλέονας καλέσαντες] ἀντὶ τῆς πρός. P.

192. μνησόμεθ'] γρ. φρασσόμεθα. M.

195. μεσσηγύς γε] ἤγουν ἀναμεταξὺ ἡμῶν καὶ τῆς τούτων πόλεως. P.

196. πρίν γε τὸν] ἀντὶ τοῦ, πρὶν αὐτόν. ὡς περὶ ἑτέρου λέγει. P.

197. ἄσσα οἱ αἶσα] γενικόν ἐστι τὸ αἶσα, εἶτα εἰδικὸν τὸ κλῶθες, ὡς "ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν ἢ ἱερῆα, ἢ καὶ ὀνειροπόλον" (Il. α, 62.). τὸ μὲν γὰρ γενικὸν, τὰ δὲ εἰδικά. B.P.Q.T.

τὸ δὲ κατά πρὸς τὸ νήσαντο· τὸ δὲ Κλῶθες μεταπλασμός ἐστι τοῦ Κλωθοί, ἀπ' εὐθείας τῆς Κλωθώ, ὡς Σαπφώ, Κλωθοί ὡς Σαπφοί. B.H.P.Q.T. αἱ κατακλώθουσαι. Gl. P.

ὅσσα οἱ αἶσα κατακλῶθές τε βαρεῖαι] ὡς γενικόν τι Ὅμηρος λαμβάνει τὸ αἶσα ὡς εἰδικὸν δὲ τὸ "κατακλῶθές τε βαρεῖαι," ὡς ἐν Ἰλιάδι τὸ "ἄγε δή τινα μάντιν ἐρείομεν ἢ ἱερῆα, ἢ καὶ ὀνειροπόλον,"

4. ἀπὸ Struvius pro ὑπό.
7. ἤτοι τὴν ἀνδρείαν addidi ex H.
27. τὸ δὲ κατά — τὸ δὲ Κλῶθες om. P.
28. ὡς Σαπφώ—Σαπφοί om. T. Κλωθοί] κλωθοί H. αἱ Κλωθοί ap. Eustath. p. 1575, 42.

ὡς ἰδιωτικόν. ἡ μέντοι τοῦ κατακλῶθες πρόθεσις ἀποδίδοται πρὸς τὸ νήσαντο. E.

αἱ κατακλώθουσαι καὶ καταμοιροῦσαι ἑκάστῳ τὸ εἱμαρμένον βαρεῖαι. V. Ἄλλως. κατακλῶθες] ἐπικλώσεις τῶν Μοιρῶν. MS. Barnes.

Μοῖραι ἐπεισάγουσι τῷ ἀνθρώπῳ, ἡ Λάχεσις, ἡ Κλωθὼ, ἡ Ἀταρπώ. P.

199. εἰ δέ τις ἀθανάτων γε] εἰ δὲ θεὸς ὢν ἀνθρωπόμορφος ἥκει, ξένον τι οἱ θεοὶ βουλεύονται. οὐδέποτε γὰρ οἱ θεοὶ ἀλλοιόμορφοι ἡμῖν ἐφαίνοντο, ἀλλ' ἀναφανδόν. οὐ μόνον δὲ, φησὶν, ἐν θυσίαις ἀναφανδὸν ἡμῖν φαίνονται, ἀλλὰ καὶ ἰδίᾳ. B.P.Q.T.

γράφουσι, κατ' οὐρανόν, ἵν' ᾖ, τῶν κατὰ τὸν οὐρανόν. H.P. ἐν ταῖς Ἀριστάρχου, κατ' οὐρανόν. M.P.

200. ἐχρῆν δύο εἶναι τὰς ὀξείας ἐν τῷ, ἄλλό τι. P.

201. φαίνονται ἐναργεῖς] διὰ τὸ ὁμοιοῦσθαι τοῖς θεοῖς ἢ κατὰ ἀρετὴν ἢ κατὰ γένος. E.

ἐναργὲς] φανερόν. V.

203. τὸ καθήμενοι τοῖς ἑξῆς βέλτιον συνάπτειν. P.

204. ξύμβληται] ἐντύχῃ. προπαροξύτονον. P.

205. ἐπεί σφισιν ἐγγύθεν εἰμέν] συγγενεῖς γάρ ἐσμεν θεῶν, ὡς οἱ Κύκλωπες τῶν Γιγάντων. ὅμοροι γὰρ οὗτοι, ἢ ἄμφω ἄδικοι. B.T.

206. ὥσπερ Κύκλωπες] ἢ κατὰ γένος, ἢ κατὰ ἀδικίαν, οὕτω καὶ ἡμεῖς κατὰ δικαιοσύνην. B.E.Q. ἀγχιστεύομεν γὰρ αὐτοῖς κατὰ γένος, ὥσπερ οἱ Κύκλωπες καὶ οἱ Γίγαντες ἀλλήλοις ἀγγιστεύουσιν. B.E.Q. T. ἢ ὥσπερ Κύκλωπες καὶ Γίγαντες ἐγγὺς κατὰ γένος, ἢ κατὰ τόπον, ἢ κατὰ ἀδικίαν, οὕτω καὶ ἡμεῖς πλησίον θεοῖς κατὰ δικαιοσύνην. B. E.P.Q.V.

γιγάντων] ὅμοροι γὰρ οὗτοι. ἢ ὅτι ἄμφω ἄδικοι ὑπάρχουσιν ὅμοιοι, οὕτω καὶ ἡμεῖς θεοῖς πλησίον κατὰ δικαιολογίαν. Q.

208. ἄλλο τι μελέτω φρεσίν] οὐκ ἀργῶς ἡ προανάκρουσις. ἐπιτείνει δὲ τοὺς παρόντας ποθῆσαι μαθεῖν τὰ περὶ αὐτόν. P.Q.

4. ἐπικλώσεις τῶν M.] Sic Apollon. in Lex. Hom.

6. Ἀταρπώ] Immo Ἄτροπος.

10. ἀναφανδόν] ἀναμφαδόν P.

δὲ om. P., in quo hoc scholion v. 204. adscriptum.

12. ἐν—οὐρανόν] Hæc P. ab alia manu inter lineas.

13. ταῖς ἀριστάρχου M. τοῖς ἀριστάρχοις P.

21. ἢ T. οἱ B.

28. ὅμοροι Buttm. pro ὅμοιοι.

210. στικτέον εἰς τὸ "βροτοῖσι." τὸ "οὔστινας" ἀφ' ἑτέρας ἀρχῆς. ὑποστικτέον δὲ εἰς τὸ "ἀνθρώπων." P.

211. ὀχέοντας ὀϊζύν] ἀνέχοντας καὶ βαστάζοντας. ἀπὸ τῶν ὑποζυγίων ἡ μεταφορά. φέροντας τὴν ἐν τῷ βίῳ κακότητα. T. ἐπιφέροντας ταλαιπωρίαν. E. ὑποφέροντας. ἢ ἔχοντας καὶ βαστάζοντας. V. ἐπιφέροντας ἢ ἔχοντας. P. 5

213. καὶ μᾶλλον ἐγὼ] γρ. καὶ πλείου ἐγώ. P.

214. ὅσσα γε δὴ ξύμπαντα] τοῦτο ἀφ' ἑτέρας ἀρχῆς ἐν θαυμασμῷ ἀνεφώνησε. B.T.

215. δορπῆσαι] ἔν τισι γράφεται δειπνῆσαι. οὔπω δὲ ὥρα τοῦ ἀρίστου. P. 10

216. οὐ γάρ τι στυγερῇ ἐπὶ γαστέρι κύντερον] οὐδὲν τῆς γαστρὸς ἐπάνω βέβηκεν εἰς ἀναίδειαν. B.E.P.Q.T. κύντερον γὰρ τὸ ἀναιδέστερον, ἀπὸ τοῦ κυνὸς ὄντος ἀναιδοῦς. B. οὐ γάρ τι μισητότερον ἔπλετο καὶ ἐγένετο τῇ γαστρὶ ἄλλο, ὡς ἡ ταύτης τῶν βρωμάτων ἀκάθεκτος ἔφεσις. P.Q. κατατρέχουσί τινες τούτων ἱκανῶς ὡς ἀγενέστατα περὶ τῆς γαστρὸς διαλεγομένου καὶ δεῖπνον ἀπαιτοῦντος, καὶ ταῦτα παρὰ ἀνθρώποις οὓς οὐδέπω εἶδεν· οὐδὲ ἡρωϊκὸν τὸ παράγγελμα γαστρὶ εἴκειν. πρὸς οὓς ῥητέον ὅτι ἀποτρίβεται τὴν ὑπόνοιαν τοῦ δοκεῖν εἶναι . . . εἰς ταπεινοὺς λόγους καταβαίνειν λόγους. διὸ καὶ . . . μένειν τὰ περὶ τῆς γαστρός. T. 15 20

στυγερῇ ἐπὶ γαστέρι] ἀντίπτωσις. P.

217. ἐκέλευσεν] διὰ τούτου ἐνδείκνυται ὅτι ἀνάγκη, ὡς ἐπὶ ἀπαραιτήτου δεσπότου. T.

ἔο μνήσασθαι] αὐτῆς φροντίσαι. P. 25

1. στικτέον—ὑποστικτέον] Hæc ratio nunc obtinet. Apparet itaque ex hoc præcepto, exturbatam esse ea aliam, et quidem multo saniorem, hanc: φυήν· ἀλλὰ θ. βροτοῖσιν, οὔστινας κ. τ. ἑ., τοῖσίν κεν—ἰσωσαίμην. BUTTM. Interpunctionem vulgatam præfert Friedlaender. de Nican. p. 65.

2. Verba ὑποστικτέον εἰς τὸ ἀνθρώπων sunt etiam in H.

ἀνθρώπων] ἄνθρωπον P.

9. ἀνεφώνησεν] ἀνεφώνησεν· ὥς κ' ἐμὲ τὸν δύστηνον ἐμῆς ἐπιβήσετε πάτρης—δῶμα (v. 223.) T.

10. ἔν τισι γράφεται δειπνῆσαι] Hoc etiam in H. annotatum.

δειπνῆσαι — ἀρίστου Cobetus. δειπνῆσαι δ' οὔπω δὲ ὥρα οὐκ ἀρίστου P.

13. ἐπάνω βέβηκεν Struvius pro ἐπαναβέβηκεν.

18. οὓς—εἶδεν correxi pro οἵους—ἴδεν—.

20. Alterutrum λόγους delendum.

23. τούτου ἐνδείκνυται] τοῦτο ἐκέλευσεν Prellerus.

Ζηνόδοτος ἕο γράφει ἀντὶ τοῦ ἑαυτῆς. H.P.

δασυντέον τὴν ἕο· πρωτότυπος γάρ ἐστι γενικῆς πτώσεως. P.

221. ληθάνει] λανθάνει ἡ γαστήρ. τὸ ληθάνει ὡς τὸ "μελάνει δὲ πόντος ὑπ' αὐτῆς" (Il. η, 64.). P.

ἐνιπλήσασθαι] αὕτη μέντοι ποιητικωτέρα. ἡ δὲ Ἀριστάρχου ἐμ- 5
πλησθῆναι. H.P.

222. ὀτρύνεσθαι] ὅτι ἀπαρέμφατον ἀντὶ προστακτικοῦ, ὅπερ ἀγνοῶν Ζηνόδοτος γράφει ὀτρύνεσθε. H.P.

ὀτρύνεσθε] ἐπείγεσθε. M.V.

223. ὥς κ' ἐμὲ] ἄμεινον ὀρθοτονεῖν τὴν ἐμέ. H.P. 10

224. βέλτιον τοῖς ἄνω συνάπτειν τὸ "πολλὰ παθόντα," ἀφ' ἑτέρας δὲ ἀρχῆς προφέρεσθαι τὸ "ἰδόντα με." B.P.

καὶ λίποι αἰών] καταλείψειέ με ἡ ζωή. P.

225. κτῆσιν ἐμὴν] ὅτι φιλοχρήματος ἐκ τῶν τοιούτων Ὀδυσσεὺς φαίνεται, κτῆσιν ἐμὴν δμῶάς τε. Q. ἄμεινον ἂν ἔσχε, πατρίδ' ἐμὴν 15
ἄλοχόν τε. κομιδῇ γὰρ σμικρολόγος φαίνεται προτάσσων τῶν φιλτάτων τὴν κτῆσιν, ὡς παρὰ Μενάνδρῳ Σμικρίνης ἐν Ἐπιτρέπουσιν. ὁ δὲ Πῖός φησιν ὅτι διὰ τοῦ "κτῆσιν ἐμὴν δμῶάς τε" συνίστησιν ἑαυτὸν ἐνδεικνύμενος τὴν οἴκοι εὐδαιμονίαν. οὐ μέντοι καὶ περὶ τῆς γυναικὸς νῦν λέγει· τὸ γὰρ ἔχειν γυναῖκα καὶ τοῖς ἀπερριμμένοις ἀκο- 20
λουθεῖ. P.Q. ἐκ τούτου ἐνδείκνυται ὅτι καὶ αὐτός ἐστι τῶν ἐχόντων κτήματα, οὐχ οἷος δὲ ὁρᾶται, ὥσπερ καὶ Ναυσικάᾳ ἔλεγεν "πολὺς δέ μοι ἕσπετο λαός" (Od. ζ, 164.). ἔνδειξιν οὖν ἐποίει ὅτι οὐ παρημελημένος ἦν, ἀλλ' ἔστιν αὐτῷ καὶ πατρὶς καὶ οἶκος καὶ κτήματα. T. 25

διχῶς, δμωάς καὶ δμῶας. H.P.

226. οἱ μὲν ἔστιξαν ἐπὶ τὸ ἐπήνεον, οἱ δὲ συνῆψαν, ἠδ' ἐκέλευον πεμπέμεναι. P.

1. ἕο] ἑοῦ Duentzer. Zenod. p. 58. Conf. ad ε, 459. et ad Il. β, 239. τ, 384.

5. Ἀριστάρχου] ἄρι H.

7. ὀτρύνεσθαι] ὀτρύνεσθ' in textu H.P., sed H. in marg. γρ. ὀτρύνεσθαι. ὅτι ἀπ. H. ὅτι om. P. Sola verba ἀπ. ἀντὶ προστακτικοῦ habet B.

8. γράφει ὀτρύνεσθε H. γράφει ὀτρύνεσθαι P.

10. ἄμεινον — ἐμέ] Hoc scholion in P. adscriptum ad ἐκ δέ με v. 220.

17. Σμικρίνης ἐν Ἐπιτρέπουσιν Meinek. ad Menandr. p. 64. pro σμικρύνησιν ἐπιτρέπουσιν.

18. ὁ δὲ Πῖός φησιν Maius. ὁ δ' ἐπεὶ ὅ σφισιν P. ὁ δὲ ἐπειός φησιν Q. συνίστησιν] *Exhibet, commendat.* Sic ad v. 241. 333. λ, 619. BUTTMANN.

232. ἀπεκόσμεον] ἄκοσμον ἐποίουν τὴν τράπεζαν αἴροντες τὰ ἐν αὐτῇ. P.Q. τὰ ὅπλα νῦν τραπέζας λέγει. P.

ἀφαιροῦνται τὰ σκεύη τὰ ἔχοντα ἔσωθεν τὴν δαῖτα. E.

ἔντεα δαιτός] τὰ σκεύη τὰ ἔχοντά τι ἔσωθεν τῶν εἰς εὐωχίαν, οἷον κρατῆρες, πίνακες, κύπελλα. B.P.T. τὰ ὅπλα τῆς εὐωχίας, οἷον τραπέζας καὶ τὰ τοιαῦτα. V.

234. ἔγνω γὰρ] εἵματα γὰρ ἰδοῦσα φάρος τε χιτῶνά τε ἔγνω. P.T.

235. τά ῥα] ἀντὶ τοῦ δή. P. ἃ δή. V.

τεῦξε] Ἰακῶς τὸ τεῦξε. P.

238. ὅτι πρὸς τὸ τελευταῖον ἀποκρίνεται μόνον, τίς τοι τάδε εἵματ' ἔδωκεν. P. δοκεῖ τισὶ μικροπρεπὲς καὶ ταπεινὸν τὸ τὴν Ἀρήτην παρὰ τοῦ ξένου πρῶτον περὶ τῆς ἐσθῆτος πυνθάνεσθαι. ῥητέον δὲ ὅτι πολλῶν ἕνεκα ἐντεῦθεν ἤρξατο. πρῶτον μὲν ἐπιγνῶναι τὴν γυναῖκα τὰ ἱμάτια εἰκὸς ἦν πρώτην· καὶ γὰρ ὑφαίνειν καὶ θεραπεύειν καὶ διαχειρίζειν τὰ τοιαῦτα τῆς γυναικείας φύσεως ἔργον. T.

239. οὐ δὴ φῆς] τὸ φῇς ὅτε σὺν τῷ ι γράφεται, ἐνεστῶτός ἐστι καὶ ὀξύνεται, ὅτε δὲ ἄνευ τοῦ ι, παρατατικός ἐστιν Ἰακῶς ἐκ τοῦ ἔφης γεγονὼς καὶ περισπᾶται. P.Q. ἔνιοι γράφουσιν, οὐ δὴ φῆς, ἀντὶ τοῦ, οὐδὲ ἔφης. H.P. εἶπας. V.

241. ἀργαλέον βασίλεια] τὸ μὲν ἐρώτημα βραχύ, πόθεν ἔλαβε τὴν ἐσθῆτα· ὁ δὲ οὐκ εὐθὺς δηλοῖ ὅτι παρὰ τῆς Ναυσικάας· οὕτω γὰρ τήν τε Ἀρήτην συνταράξειν ἔμελλε, τήν τε κόρην εἰς αἰσχρὰς ὑποψίας ἐμβαλεῖν, ἑαυτόν τε εἰς κίνδυνον τὸν ἔσχατον καταστήσειν· ἀλλὰ κεφαλαιωδῶς ἀποδύρεται τὰς ἑαυτοῦ συμφορὰς, καὶ τὴν παρὰ Καλυψοῖ διαγωγὴν, καὶ τὸν ἔρωτα τῆς θεοῦ, δι' ὧν συστήσειν ἑαυτὸν ἔμελλεν. ὡς ὁ καταφρονήσας τῶν θεῶν οὐκ ἂν εἰς τὰ ἀνθρώπινα παρανομεῖν ὑπέμεινε. καὶ τὸ πέρας οὕτω διέθηκεν αὐτοὺς ὥστε καὶ ἐπιτιμῆσαι τὸν Ἀλκίνουν, ὅτι μὴ καὶ ἤγαγεν αὐτὸν φανερῶς ἅμα ταῖς θεραπαίναις ἡ θυγάτηρ. E.Q.

διηνεκέως] δι' ὅλου ἀπ' ἀρχῆς καὶ ἕως τέλους. E. ὁλοκλήρως. P. νῦν ταχέως· ἢ τὸ σύμπαν. V.

243. τοῦτο δέ τοι ἐρέω] πρὸς τὸ αὐτό. P.

2. τραπέζας scripsi pro τραπέζης.
1. τὰ ἐν αὐτῇ om. P.
7. εἵματα γὰρ T. εἵματ' P.
16. φύσεως ἔργον] Scholion non integrum. Omisit librarius reliqua τοῦ λυτικοῦ argumenta.

τὸ μεταλλᾷς ἀντὶ τοῦ πολυπραγμονεῖς καὶ ἀνερευνᾷς, ὥσπερ οἱ τὴν γῆν μεταλλεύοντες καὶ τὰ ταύτης ὑπεξάγοντες ψήγματα. P.Q.

διὰ τοῦτο εἰς ἐπιθυμίαν αὐτοὺς ἄγει καὶ τῶν προσυμβεβηκότων αὐτῷ. P.T.

244. Ὠγυγίη τις νῆσος] ἐπαινεῖται Ὀδυσσεὺς ὅτι πυθομένης τῆς Ἀρήτης πῶς καὶ πόθεν ἔχοι τὰ ἱμάτια, πρὶν περὶ τοῦ ὅπως ἀποκρίνεσθαι δεξιῶς τὴν μὲν παῖδα πονηρίας ἀπαλλάξειεν, ἑαυτὸν δὲ συστήσειε τοῖς Φαίαξιν, ἀφ' ὧν δόξει σεμνότερος εἶναι καὶ τιμιώτερος. εἰ μὲν γὰρ μόνον τὸν ἀποκρίσεως τύπον διῆλθεν, ἴσως ἂν τήν τε κόρην αἰσχρᾶς αἰτίας ἔνοχον κατέστησε καὶ τὸν ἑαυτοῦ τρόπον διέβαλεν· ἐπειδὴ δὲ ἄνωθεν ἀρξάμενος τόν τε πλοῦν καὶ τῶν χειμῶνα καὶ τὰς ἀτυχίας τὰς ἐν θαλάσσῃ διηγεῖται καὶ τὴν κατὰ τὸν ποταμὸν ἔκβασιν καὶ τὸ τελευταῖον ἱκετείαν, ᾗ χρησάμενος ἁπάντων τῶν προσηκόντων φησὶ παρ' αὐτῆς τυχεῖν, εὔλογον μὲν τὴν πρόφασιν τοῦ λαβεῖν τὰ ἱμάτια κατεσκεύασε, καλῶς τε τῆς παρθένου τὴν ὑποψίαν ἀπέλαβεν, εὖ δὲ τῆς μητρὸς αὐτῆς τὴν ἀπορίαν ἔπαυσεν, ἀκέραιον δὲ διαβολῆς τὴν ἑαυτοῦ φύσιν κατέστησε. T.

245. δολόεσσα Καλυψώ] καὶ μὴν οὐκ ἦν φαρμακίς, ἀλλ' ὅτι αὐτὸν ἦγεν ἐξαπατῶσα καὶ ἀφῄρει τὸν νόστον. T.

248. ἐφέστιον] ἐπὶ τὴν οἰκίαν αὐτῆς ἐπιξενωθησόμενον. V. ἐγκάτοικον. P.

249. οἷον, ἐπεί μοι νῆα θοὴν] τὸ μὲν ναυαγῆσαι, ἀνθρωπίνης τύχης, τὸ δὲ περισωθῆναι ἀπὸ τῆς τῶν θεῶν εὐεργεσίας καὶ εὐνοίας σημεῖον. τῷ ἀποτελέσματι οὖν θαρρῶν τὸ ἐκ τῆς τύχης συμβεβηκὸς εἰς τοὺς θεοὺς ἀναφέρει, εἰς ἔλεον ἐπισπώμενος τοὺς Φαίακας. P.Q.T.

ἀργῆτι κεραυνῷ] ταχέως διακονουμένῳ διὰ λεπτότητα. ἔστι δὲ κατ' ἀντίφρασιν. E.

250. ἐλάσας] γρ. καὶ ἔλσας. H. ἀντὶ τοῦ συστρέψας. H.T. ἔλσας] γρ. ἐλάσας. διεσκέδασε. P. ἀντὶ τοῦ συστρέψας. P.

ἐλάσας] συνελάσας. ἐκέασε] διέσχισε. V. ἐκέασσε, διχῶς. P.

251. ἀπέφθιθεν] ὡς κόσμηθεν. ἀθετοῦνται δὲ στίχοι η'. ὕστερον γὰρ ταῦτα λέγεται. εἰ δὲ προείρητο, οὐκ ἂν ἐπαλιλλόγει. H.P.

3. διὰ—αὐτῷ] Hæc in fine scholii proximi habet T.

καὶ τῶν π. P. καὶ προσσυμβεβηκότων T.

30. διχῶς] Id est ἐκέασσε et ἐκέδασσε.

31. ἀπέφθιθεν] Conf. schol. ad ε, 110.

στίχοι η'] Versus dicit 251–258. quibus obeli appicti sunt in M.

32. προείρητο Porsonus. προηρεῖτο H. προηρῆτο P.

252. τρόπιν] τὸ κατώτατον μέρος τῆς νηός, περὶ ὃ σχίζεται τὸ κῦμα. ἢ τὸ μέσον τῆς νεὼς ξύλον. P.Q.V. τρόπις λέγεται Λατινικῶς δελφίν. H.

δελφῖνον ἐναγκαλισάμενος, περιλαβών. Gl. P.

ἀμφιελίσσης] τῆς ἀμφοτέρωθεν συστρεφομένης ὑπὸ τῶν κω- 5
πῶν. P.

253. δεκάτῃ δέ με νυκτὶ] γρ. δεκάτῃ δ' ἐν νυκτί. H.

255. τὸ "ἥ με λαβοῦσα" βέλτιον ἀφ' ἑτέρας ἀρχῆς ἀναγινώσκειν, αὕτη μ' ἑλοῦσα. P.

256. ἐνδυκέως] ἐπιμελῶς, ἀπὸ τοῦ κῆδος ἡ φροντίς. καὶ ὤφειλεν 10
εἶναι ἐνκηδέως ἀλλ' ἐν μεταθέσει τῶν γραμμάτων καὶ τροπῇ τοῦ η εἰς υ γίνεται ἐνδυκέως. B.

257. θήσειν ἀθάνατον] καὶ διὰ τί μὴ βεβούληται; ἔοικε διὰ τό, οὔποτ' ἔπειθε. δῆλον οὖν οὐ τὸ μὴ θέλειν γενέσθαι ἀθάνατος, ἀλλὰ τὸ μὴ πιστεῦσαι αὐτῇ τοιαῦτα λεγούσῃ. ἡ μὲν γὰρ ἔφασκε ποιή- 15
σειν, ὁ δὲ οὐκ ἐπίστευεν. ἀλλ' οὐχὶ πιστεύων παρῃτεῖτο. ᾔδει γὰρ ὡς σοφὸς ὅτι ἀθανασίαν οὐχ αἱ τοιαῦται δαίμονες χαρίσαιντ' ἂν, ἀλλὰ τοῦ Διὸς ἂν εἴη καὶ τῶν ἔργων ἃ πέφυκεν ἀπαθανατίζειν. Ἀντισθένης δέ φησιν ὅτι τοὺς ἐρῶντας ᾔδη ψευδομένους τὰς ὑποσχέσεις. τοῦτο γὰρ ποιεῖν οὐκ ἠδύνατο δίχα Διός. P.Q.T. τὰ γὰρ οὕτως 20
ἐνδείκνυται ὅτι πάντων τοῦ πραγμάτων προτέθεικε τὸν νόστον, ἵνα μᾶλλον ὑπακούσῃ Ἀλκίνοος. T.

258. οὔτι τε] γρ. οὔποτε. P.

263. Ζηνὸς ὑπ' ἀγγελίης] ὑπονοῶν Ὀδυσσεὺς φαίνεται τὴν ὑποστολὴν τοῦ Ἑρμοῦ· ὡς ἐξαίφνης γὰρ καὶ οὐ προσδοκήσαντος ἐγένετο 25
ἡ ἐκπομπὴ εἰς αὐτόν. T. ἀγνοῶν τὴν ἐπιδημίαν τοῦ Ἑρμοῦ τοῦτο φησί. B. ἀγγελίης, νῦν κελεύσεως. P.V.

ἢ καὶ νόος] διστακτικῶς λέγει. διὸ ὑφ' ἓν ἀναγνωστέον τὸν στίχον. οὐδὲ γὰρ ᾔδει εἰ ὁ Ζεὺς ἔπεμψε τὸν Ἑρμῆν. P.Q.T.

264. βραχὺ διασταλτέον μετὰ τό, ἔδωκε, τὴν λύσιν τῶν ἑξῆς. P. 30

269. γαίης Φαιήκων] γρ. γαίης ὑμετέρης. P.

2. ἢ τὸ μέσον—ξύλον om. Q.
3. δελφίν] δελφῖν H.
4. δελφῖνον] Immo δελφῖνα.
18. Ἀντισθένης] Cf. schol. ε, 211.
19. ᾔδη T. (qui ᾔδει in scholio v. 263.) εἰδὼς P.Q.
20. ἠδύνατο T. ἐδύνατο P.Q.
τὰ γὰρ] Scribendum καὶ γὰρ, nisi aliquid excidit.
28. διστακτικῶς] διστακτικὸν T. In Q. est διαστατικῶς ἀναγνωστέον τὸν στίχον· οὐ γὰρ ᾔδει εἰ ὁ ζεὺς ἔπεμψεν αὐτὸν ἑρμῆν.

270. τὸ δυσμόρῳ ἀνεφώνησεν. ὄντως γὰρ ἔτι ἔμελλε δυστυχήσειν. P.T.

279. ἀτερπέϊ χώρῳ] ἀντὶ τοῦ ἀτρεπέϊ. T. ὅθεν οὐκ ἦν τραπῆναι καὶ ἐκφυγεῖν, ἢ ἐκτροπὰς μὴ ἔχοντι καὶ ὁδούς. B.Q.T. ἐκτροπὰς— ὁδοὺς, ὡς τερπικέραυνος. P. χαλεπῷ. Gl. P.

283. θυμηγερέων] ἐμαυτὸν ἐπεγείρων καὶ τὴν ψυχὴν συλλέγων καὶ ἐμαυτὸν ἀνακτώμενος. B.P.T. λειποψυχῶν, ἢ συλλαμβάνων καὶ συνάγων καὶ ἀνακτώμενος τὴν ψυχήν. E.Q.V.

ἀμβροσίη νύξ] ἐν ᾗ οὐ περιπατοῦσι βροτοί. P.Q.

284. διιπετέος ποταμοῖο] τοῦ ἀπὸ Διὸς ἤτοι ἀέρος ἀρδευομένου. E. τοῦ ὑπὸ τῶν τοῦ Διὸς ὄμβρων πλήρους. P.

285. βραχὺ διασταλτέον μετὰ τὸ ἐκβάς. H.P.

ἐκβὰς ἐν θάμνοισι] τρία εἴδη τῶν φυτῶν, βοτάναι, θάμνοι καὶ δένδρα. αἱ μὲν ἐπὶ ἐδάφους τῆς γῆς ἀπομένουσαι βοτάναι λέγονται, αἱ δὲ μέσαι θάμνοι, τὰ δὲ εἰς ὕψος δένδρα. οἷον ἄγρωστις καὶ ἡ λοιπὴ πόα, βοτάνη, βάτοι δὲ καὶ τὰ ἐν τοῖς ὑγροῖς γινόμενα θάμνοι. δένδρα δὲ, οἷον συκῆ, ἐλαία καὶ τὰ ὅμοια. E.H.P.Q.

286. ἠφυσάμην] κυρίως οὐ περιεβαλόμην, ἀλλ' ἐπήντλησα. καὶ ἐπέβαλον ἀθρόα· νῦν δὲ ἐπεχεάμην. Q.V. ἐπεσπασάμην, περιεβαλόμην. P.

289. δύσετό τ' ἠέλιος] εἰς δύσιν ἐκλίνετο. Ἀρίσταρχος γράφει δείλετο, ὅ ἐστιν εἰς δείλην ἐκλίνετο. πρὸ δυσμῶν γὰρ, φησὶ, συνέτυχε τῇ Ναυσικάᾳ ὁ Ὀδυσσεύς. H.P.

δείλετό τ' ἠέλιος] ὅ ἐστιν εἰς δείλην ἐκλίνετο· πρὸ δυσμῶν γὰρ συνέτυχε τῇ Ναυσικάᾳ ὁ Ὀδυσσεὺς, τοῦ ἡλίου μὴ φθάσαντος εἰς τὸν δυτικὸν ὁρίζοντα, ἀλλ' ἐπέχοντος ἐφ' ἱκανόν. ὅτε γὰρ ἔδυ ὁ ἥλιος, τότε εἰς τὸ ἄλσος ἔφθασαν τῆς Ἀθηνᾶς οὗτοι, ὡς καὶ ὁ ποιητὴς

1. τὸ δ. Buttm. pro τῷ δ.
δυσμόρῳ T. δυσμόρῳ φησὶν P.
ἔμελλεν T. ἔμελλον P.
9. περιπατοῦσι] φέρονται Q.
12. μετὰ τὸ ἐκβάς om. P.
13. δένδρα] δένδρη H. δένδροι P.
15. δένδρα] δένδροι P.
16. δένδρα] δένδρεα P.
18. οὐ om. Q.
καὶ—ἐπεχεάμην om. Q.
21. Ἀρίσταρχος] Aristarchi scripturam memorat etiam Eustath. p. 1580, 17.
22. δείλετο in lemmate scripsi pro δύσετο.
εἰς δείλην —] Vides ipsa Aristarchi verba, quibus suam ille correctionem commendabat, poni hic relata ad lectionem vulgatam. Unde apparet in lemmate reponendum esse δείλετο; cui mox in hoc ipso scholio scriptura δύσετο ex alio loco tanquam ibi convenientior opponitur. BUTTM.

"δύσετό τ' ἠέλιος καὶ τοὶ κλυτὸν ἄλσος ἵκοντο" (ζ, 321.), καὶ τὰ λοιπά. Ε.

δείελον] πρὸς δείλην. V.

290. ἀμφιπόλους δ' ἐπὶ θινὶ] τὸ γὰρ λέγειν ὅτι ἐκ τῆς βοῆς τῆς ἐπὶ τὴν σφαῖραν ἀνέστην οὐ χάριεν. τί γὰρ ἀναγκαῖον ἦν κατα- 5 γορεύειν τῆς παιδὸς ὅτι ἔπαιξεν, ὡς δηλοῖ καὶ τὸ ἐπιφερόμενον; P.Q. πάντα μὲν εὔκαιρα, δεξιώτατον δὲ εἰς ἀπόλυσιν τῆς ὑπονοίας τὸ μὴ μόνης περιτυχεῖν, ἀλλὰ μετὰ ἀμφιπόλων. T.

292. ἤμβροτεν] ἀπέτυχεν. ἐξ οὗ καὶ ἀμφίβροτος ἡ ἀσπὶς ἡ ἀμφοτέρωθεν τὸν βροτὸν περιέπουσα. Ε. 10

293. ὡς οὐκ ἂν ἔλποιο] κοσμίως ἄγαν. ὡς γὰρ πατὴρ περὶ νέας διαλέγεται ἀποδεχόμενος τὸ σπουδαῖον τοῦ τρόπου. οὕτω, φησί, Ναυσικάα πρός με διετέθη καλῶς, ὡς οὐκ ἂν ἐλπίσειας νεώτερόν τινα πρᾶξαι ἐπί τινι ἄλλῳ καθ' ἡμᾶς πάσχοντι. H.P.Q. Ἄλλως. οὕτως Ὁμηρικὸν τὸ τῆς ἑρμηνείας. ἀντὶ γὰρ τοῦ ἔλποιτο. H. 15

ῥεξέμεν] πρᾶξαι. V.

298. ἀπαμείβετο] ἀνταπεκρίνετο, ὅ ἐστιν ἐξ ἀμοιβῆς προσεφθέγγετο. P.

299. τέλεον καὶ μεγαλοπρεπὲς τὸ ἦθος τοῦ Ἀλκινόου τοσοῦτον ἀπέσχε τοῦ μέμψασθαι μικροψύχως τὴν θυγατέρα ἐν τῇ δόσει τῶν 20 ἱματίων, ὡς μᾶλλον αἰτιᾶσθαι ὡς ἐξέλιπεν εὐεργετοῦσα . . τὸ μὴ μετὰ θεραπαινίδος ἀγαγεῖν κατὰ τὴν πόλιν. T.

301. ἐς ἡμέτερον] τουτέστιν εἰς τὸν ἡμέτερον οἶκον. Ἀττικὸς δὲ ὁ σχηματισμός. V. οὕτως, ἡμετέρου. Ἀττικὸν δὲ τὸ σχῆμα ὡς, ἐς διδασκάλου. H.P. 25

303. μὴ νείκεε κούρην] μὴ τὴν ἄψογον σὴν θυγατέρα τὴν Ναυσικάαν, ὦ Ἀρήτη, φιλονεικήσῃς ἐμοῦ ἕνεκεν. αὕτη μὲν γὰρ ἐκέλευσε συνακολουθῆσαί μοι δουλίδα, ἐγὼ δὲ αὐτὴν οὐκ ἠθέλησα. H.P.Q. καὶ ἐνταῦθα τεχνικῶς ἄγαν ὁ Ὀδυσσεὺς ἀπολογεῖται ὑπὲρ τῆς κόρης· πλέον γὰρ προενόησε τοῦ τῆς παιδὸς εὐσχήμονος ἢ τοῦ ἰδίου 30

3. δείελον—] Hoc in recentt. scholiorum edd. omissum in antiquioribus legitur inter glossas ad ἀνῆκεν et τεῆς. Natum autem suspicor hoc etiam ex Aristarchi lectione ita explicata: δείλετο· πρὸς δείλην ἦν. BUTTM.

11. ἔλποιο] Sic Q. Sed in P. ἔλποιτο, neque aliter in textu: ubi tamen suprascriptum ἐλπίσειας et ad marg. γρ. ἔλποιο. BUTTM.

ὡς γὰρ] καὶ γὰρ P.

24. ἡμετέρου] Conf. ad β, 55.

27. ὦ Ἀρήτη om. Q.

ξυμφέροντος, ἐξ οὗ φιλανθρωποτέραν αὐτὴν ἔμελλεν ἀποδεῖξαι. "ἡ μὲν γάρ μ' ἐκέλευσεν, ἀλλ' ἐγὼ οὐ πιθόμην." ἀλλ' ὁ μὲν τὴν μὲν παρθένον ἀκαταιτίατον ἐφύλαξεν, ἑαυτὸν δὲ ὠφέλησε ψευσάμενος. παραδεκτέον ψεῦδος ὅτε ἑαυτόν τις σώζει μὴ βλάπτων τὸν φίλον. T.

νείκεε] γρ. νεικέο. P. 5

305. δείσας, αἰσχυνόμενός τε] ψεύδεται μέν, ἀλλ' ἀναγκαίως ὑπὲρ τοῦ μὴ βλάψαι τινά. ἰδὼν δὲ τὴν γνώμην τοῦ βασιλέως ἐπὶ τὸ φιλανθρωπότερον ῥέπουσαν ἀμφότερα πράττει. τὴν μὲν γὰρ πρόνοιαν τῆς παρθένου ἐξιδιοποιεῖται, τὴν δὲ φιλανθρωπίαν ἐκείνης οὐκ ἀφαιρεῖται. E.P.Q. 10

δαιμονίως δὲ καὶ ἑαυτὸν τῷ ἁμαρτήματι συμπεριέλαβεν. P.T.

307. δύσζηλοι γὰρ] κακοῦργον γὰρ ὁ ζῆλος καὶ ἐπίψογον τίθεται. T.

309. ξεῖν', οὔ μοι τοιοῦτον] συνῆκεν ὁ Ἀλκίνοος καὶ περὶ ἑαυτοῦ ἀπολογεῖται. T. 15

φίλον κῆρ] γρ. νόημα. H.P.

310. ἀμείνω δ' αἴσιμα πάντα] τὰ αἴσιμα πάντα ἀμείνονα εἰσί. δεῖ γὰρ μήτε ἀνάλγητον εἶναι, ὥστε μηδὲ ἐφ' ἑνὶ κινεῖσθαι, μήτε ματαίως κεχολῶσθαι. ἐφ' ἑκάστου γὰρ ἄμεινον τὸ σύμμετρον καὶ καθῆκον. E.P.Q. γνωμικὸν, τὰ καθήκοντα καλά εἰσιν. E.P.Q. τὰ 20 καθήκοντα πάντα καλά ἐστιν. V.

311. αἰ γὰρ Ζεῦ πάτερ] τοὺς ἐξ Ἀρίσταρχος διστάζει Ὁμήρου εἶναι. εἰ δὲ καὶ Ὁμηρικοὶ, εἰκότως αὐτοὺς περιαιρεθῆναί φησι. πῶς γὰρ ἀγνοῶν τὸν ἄνδρα μνηστεύεται αὐτῷ τὴν θυγατέρα καὶ οὐ προτρεπόμενος, ἀλλὰ λιπαρῶν; P. 25

αἰ γὰρ, Ζεῦ τε πάτερ] ἄτοπος, φασὶν, ἡ εὐχή· μὴ γὰρ ἐπιστάμενος ὅστις ἐστὶ μηδὲ πειραθεὶς εὔχεται σύμβιον αὐτὸν λαβεῖν καὶ γαμβρὸν ποιήσασθαι. ἦν μὲν παλαιὸν ἔθος τὸ προκρίνειν τοὺς ἀρίστους τῶν ξένων καὶ δι' ἀρετὴν ἐκδιδόναι τὰς θυγατέρας, ὡς καὶ ἐπὶ Βελλεροφόντου, Τυδέως, Πολυνείκους. οὐ γὰρ εἰς τὸν πλοῦτον ἀφεώ- 30

5. νεικεο sine accentu P.
7. βλάψαι] θλίψαι E.
11. δὲ καὶ T. in quo hoc scholion proximo adjunctum est. δὲ om. P.
20. γνωμικὸν om. P.
23. εἰ δὲ καὶ Ὁμηρικοὶ] Id est, etiamsi nihil continent quod a consuetudine sermonis et antiquitatis Homericæ abhorreat. Sic recte interpretatur Lehrs. Aristarch. p. 354.
28. παλαιὸν ἔθος τὸ προκρίνειν restitui ex scholio ad v. 313. παλαιὸν κρίνειν T.

ρων οἱ πολλοὶ, ἀλλ' εἰς τὴν ἀρετὴν τὴν ἀπὸ τῆς ὄψεως· "βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικας" (Od. ω. 253.) ὁρᾷ δὲ δὴ καὶ ἐκ τῆς ὄψεως τὸν Ὀδυσσέα καὶ ἐκ τῶν λόγων τεκμαίρεται τὸ ἀξίωμα τοῦ ἀνδρός. ἴσως δὲ καὶ πεῖραν αὐτοῦ λαμβάνων τοῦτο εἴρηκεν, ὡς εἰ μὲν θέλοι παραμένειν παρ' αὐτοῖς καὶ πολιτεύεσθαι, ἐλέγχοιτο ἂν ἀλαζονευσάμενος περὶ τῆς Καλυψοῦς καὶ δι' ὧν ἐπιθυμεῖν ἔφησε τῆς πατρίδος καὶ τῶν οἰκείων· οὐ γὰρ εἰκὸς εἶναι τὴν μὲν ἀθανασίαν ὑπεριδεῖν, θνητῆς δὲ γυναικὸς ὑπομεῖναι γάμον. εἰ δὲ μηδὲν προσέχοι τῷ γάμῳ, τεκμήριον εἶναι τῆς ἐπιεικείας αὐτοῦ καὶ τῆς πίστεως ὧν ἔφη περὶ τῆς Καλυψοῦς, ὥστε προθυμότερον περιγενέσθαι τὴν παρασκευὴν πρὸς τὸν νόστον, ὡς ἀνδρὸς τιμῆς καὶ πολλῆς χάριτος ἀξίου. T.

312. τοῖος ἐὼν] ἀντὶ τοῦ μένων οἷος εἶ τὴν γνώμην, καὶ μηδὲν τῆς προαιρέσεως τῆς νῦν παρούσης παρατρέπων. P.Q.T.

313. παῖδά τ' ἐμὴν ἐχέμεν] ταῦτα λέγει πειρώμενον τοῦ Ὀδυσσέως, εἰ ταῖς ἀληθείαις παραιτεῖται θεοῦ γάμον. εἰ γὰρ προπετῶς ὑπόσχηται γαμήσειν, πάντως ἐλεγχθήσεται κἀκεῖνο ψευδόμενος. V. ταῦτά φησι πειρώμενος εἰ ταῖς ἀληθείαις ἀπείπατο τὸν τῆς Καλυψοῦς γάμον. ἢ τοῦτο μὲν κακόηθες καὶ οὐ βασιλικὸν, οὐδὲ κατὰ τὸ Ἀλκινόου ἦθος. ἁπλοϊκὸς γὰρ μάλιστα εἰσάγεται, ὅπερ συμβαίνει περὶ τοὺς ἐκ γενετῆς εὐτυχοῦντας. ἐκεῖνο δὲ ῥητέον ὅτι παλαιὸν ἔθος τὸ προκρίνειν τοὺς ἀρίστους τῶν ξένων, καὶ δι' ἀρετὴν αὐτοῖς ἐκδιδόναι τὰς θυγατέρας, ὡς καὶ ἐπὶ τοῦ Βελλεροφόντου, Τυδέως, Πολυνείκους. οὐ γὰρ εἰς τὸν πλοῦτον ἀφεώρων οἱ παλαιοὶ, ἀλλ' εἰς τὴν ἀρετὴν τὴν ἀπὸ τῆς ὄψεως. "βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικας" (Od. ω, 253.)· "γενεῇ δὲ Διὸς μεγάλοιο ἐΐκτην" (Od. δ, 27.)· "οἵ τε ἀνάκτων παῖδες ἔασιν" (Od. ν, 223.)· "ἐπεὶ οὔ κε κακοὶ τοιούσδε τέκοιεν" (Od. δ, 64.). P.Q. ἐχέμεν—καλέεσθαι] ἀντὶ εὐκτικοῦ τοῦ ἔχοιο καὶ καλοῖο. P.T. καλέεσθαι] γρ. καλεῖσθαι. P.

315. αἴ κ' ἐθέλων] γρ. εἰ. P.

10. ὥστε addidit Prellerus.
11. ἀνδρὸς Prellerus. ἀνδρεῖον T.
12. ἀντὶ τοῦ (τοῦ om. P.) μένων οἷος P.T. et αὖθι μένων οἷος H. in quibus hoc scholion adscriptum versui 314. ad αὖθι μένων. Solum οἷος (post lemma τοῖος ἐὼν) Q.
13. νῦν H.P. ναυσικάας Q.
15. παραιτεῖται — πάντως] παρῃτήσατο — παντελῶς Eustathius p. 1581, 27.
18. καὶ οὐ] καὶ οὐδὲ P.
24. τὴν ἀπὸ] ἣν ἀπὸ P.Q. Correxi ex scholio codicis T.
25. γενεῇ] γενεὴν P.
27. εὐκτικοῦ om. T.

316. μὴ τοῦτο] τὸ ἑκόντα σὲ ἐρύξαι. P.

317. πομπὴν δ' ἐς τόδ' ἐγὼ] ἕως τόδε ἐγὼ τεκμαίρομαι καὶ νοῶ τὴν σὴν προπομπὴν, ἕως ἂν σὺ εὖ εἰδὼς θελήσῃς ἀπελθεῖν οἴκαδε. P.Q.

τεκμαίρομαι] σημειῶ, ὑπονοῶ. P. τελειῶ. V. 5

Ἀριστοφάνης περισπᾷ τὸ εἰδῇς. P.

318. ἐς τῆμος δὲ] μέχρι τοῦτο. P. ἔν ἐστι τὸ τημόσδε. τὸ δὲ ἐς τόδε καὶ ἐς τημόσδε ταυτὸν δηλοῦσιν, ἀντὶ τοῦ κατ' αὐτὴν τὴν ὥραν, ὡς εἴ τις λέγοι, ἄνω ἀνάβηθι ἐπὶ τὴν κλίνην. βέλτιον δὲ τοῖς ἄνω συνάπτειν. τὸ τῆμος δὲ οἷον εἰς τοῦτον τὸν χρόνον. P.T. 10

σὺ μὲν δεδμημένος ὕπνῳ] τίνος ἕνεκεν ὑπνώττοντα Ὀδυσσέα ἄγουσι Φαίακες; φαμὲν οὖν ὡς εἰδότες τὸ ἁβροδίαιτον ἑαυτῶν καὶ τὸ περὶ τοὺς πολέμους ἀσθενές· φησὶ γοῦν "οὐ γὰρ Φαιήκεσσι μέλει βιὸς οὐδὲ φαρέτρη" (ζ, 270.)· οὐδένα θέλουσιν ἀκριβῶς μαθεῖν ποίοις οἰκοῦσι τόποις, ἐπανάστασιν πολεμίων δεδοικότες. τούτου χάριν καὶ μισόξενοι, καὶ τοὺς ἀφικομένους ἀποστέλλουσι τάχιστα καὶ κοιμωμένους, ἵνα μὴ τὴν ὁδὸν μάθωσι. διὸ καὶ κοιμώμενον ἀποτίθενται τὸν Ὀδυσσέα, διὰ τὸ μὴ ἰδεῖν εἰς ποῖον λιμένα ἀναπλέουσιν. E.Q.T. 15

ὕπνῳ λέξεαι] οἱ ναῦται ὑπνώττοντός σου ἐκδέξονται καιρόν. B. 20

319. ἐλόωσι γαλήνην] ὡς ἐν γαλήνῃ πλέοντες ἢ γαλήνην ἔχοντες. δῆλον γὰρ ὅτι τοιοῦτον παρέξουσι πλοῦν, ὡς δοκεῖ ἐν γαλήνῃ πλεῖν. παραιτητέον γὰρ τοὺς γαλήνην τὴν θάλασσαν ἀκούοντας. T. ἐλαύνωσιν ἡσύχως. Q. εὐφήμως τὴν θάλασσαν λέγει, ἢ τὴν γαληνιῶσαν οὕτω φησί. B.E. 25

2. ἐς τόδ'] ἐστότ' P. in textu a m. prima.

ἕως τόδε] ἕως τότε σὲ P.

3. νοῶ] ἐννοῶ P.

6. Ἀριστοφάνης περισπᾷ] Alii igitur εἰδῇς.

7. ἔν ἐστι—τὸν χρόνον] Sic T. nisi quod τῆμοσδε et τῆμος δὲ habet. In P. est τὸ ἐς τόδε καὶ τὸ ἐς τῆμος δὲ ταυτὸν ἀντὶ κατ' αὐτὴν τὴν ὥραν, ὡς εἴ τις λέγοι, ἄνω ἀνάβηθι, ὑπόθες τὴν κλίνην, reliquis omissis. Ex H. enotatum ἔνεστι (corr. ἔν ἐστι) τὸ ἧμος δέ τινες ἐλόωσιν. τὸ ἐς τόδε καὶ ἐς τῆμος δέ.

11. ὑπνώττοντα] ὕπνῳ T.

Ὀδυσσέα ἄγουσι Φαίακες om. T.

12. φαμὲν] φασὶν T.

ὡς om. T.

13. Post ἀσθενὲς T. pergit ἐν τοῖς ἐσχάτοις γὰρ τόποις κατοικοῦντες πολέμῳ οὐκ ἐντυγχάνουσιν. οἱ δὲ τὴν ἐρεσίαν καυχῶνται μόνην. Reliqua omnia omittit.

18. λιμένα Struvius pro καὶ ἅμα.

ἐλάσουσι γαληναίως, συνεχῶς. P. τινὲς δὲ, ἐλάωσι. εὐφήμως τὴν θάλασσάν φησι. P.

321. ἑκαστέρω] πορρωτέρω, ἀπὸ τοῦ ἑκὰς, ὃ σημαίνει τὸ πόρρω. B.E.

ἐκτετόπισται τὰ τῆς πλάνης. τῆς γὰρ Σχερίας πόρρω φησὶ τὴν Εὔβοιαν. ἴδιον τοῦτο τῶν ἀπείρων τῆς Ἑλλάδος. P.

323. ὅτε τε ξανθὸν Ῥαδάμανθυν] δῆλον κἀκ τούτου ῥηΐστην βιοτὴν εἶναι ἐνταῦθα. οὔτε γὰρ ὑετὸς οὔτε χειμὼν οὔτε νιφετὸς, ἀλλὰ τὴν Ζεφυρίαν αὔραν ἐπιπνεῖν φασιν . . . . αὐτὸν ὄντα τὸν Ῥαδάμανθυν δίκαιον καὶ νομοθέτην. πῶς οὖν ἐν τῇ Νεκυίᾳ τὰ περὶ Τιτυὸν ἐν τῇ Φωκίδι φησὶ γενέσθαι; καὶ "Λητὼ γὰρ ἥλκησε Πυθώδ' ἐρχομένην" (Od. λ, 580.). ἴσως ἐν Εὐβοίᾳ μὲν ᾤκει, ἐν Φωκίδι δὲ ἐτελεύτησεν. T.

324. Τιτυὸν γαιήϊον υἱόν] τὸν τῆς γῆς υἱόν. κτητικὸς ὁ τύπος. V.

Ἐλάρᾳ τῇ Ὀρχομενοῦ, τινὲς δὲ Μινύου, συνελθὼν ὁ Ζεὺς διὰ τὴν τῆς Ἥρας ζηλοτυπίαν ἔκρυψεν αὐτὴν κατὰ γῆς. ἡ δὲ ἀνῆκε παῖδα Τιτυὸν, ὃς ἀθέμιστος ἦν. ἠράσθη γὰρ τῆς Λητοῦς, καὶ ἐτοξεύθη ὑπὸ Ἀπόλλωνος. ἧκε δὲ ὁ Ῥαδάμανθος ἐπὶ θέαν τοῦ Τιτυοῦ, ὡς δὴ σωφρονίσων αὐτὸν ὡς ἀδελφὸν αὐτοῦ. φαίνονται γοῦν οἱ Φαίακες πλησίον τῶν μακάρων νήσων κατοικοῦντες. ὅτι δὲ κατῴκει τὸ Ἠλύσιον

1. τινες—φησι ab alia m. habet P.
5. φησι Buttm. pro φασί.
8. ἐνταῦθα Preller. καὶ ἐνταῦθα T.
9. Post φασιν in T. spatium tam amplum relictum ut dimidia fere scholii pars excidisse videri possit.
16. Μινύου] Sic, teste Maio, in E: in Q. autem Μινόου. P. sine mentione Orchomeni sic: Ἐλάρᾳ τῇ Μινύου μίγνυται Ζεύς. V. in ed. ant. E. τῇ Ὀρχομενοῦ τινὸς Μίνυος συνελθών, unde dubius est Barnesius Μίνωος faciat an Μινύου. Ego suspicor fuisse τῇ Ὀρχομενοῦ τοῦ Μινύου. BUTTM.

συνελθὼν — Τιτυὸν] μίγνυται Ζεύς. δεδιὼς δὲ τὴν Ἥρας ζηλοτυπίαν ὑπὸ τὴν γῆν αὐτὴν κρύπτει, ὅθεν ἀναδίδοται Τιτυός P.

14. γαιήϊον υἱὸν τὸν τῆς γῆς est in E.Q.
17. ἀνῆκε — Λητοῦς] ἀνῆκε παῖδα ἐξοχώτατον, ὃς ὠνομάσθη Τιτυός· ὃς ἠράσθη Λ. V.
19. ἧκε—αὐτὸν] ῥαδάμανθυς δὲ ἧκεν ἐποψόμενος αὐτὸν, ἢ διὸς ὢν ἐσωφρόνισεν ἑαυτόν H.

τοῦ Τιτυοῦ — αὐτὸν] τοῦ Τιτυοῦ. ἢ Διὸς ὢν ἐσωφρόνισεν αὐτόν V. Pro Διός Barnes. em. δίκαιος conferre jubens Apollod. 1, 4, 1. Strab. 9. Paus. Lacon. et Apollon. schol. Cf. et mox schol. alterum. Ῥαδ. δὲ ἧκεν ἐποψόμενος Τιτυὸν ἢ διὸς (sic codex, non δίκαιος, quod posuit Creuzer. Melet. 1. p. 55.) ὢν σωφρόνισεν αὐτόν P. BUTTM.
20. γοῦν] οὖν P.V.
21. ὅτι δὲ —] Hæc usque ad finem scholii om. V.

πεδίον ὁ Ῥαδάμανθυς ἤδη εἶπεν ὁ Πρωτεὺς ἐν τῷ πρὸς Μενέλαον λόγῳ (δ, 563.) "ἀλλά σ' ἐς Ἠλύσιον πεδίον καὶ πείρατα γαίης ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς Ῥαδάμανθυς." E.H.P.Q.V.

ὁ Τιτυὸς ἦν υἱὸς τῆς γῆς, ὃς ἠράσθη τῆς Λητοῦς, καὶ ὑπὸ Ἀπόλλωνος ἐτοξεύθη. τοῦτον οὖν ὁ Ῥαδάμανθος ὁ δικαιότατος παρ' Ἕλ- 5 λησι κριτὴς ἐτιμώρησε πρότερον. P.Q.

325. καὶ μὲν οἱ] γρ. καὶ μὲν οἵ. H. οἱ προειρημένοι ἑταῖροι, ἀναφορικῶς. ἔνθα δὲ, εἰς τὴν Εὔβοιαν δηλονότι. H.

ἔνθ' ἦλθον] ἐκεῖ εἰς Εὔβοιαν ἀπῆλθον. P.

τέλεσσαν] τὸν μετ' αὐτοῦ πλοῦν. P. 10

326. ἀπήγαγον] γρ. ἀπήνυσαν. H.P. ἠγοῦν ἐγκατῴκισαν. P.

327. ἄριστα] κάλλιστα. V.

328. ἀναρριπτεῖν ἅλα πηδῷ] ἀναρριπτεῖν περισπωμένως. ἤγουν ἀνακινεῖν καὶ ἀνακρούειν τὸ ὕδωρ τῷ πηδαλίῳ ἢ ταῖς κώπαις. B.H.P. πηδαλίῳ ἢ κώπῃ. E. 15

ἀναρρίπτειν] κωπηλατεῖν. ἀναρρίπτεται γὰρ τὸ ὕδωρ ὑπὸ τῶν κωπηλατούντων. πηδῷ] νῦν οὐ πηδαλίῳ, οὐ γὰρ ἔχουσι πηδάλια, ἀλλὰ κώπαις, παρὰ τὸ παίειν τὴν θάλασσαν· πῆδος γὰρ εἶδος ξύλου· ἢ τῷ πλατεῖ τῆς κώπης. V.

330. εὐξάμενος δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν] γράφεται, 20 ἰδὼν εἰς οὐρανὸν εὐρύν. E.

331. αἴθ' ὅσα] γρ. καὶ, αἴθ' ὡς. P.

333. δαιμονίως ἐν ταῖς ἀποκρίσεσι τοῦ γάμου οὐδ' ἀκοῦσαι προσεποιήσατο, ἀλλὰ μόνου τοῦ νόστου. P.

συνίστησιν ἑαυτὸν ὡς περὶ ἐνδοξότατον πρόσωπον τὴν σπουδὴν 25 καταθησομένου τοῦ Ἀλκινόου. P.

335. κέκλετο δ' Ἀρήτη] ὁ μὲν βασιλικῶς ὑπέσχηται περὶ τῆς ἀποστολῆς, ἡ δὲ γυναικείως παρασκευάζει τὴν κοίτην. P.Q.

2. ἀλλά σ' ἐς liquido Pal. quoque, non ut ait Creuzer ἀλλ' ἐς. BUTTM.

5. ὁ] καὶ ὁ P.

13. ἀναρριπτεῖν π. ἤγουν et καὶ om. B.P. τὸ ὕδωρ om. B. et habet ἐν τῷ π.

14. ἢ ταῖς κώπαις om. B.

18. παίειν Buttm. pro πλεῖν.

πῆδος] Ita recte editt. ante Barnesium. Sed cum ap. Eust. ad nostrum locum legatur, Ἐν δὲ σχολίοις παλαιοῖς εὕρηται καὶ ὅτι εἶδος ξύλου τὸ πηδόν, corrigendum putabat ille in hoc scholio πηδόν. Male. Eustathius corrigendus. Nam πῆδος εἶδος δένδρου. Vid. Heyn. ad Il. ε, 838, et Schneid. in v. BUTTM.

21. ἰδὼν εἰς (ἐς E.) οὐρανὸν εὐρύν] Sic M. in textu, superscripto vulgato ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε.

ἐν μεγάροισι] γρ. ἀμφιπόλοισι. P.

ἀμφιπόλοισι] γρ. ἐν μεγάροισι. H.

336. βραχὺ διασταλτέον καθ' ἕκαστον. βέμεναι, βαλέειν, τάπητας, οὔλας. H.

339. δάος] φῶς. ἀπὸ τοῦ δαίω τὸ μερίζω, διακριτικὸν γὰρ ὄψεως. E. δᾶδα φέγγουσαν, ταχύτητα. Gl. H.P.

340. ἐγκονέουσαι] σπεύδουσαι, ἐνεργοῦσαι καὶ κόνεως πληρούμεναι τῇ σπουδῇ τοῦ δρόμου. P.

342. ὄρσο κέων] ἀντὶ τοῦ ὄρσεο ἤτοι διεγέρθητι κοιμηθησόμενος. B.

345. ὑπ' αἰθούσῃ ἐριδούπῳ] ἐν τῷ ἀποσκέπτῳ. P.Q. εὔηχος γὰρ ἡ στοὰ, τοῦ πνεύματος κινουμένου εὐθέως καὶ ἦχον εὐθέως πέμποντος. H.Q.

347. λέχος πόρσυνε καὶ εὐνὴν] διαφέρουσι λέχος καὶ εὐνή. φασὶ λέχος μὲν εἶναι τὴν κλίνην, εὐνὴν δὲ τὰ ἐπὶ τὴν κλίνην μαλάγματα, ὡς αὐτὸς ἐν ἄλλοις "ἀλλ' ἄγετ' ἐκθεῖσαι πυκινὸν λέχος ἐμβάλετ' εὐνὴν, δέμνια καὶ χλαίνας" (Od. ψ, 178.). πόρσυνε δὲ ἀντὶ τοῦ ἠυτρέπιζεν. T.

πόρσυνε] γρ. πόρσαινε ἐν ταῖς Ἀριστάρχου. P.

Θ.

ΥΠΟΘΕΣΙΣ.

Ἐκκλησία γίνεται τῶν Φαιάκων περὶ τοῦ ξένου καὶ ναῦς καθέλκεται πρὸς ἐκπομπὴν τοῦ Ὀδυσσέως. καὶ ἑστιῶνται παρὰ τῷ Ἀλκινόῳ τῶν Φαιάκων οἱ ἄριστοι. καὶ μετὰ ταῦτα δίσκῳ ἀγωνίζονται Φαίακες καὶ Ὀδυσσεύς. καὶ ὁ Δημόδοκος ᾄδει πρῶτα μὲν τὰ περὶ τὴν μοιχείαν Ἄρεως καὶ Ἀφροδίτης, ἔπειτα δὲ τὰ περὶ τὴν εἰσαγωγὴν τοῦ δουρείου ἵππου. καὶ τοῦ Ὀδυσσέως κλαίοντος ὁ Ἀλκίνοος πυνθάνεται διὰ τί κλαίει καὶ τίς καὶ πόθεν εἴη. H.V.

6. φέγγουσαν om. P.

12. κινουμένου] ἔναυλον κινουμένου H. εὔηχον κινουμένου Q.

19. ταῖς Ἀριστάρχου] τοῖς ἀριστα P. reliquis literis abscissis. γρ. πόρσαινε est etiam in M.

22. γίνεται τῶν Φ.] τῶν φ. γίνεται H. qui tria hæc Argumenta hoc ordine exhibet, 3. 2. 1.

22—28. Habet hoc argumentum Eustathius p. 1583.

ΑΛΛΩΣ.

Ἡμέρα τρίτη καὶ εἰκοστὴ, καθ' ἣν ἐκκλησία γίνεται τῶν Φαιάκων περὶ τοῦ ξένου· καὶ νεὼς εὐτρεπισμός· καὶ Ὀδυσσέως δισκοβολία· καὶ Δημοδόκου τοῦ κιθαῳδοῦ τρίτη διήγησις. ὁ δὲ βασιλεὺς πυνθάνεται τίς καὶ πόθεν εἴη ὁ ξένος. H.P.Q. 5

ΑΛΛΩΣ.

Ἡμέρας ἐπιγενομένης ὁ Ἀλκίνοος εἰς ἐκκλησίαν συναγαγὼν τοὺς Φαίακας ἐδήλωσεν αὐτοῖς περὶ τοῦ παρόντος ξένου. ἔπειτα δὲ ἀγῶνα συντελεῖ αὐτοῖς ἐπὶ τῆς ἀγορᾶς. ἐν ᾧ προτρεψαμένου τοῦ Ὀδυσσέως Λαοδάμαντος τοῦ Ἀλκινόου παιδὸς, τοῦ δὲ παραιτησαμένου διὰ τὰς 10 ἐχούσας αὐτὸν συμφορὰς, Εὐρύαλος θρασύτερος ἐπιπλήσσει αὐτόν. καὶ μετ' αὐτοῦ εὔκλειαν πολυτελῆ καταγγείλας ὁ Ἀλκίνοος ἐκέλευσε Δημόδοκον τὸν κιθαῳδὸν παρεῖναι· ὑφ' οὗ ᾄδεται ἄλλα πολλὰ καὶ ὡς Ἀφροδίτη καὶ Ἄρης ἐφωράθησαν ὑπὸ Ἡφαίστου δεσμούς τινας κατ' αὐτῶν τεχνησαμένου· ἔπειτα καὶ Ἰλίου ἅλωσιν καὶ περὶ τὸν 15 δούριον ἵππον. ὧν καὶ ἀκροασάμενος Ὀδυσσεὺς ἐδάκρυσεν. ἔνθα πυνθάνεται αὐτοῦ ὁ Ἀλκίνοος τὴν αἰτίαν τῶν δακρύων καὶ προτρέπεται τὰ περὶ αὐτὸν διηγήσασθαι. καὶ τέλος ἐνταῦθα ἔσχεν ἡ ῥαψῳδία. E.H.

---

1. Ἠὼς ἡ ἡμέρα σημαίνει πολλά. ὁτὲ μὲν τὸ κατάστημα τῆς 20 ἡμέρας, ὡς ἔχει ἐνταῦθα· ὁτὲ δὲ ἡ σωματικὴ θεὸς, ὡς ἔχει ἐπὶ τοῦ "Ἠὼς δ' ἐκ λεχέων" (Il. λ, 1.)· ὁτὲ δὲ τὸ ἀπὸ ἀνατολῆς ἕως μεσημβρίας τοῦ ἡλίου διάστημα, ὡς ἐν τῷ "ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ" (Il. θ, 66.)· ὁτὲ δὲ τὸ νυκτὸς καὶ ἡμέρας διάστημα, ὡς ἐν τῷ "ἠὼς δέ μοι ἐστὶν ἥδε δυωδεκάτη ὅτ' ἐς Ἴλιον 25 εἰλήλουθα" (Il. φ, 80.). H.Q.

2. ὤρνυτ' ἄρ'] νοητέον κατὰ τὸ σιωπώμενον καὶ τοὺς Ἀλκινόου υἱοὺς ἐγηγέρθαι. Q.

4. τοῖσιν δ' ἡγεμόνευ'] τὸ τοῖσιν ἀντὶ γενικῆς. Ἄλλως. πληθυντικῷ ἐχρήσατο ἀντὶ ἑνικοῦ τῷδε. H. 30

10. Λαοδάμαντος] λαοδόκου H.
12. μετ' αὐτοῦ] μετὰ ταῦτα H.
13. ἄλλα] Scribendum videtur ἄλλα τε.
16. ἀκροασάμενος] ἀκρούμενος E.
20. πολλά] Conf. p. 241, 3.
21. ἡ σωματικὴ θεὸς H. τὴν σωματικὴν θεὰν Q.
22. Verba τοῖσιν ἀντὶ γενικῆς sunt etiam in B.

5. ἥ σφιν παρὰ νηυσὶ τέτυκτο] ὡς ἂν περὶ τὰ ναυτικὰ ἐσπουδακότας, εἰκότως καὶ τὸν τόπον τῆς ἐκκλησίας πλησίον τῶν νεωρίων κατεστήσατο. T.

6. κάθιζον ἐπὶ ξεστοῖσι λίθοισι] φαίνεται παρὰ τοῖς παλαιοῖς ἔθος ὂν ὥστε πρὸ τῶν θυρῶν λίθους τινὰς εἶναι κατεσκευασμένους καθεδρῶν τάξιν ἐπέχοντας, ἐφ' ὧν ἀξιοῦντες ἐκαθέζοντο οἱ ἡγούμενοι. καὶ ἐπὶ τῶν Νέστορος οἰκιῶν τοῦτό φησιν ὅτι "ἦσαν προπάροιθε θυράων λευκοὶ ἀποστίλβοντες, οἷς ἔπι μὲν πρὶν Νηλεὺς ἵζεσκεν, ἀλλ' ὁ μὲν ἤδη κηρὶ δαμεὶς, Νέστωρ δ' αὖ τότ' ἔφιζε Γερήνιος" (γ, 407.). E.Q.

7. μετῴχετο] τὸ μετῴχετο κεῖται διηνεκῶς ὅταν εἴς τινα πορεύηταί τις. B.

11. δεῦτ' ἄγε] ἰδίως ἐξενήνοχε. τὸ γὰρ δεῦτε πληθυντικῶς φήσας τὸ ἄγε ἑνικῶς εἶπε. καὶ τὸ ἰδίως, "δεῦτ' ἄγετ' Ἀργείων Ἑλένην" (Il. η, 350.). E. ἀμφότερα κελευσματικά εἰσιν ἐπιρρήματα. H. ἀμφότερα παρακελευστικῶς παρ' Ὁμήρῳ κεῖται. V.

12. ὄφρα ξείνοιο πύθησθε] εἰκότως διὰ πάντων αὐτοὺς ἐπεγείρει, φήσασα αὐτὸν ξένον πλανήτην διαπρεπῆ τὴν ὄψιν, ἵνα οἱ μὲν φιλόξενοι πρὸς τὸν ξένον, οἱ δὲ φιλόκαλοι πρὸς τὸ κάλλος, οἱ δὲ φιλίστορες πρὸς τὴν ἀκρόασιν τοῦ πολυπλανοῦς κινηθῶσιν. E.Q.T.

ξείνοιο] ἐλλείπει ἡ περί, ἵνα ᾖ περὶ τοῦ ξένου. οὐ γὰρ αὐτὸς διαλέγεται ἐπὶ τῆς ἐκκλησίας, ἀλλὰ κρεῖττον ἡγήσατο σιωπᾶν. T.

16. ἔπληντο] ἐπληρώθησαν. V.

ἀγοραί τε καὶ ἕδραι] ἀντὶ ἑνικοῦ τοῦ ἀγορά· προεῖπε γοῦν εἰς ἀγορὴν ἰέναι. καὶ "ἐνθάδε τέ σφ' ἀγορὴ, καλὸν Ποσιδήϊον ἀμφίς" (Od. ζ, 266.). H.

17. θηήσαντο ἰδόντες] σαφῶς νῦν τὸ ἐθηήσαντο ἀντὶ τοῦ ἐθαύμασαν· ἐπιφέρει γοῦν, ἰδόντες. Q. κινοῦνται γὰρ ὄχλοι πρὸς τὰς ὄψεις. H.

19. θεσπεσίην] τὰ γὰρ πλεῖστα οἱ πολλοὶ πρὸς τὰς ὄψεις καὶ τὰ ἀξιώματα ἔχουσι, ἐν τῇ ἰδέᾳ δυστυχοῦντας δ' ἀναξίως πάσχοντας. T.

1. ἐσποιδακότας] Fort. ἐσπουδακότων.
11. πορεύηται] πορεύεται B.
20. πολυπλανοῦς Struvius pro φιλοπλανοῦς. Apud Eustath. p. 1583, 60. τοῦ πολυπλανήτου ξένου.
25. ἀμφίς] ἄμφω H.
31. ἐν τῇ—πάσχοντας] Videtur scribendum τοὺς δὲ ἐν τῇ ἰδέᾳ δυστυχοῦντας ὡς ἂν ἀξίως πάσχοντας κρίνουσι, vel simile. PRELLER.

21. ὥς κεν Φαιήκεσσι] αὐτὸς μὲν οὖν ἐλεηθῆναι εὔχεται, ἡ δὲ Ἀθηνᾶ καὶ τὰ σπουδαιότερα παρασκευάζει αὐτῷ, ἵνα μὴ μόνον ἐλέου ἀξιωθῇ καὶ ἀποσταλθῇ, ἀλλὰ διὰ τὴν τιμὴν ὡς ἂν σπουδαῖος καὶ δῶρα τύχῃ. T.

22. ἐκτελέσειεν ἀέθλους] πληθυντικῶς εἶπε τὸν τοῦ δίσκου ἆθλον. Κράτης δὲ τοὺς κατὰ Ἰθάκην ἤκουσε πόνους. Q.V. 5

23. πολλοὺς] ἀθετεῖ Ζηνόδοτος. οὐ γὰρ πολλοὺς ἐτέλεσεν ἐν Φαιακίᾳ, ἀλλ' ἐδίσκευσε μόνον. H.Q.

24. αὐτὰρ ἐπεί ῥ' ἤγερθεν] ἡ φήμη ἐκ φρονήσεως καὶ οἰκονομίας τοῦ Ὀδυσσέως. ἔστι δὲ καὶ τοῦ Ὁμήρου, ἵνα γνωρισθῇ καὶ τῷ κοινῷ λαῷ ὁ Ὀδυσσεὺς, μήπως καθ' ὁδὸν κομιζόμενος παρ' αὐτῶν ἐμπαιχθῇ τι. διὸ καὶ εἰς τὰς δοκιμὰς αὐτὸν ἐξάγει, ὅπως πλείονος τιμηθῇ παρὰ τῶν Φαιάκων. E. 10

29. πρὸς ἠοίων] ἡ πρός ἀντὶ τῆς ἀπό, ἵν' ᾖ ἀπὸ τῶν πρὸς δυσμὰς ἢ τῶν πρὸς ἀνατολάς. B. οὐ προσέθηκεν ἄρκτον καὶ μεσημβρίαν, ὅτι ἁπλούστερον οἱ ἀρχαῖοι διῄρουν τὸν κόσμον, εἴς τε ἀνατολὴν καὶ δύσιν. T. 15

ἠὲ πρὸς ἠοίων ἢ ἑσπερίων] ἢ τῶν πρὸς δυσμὰς ἢ τῶν πρὸς ἀνατολάς. οὕτως δὲ οἱ παλαιοὶ ἐμέριζον εἰς δύσιν καὶ ἀνατολὴν τὰ κοσμικά. "οὐ γάρ τ' ἴδμεν ὅπη ζόφος οὐδ' ὅπη ἠώς" (Od. κ, 190.)· "εἴτ' ἐπὶ δεξιᾷ ἴωσι πρὸς ἠὼ, εἴτ' ἐπ' ἀριστερᾷ τοίγε ποτὶ ζόφον" (Il. μ, 239.). Q. 20

30. ὀτρύνει] ἐσπουδασμένως αἰτεῖ. H.

ἔμπεδον εἶναι] τὴν πρὸς πάντας ἐχομένην πομπὴν ταύτην καὶ ἐπὶ τούτου τηρεῖν βεβαίαν. V. 25

31. ὡς τὸ πάρος περ ἐποτρυνώμεθα] ἤγουν ἐσπουδασμένως ποιήσωμεν. δεξιὸν δὲ τὸ ἀνανεοῦσθαι τὴν τῶν Φαιάκων φιλοξενίαν, ἵνα μηδὲ τοιοῦτον πέμπειν ὀκνῶσι. τοῦτο γὰρ ἐν τῷ "πάρος περ" ἐδήλωσεν. H.Q. ὡς ἐξ ἀρχῆς ἡμῖν ἔθος. Gl. H. χρησίμως ταῦτα· προτρέπει γὰρ τοὺς πολίτας ἐκπεμφθῆναι πρὸς τὴν ἔκπεμψιν τοῦ ξένου. T. 30

7. ἀθετεῖ] ὡς ἐλεγοῖο (?) ἐπειράθην αὐτοῦ τὴν ἐξήγησιν. καὶ ἄλλως. ἀθετεῖ H.

9. οἰκονομίας] Hoc vocabulum nescio quomodo huc venerit, ad sequens τοῦ Ὁμήρου pertinens. BUTTM.

14. τῆς] τοῦ B.

18.—22. Excerpsit Eustath. p. 1584, 30.

26. ἤγουν H. ἕως Q. Hoc est ἤως.

27. δεξιὸν δὲ τὸ ἀ. H. δεξιῶς δὲ ἀ. Q.

32. οὐδὲ γὰρ οὐδέ] πλεονάζει ἡ μία οἱ δέ κατὰ Ἀττικούς. "οὐδὲ γὰρ οὐδὲ Δρύαντος" (Il. ζ, 130.). "οὐδὲ γὰρ οὐδέ κεν αὐτός" (Il. ε, 22.). Q.

οὐδὲ γὰρ] οὐδὲ ἄλλον τινά φησι τῶν παρ' αὐτὸν ἡκόντων ξένων πολὺν ἀναμεῖναι χρόνον, λυπούμενον ἐν τῇ μελλήσει καὶ βραδυτῆτι τῶν πεμπόντων, ὥστε τὸ ἐπὶ τῶν ἄλλων ἔθος εὔλογον εἶναι βεβαιοῦν νῦν καὶ φυλάξαι. T.

34. ἐρύσσομεν] ὁμιλητικῶς καὶ ἑαυτὸν παραλαμβάνει, ἵνα ἐκ τούτων χαρίζεσθαι δοκῇ τῆς ἀσφαλείας τοῦ πλοῦ χαριζόμενος. T.

35. πρωτοπλόον] τὴν πρῶτον πλεύσασαν, ἐπὶ θηλυκοῦ. ἐπὶ δὲ ἀρσενικοῦ προπαροξύνεται. καὶ πρωτοτόκος ὁμοίως ἐπὶ θηλυκοῦ βαρύνεται, ἐπὶ δὲ ἀρσενικοῦ προπαροξύνεται, ὁ πρωτότοκος υἱός. B. τινὲς, τὴν πρώτην πλέουσαν, ὅ ἐστι ναυαρχίδα. Q.

36. κρινάσθων κατὰ δῆμον] ἐπιλεχθήτωσαν κατὰ γειτονίαν. P.

38. θοὴν ἀλεγύνετε δαῖτα] ἀντὶ τοῦ θοῶς, ὡς "λῦσεν ἀγορὴν αἰψηρήν" (Od. β, 257.). τὸ δὲ ἀλεγύνετε ἀντὶ τοῦ εὐτρεπίζετε, οὕτως διὰ τοῦ ε ἐν παρατατικῷ. H.Q. ἐκ τοῦ περὶ αὐτῶν εἰς τὸν πρὸς αὐτοὺς λόγον μετῆλθεν. H.

39. ἡμέτερον δῶ] εἰς τὸν ἡμέτερον οἶκον. V.

41. σκηπτοῦχοι βασιλῆες] τὴν μὲν δαπάνην ἐκ τοῦ ἰδίου ποιεῖται, τὴν δὲ ἐκ τῆς ὑποδοχῆς φιλανθρωπίαν κοινὴν πάντων καθίστησι. Q.

43. καλέσασθε δὲ θεῖον ἀοιδόν] ἵνα ἡδέως ἡ συνουσία γένηται. τὸ δὲ ὅλον δαιμονίως ᾠκονόμησεν ὁ ποιητὴς, ἵνα ᾄδοντος αὐτοῦ κλαίων Ὀδυσσεὺς ὑπόνοιαν τῷ Ἀλκινόῳ παράσχῃ καὶ ἀφορμὴν πυθέσθαι τίς ἐστιν· ἅμα δὲ καὶ ἡμεῖς τὰ περὶ τὴν πόρθησιν τῆς Ἰλίου μάθωμεν ᾄδοντος αὐτοῦ. Q.

44. Δημόδοκον] οἰκεῖον τὸ ὄνομα διὰ τὴν παρὰ τῷ δήμῳ ὑποδοχήν. Q.

45. ὅππη θυμὸς] ὅσα βούλεται αὐτὸς, ἢ ὅσα ἡ ἐπιθυμία τῶν ἀκουόντων. E.V.

4. αὐτὸν] αὐτῷ T.

6. ὥστε addidit Prellerus et ἔθος εὔλογον scripsit pro εὔλογον ἔθος.

8. ὁμιλητικῶς—παραλαμβάνει] Sic H., omissa scholii parte reliqua. ὁμιληκὼς καὶ αὐτὸ παραλαμβάνεται πρωτόπλοον καὶ νῆα T.

17. διὰ τοῦ ε ἐν παρατατικῷ] διὰ τοῦ ἐῶν παρατατικοῦ Q. Videntur fuisse qui ἀλεγύνατε aoristum præferrent.

21. κοινὴν H. κοινῶς Q.

47. μετῴχετο] ἡ μετά ἀντὶ τῆς ἐπί. ᾤχετο ἐπὶ τὸν θεῖον ἀοιδόν. Q.

48. κρινθέντε] τὸ κρινθέντε πρὸς τοὺς δύο. H.

49. ἐπὶ θῖν' ἁλὸς ἀτρυγέτοιο] γρ. ἱερὸν μένος Ἀλκινόοιο. M.

52. ἐν δ' ἱστόν] διὰ τί ἱστὸν εἱρεσίᾳ χρώμενοι; κόσμου χάριν· ἢ ἴσως καὶ ἀνέμου. E.

53. ἠρτύναντο] ἡτοίμασαν τὰς κώπας ἐν τοῖς τροπωτῆρσι. τροπὸς γὰρ ὁ ἱμὰς ὁ συνδέων τὴν κώπην τῷ σκαλμῷ. B.H.Q.

54. κατὰ δ' ἱστία λευκὰ τάνυσσαν] ἥπλωσαν αὐτὰ κατὰ τοῦ πλοίου, ἵν' ἕτοιμα ὦσιν εἰς τὸ ἑλκυσθῆναι. B.Q.

55. νοτίῳ] ἐν τῷ νηνέμῳ λιμένι, ἔνθα ἰσχυρὸς οὐκ ἔπνεεν ἄνεμος. H. ὑγρῷ, τῷ διύγρῳ. V.

Ἀριστοφάνης, νοδίῳ. H.

56. πλῆντο] ἐπληρώθησαν. αἴθουσαι δὲ αἱ πρὸς ἥλιον τετραμμέναι στοαί. V.

57. ἕρκεα οἱ περίβολοι, δόμοι ἀνδρῶν, οἱ ἀνδρῶνες. H.

59. τοῖσιν δ' Ἀλκίνοος] μέμφονταί τινες ὡς ὀλίγα παρασκευάσαντος Ἀλκινόου τοῖς Φαίαξι, πολλῶν ὄντων τῶν μελλόντων εὐωχεῖσθαι. καὶ Κράτης δὲ τὸ αὐτὸ πέπονθεν αὐτοῖς πάντας οἰόμενος τοὺς Φαίακας εὐωχεῖσθαι παρὰ τῷ Ἀλκινόῳ. οὐ γὰρ ἦν τὸ πλῆθος ἠθροισμένον, ἀλλὰ δώδεκα μὲν βασιλεῖς, αὐτὸς δὲ τρισκαιδέκατος, καὶ οἱ παῖδες αὐτοῦ, καὶ οἱ ἐρέται τῆς νηὸς πεντήκοντα δύο. H.Q.

60. ἀργιόδοντας ὕας] τοὺς χοίρους τοὺς ἔχοντας ὀδόντας λευκούς. H.

61. τοὺς δέρον] συλληπτικῶς. σύες γὰρ οὐκ ἐκδέρονται. Q.

62. ἐρίηρον] μεγαλωφελῆ, ἀγαθὸν, ἰσχυρόν. V.

63. τὸν πέρι Μοῖρ' ἐφίλησε] οὔκουν, ὦ Ὅμηρε, θαυμασίως αὐτὸν

7. ἠρτύναντο] ἠρτύνοντο H. in textu et in scholio.

ἡτοίμασαν] ἑτοιμάζοντο H.

8. κώπην] τρόπιν Q.

9. τάνυσσαν] Sic pro vulgato πέτασσαν etiam H.M. in textu.

13. νοδίῳ] Aristophanem non ἐν νοδίῳ, se ἐννοδίῳ vel εἰνοδίῳ scripsisse videri diximus ad δ, 785. ubi eadem scripturæ diversitas. "Hæc sedes glossæ Hesychianæ Ἐννοδίῳ, ἀγκυροβολίῳ. Nimirum pro ἐν νοτίῳ Aristophanes legebat ἐννοδίῳ: quod male alii divellebant." BUTTMANN.

26. Inter 62. et 63. in P. exscripto jam textu intersertus est hic versus scilicet, Δημόδοκον λιγύφωνον ἐόντα θεῖον ἀοιδόν, quem habet pars etiam codd. Vind. BUTTMANN.

ἡ Μοῖρα ἐφίλησεν, εἰ τῶν ὀφθαλμῶν μὲν ἐστέρησεν, ἀοιδὴν δὲ ἀντὶ τούτου ἐχαρίσατο, ὥσπερ δῆτα καὶ σὲ ὕστερον. Ε. ἐπειδὴ οὐκ ἐνδέχεται ἄνθρωπον ὄντα τὰ πάντα εὐτυχεῖν. Η. ὡς οὐ δυνατὸν ἀνθρώπῳ τελείαν εὐδαιμονίαν ἔχειν· δοιοὶ γὰρ πίθοι (Ιl. ω, 527). ἀλλὰ ταῦτα, φασίν, ὁ Ἀχιλλεὺς παραμυθίαν εἴρηκε τῷ Πριάμῳ· ἐνταῦθα δὲ ἐκ τοῦ ποιητοῦ προσώπου λέγεται. πῶς οὖν ἀγαπήσασα . . . . . Τ. πῶς οὖν ἐφίλησεν; ἤτοι ἐπεὶ οἱ τυφλοὶ μουσικώτεροι μὴ περὶ πολλὰ ἀσχολούμενοι. ἢ ἐπεὶ πάντως ἀνθρώπινον δυστυχεῖν, ἢ οἰκονομικῶς, ἵνα μὴ ἐπιγνῷ τὸν Ὀδυσσέα. τινὲς δέ φασιν εἰς ἑαυτὸν ταῦτα λέγειν τὸν ποιητήν. Ε.V.

66. μέσσῳ δαιτυμόνων] πιθανῶς, ἵνα πάντες ἐκ τοῦ ἴσου ἀκροῶνται. τὸ δὲ "ἐκ πασσαλόφιν" δηλοῖ κατὰ τοῦ πασσάλου. Q.

67. κὰδ δ' ἐκ πασσαλόφι] καὶ ἐκ τοῦ πασσάλου δὲ ἐκρέμασε τὴν φόρμιγγα τὴν λίγειαν, ἤτοι τὴν ἀποτελοῦσαν ὀξὺ μέλος. Q.

Ἀριστοφάνης, δῆσε φόρμιγγι. Η.

68. ἐπέφραδε] ἵνα γνῷ ἔνθα κεῖται τὰς χεῖρας ἐπέθηκε. V. ἤτοι ἐσήμανεν, ἵνα ἀνέληται ταῖς χερσίν· ἢ τὰς χεῖρας ἐπέθηκεν ἐπὶ τὴν κιθάραν, ἵνα εἰδῇ ἔνθα κεῖται. Ε.V. ἤτοι ἐδήλωσεν ὁ Ποντόνοος τῷ μελῳδῷ τὴν κιθάραν λαβεῖν ταῖς χερσὶ καὶ κρούσασθαι. καὶ ἐπέφραδε χερσὶν ἑλέσθαι. ταῖς χερσὶν ἐσήμανεν, ἵνα ἀνέληται, δηλονότι τὰς χεῖρας αὐτοῦ ἐπιτεθεικὼς τῇ φόρμιγγι, ἵνα γνῷ τοῦ κεῖται. Q.

73. ἀνῆκεν] γράφεται, ἐνῆκεν. Ε. ἀνήγειρεν ἐπὶ τὴν ᾠδὴν ἐμπνεύσασα. Ε.V.

74. οἴμης] τραγῳδίας, ἢ ᾠδῆς. Ρ. διηγήσεως· ὅθεν καὶ προοίμιον. Ρ.Q.V. ἀπὸ τῆς οἴμης ἐκείνης. ἄκρως τὴν ἑαυτοῦ ποίησιν ὕψωσεν ὁ ποιητής. Η. διὰ οἴμης, ἀπὸ προοιμίου καὶ διηγήσεως ἐκείνης. Ε.

75. νεῖκος Ὀδυσσῆος] φασὶ τῷ Ἀγαμέμνονι χρωμένῳ περὶ τοῦ

8. ἀνθρώπινον] ἄνθρωπον ὄντα δεῖ κατά τι V.

10. λέγειν] αἰνίττεσθαι V.

13. καὶ ἐκ τοῦ πασσάλου δὲ] Subest varia lectio καὶ δ' ἐκ. BUTTM.

15. δῆσε φόρμιγγι] Scripsisse videtur Aristophanes δῆσεν φόρμιγγα. Præmitti autem debebant huic scholio verba, Οὕτως αἱ Ἀριστάρχου, ad receptam relata: sed ea seorsim leguntur ad repetitum hunc versum infra 105. BUTTM.

18. εἰδῇ Buttm. pro ἴδῃ.

22. τὴν ᾠδὴν] τῶν αὐδῶν Q.

24. ᾠδῆς est etiam in V.

28. φασὶ om. Q.

χρωμένῳ] χρειομένῳ V.

περὶ] παρὰ Q.

κατὰ τὸν πόλεμον τέλους ἀνελεῖν τὸν ἐν Δελφοῖς Ἀπόλλωνα τότε πορθήσειν τὸ Ἴλιον ὅταν οἱ ἄριστοι τῶν Ἑλλήνων στασιάσωσι. καὶ δὴ παρὰ πότον διαλεχθέντων Ὀδυσσέως καὶ Ἀχιλλέως, τοῦ μὲν Ἀχιλλέως ἀνδρείαν ἐπαινοῦντος τοῦ δὲ Ὀδυσσέως σύνεσιν, μετὰ τὴν Ἕκτορος ἀναίρεσιν, ὁ μὲν βιάζεσθαι παρῄνει· διὸ καὶ ἀνῃρέθη· ὁ δὲ 5 δόλῳ μετελθεῖν. καὶ Ἀγαμέμνονα ὡς τελουμένου τοῦ λογίου χαρῆναι. ἐσήμανε δὲ τὴν αὐτοῦ διαφορὰν πρὸς Ἀχιλλέα. H.Q.V.

διὰ λόγων ἐφιλονείκησαν, ὁ μὲν Ὀδυσσεὺς σύνεσιν ἐπαινῶν, ὁ δὲ Ἀχιλλεὺς ἀνδρείαν, μετὰ τὴν Ἕκτορος ἀναίρεσιν, ὅτε ὁ μὲν βιάζεσθαι παρῄνει, ὁ δὲ δόλῳ μετελθεῖν. E. 10

76. ὥς ποτ' ἐδηρίσαντο] διὰ λόγων ἐφιλονείκησαν. τὸ δὲ, θαλείῃ, τῇ θαλλούσῃ ἢ θάλλειν ποιούσῃ. Q.V.

77. ἄναξ ἀνδρῶν Ἀγαμέμνων χαῖρε νόῳ] ἀπρεπὲς εἶναι δοκεῖ τὸ χαίρειν ἐπὶ ταῖς διαφοραῖς τῶν φίλων. λύουσι δὲ ἐκ τῆς λέξεως, οἱ μὲν, ὅτι μάχονται οἱ ἄνθρωποι οὐ μόνον ἀφιλέχθρως, ἀλλὰ καὶ φιλο- 15 νεικοῦντες ὑπὲρ καλοῦ καὶ ἀρετῆς. οἱ δὲ ὅτι ἐπιφέρει χρησμὸν δεδόσθαι τῷ Ἀγαμέμνονι, κατὰ τὴν τῶν ἀριστέων διαφορὰν αἱρήσειν τὴν Ἴλιον, τὴν Ἀχιλλέως μῆνιν αἰνιττόμενον. τὸν δὲ Ἀγαμέμνονα οἰηθέντα τῶν ἀριστέων τούτων εἶναι τὴν διαφορὰν ἣν ὁ χρησμὸς εἴρηκε, χαίρειν ἀγνοοῦντα ὅτι τῶν κακῶν ἔτι συνέβαινεν ἀρχὴν εἶναι. 20 H.Q. ἔχαιρε τῶν ἀριστέων φιλονεικούντων, τοῦ μὲν τὰ ψυχικὰ ἐπαινοῦντος, τοῦ δὲ τὰ σωματικά. ἔχαιρε δὲ ὁ Ἀγαμέμνων ἐπὶ τῇ τούτων φιλονεικίᾳ οὐχ ὡς χαιρέκακος, ἀλλὰ διὰ τὸ ἔχειν ἀπὸ χρησμοῦ, τότε ἐγγίζειν τὴν τῆς Τροίας ἅλωσιν ὅτε ἤδη τοὺς τῶν Ἀχαιῶν ἀρίστους φιλονεικοῦντας. καὶ ὁ μὲν Ἀχιλλεὺς ἔλεγε δι' 25 ἀνδρείαν ἁλῶναι τὸ Ἴλιον, ὁ δὲ Ὀδυσσεὺς διὰ μηχανῆς καὶ φρονήσεως. B.E. ὁ Ἀγαμέμνων ἔχαιρεν ἐν τῷ νῷ ἡσύχως βλέπων τὴν

1. τέλους—στασιάσωσι] τέλους, ἤτοι μαντευομένῳ ὁ ἐν Δελφοῖς Ἀπόλλων εἶπεν ὅτι τότε τὸ Ἴλιον πορθήσεται, ὅτε οἱ ἄριστοι στασιάσουσι τῶν Ἑλλήνων H.Q. Conf. Eustath. p. 1586, 23.

3. παρὰ πότον — πρὸς Ἀχιλλέα] παρὰ πόντον—τοῦ μὲν Ὀδυσσέως σύνεσιν ἐπαινοῦντος, τοῦ δὲ Ἀχιλλέως ἀνδρείαν, ὁ μὲν Ἀχιλλεὺς βιάζεσθαι παρῄνει καὶ ἀνῃρέθη, ὁ δὲ Ὀδυσσεὺς δόλῳ μετῆλθε τὸν Ἀγαμέμνονα H.Q. Sed H. in marg. τοῦ μὲν ἀχ. ἀνδρ. ἐπαιν. τοῦ δὲ ὀδ. σύνεσιν μετὰ τὴν ἕκτορος ἀναίρεσιν.

5. ὁ μὲν] ὅτε ὁ μὲν V.

6. λογίου pro λόγου Buttm.

9. βιάζεσθαι ex scholio superiore restitutum pro φαίνεσθαι.

15. ἀφιλέχθρως addidi ex H.

16. οἱ δὲ ὅτι ἐπιφέρει H. οἱ δὲ ἐπιφέρουσι Q.

17. τὴν τῶν H. τὴν om. Q.

φιλονεικίαν τοῦ Ὀδυσσέως καὶ τοῦ Ἀχιλλέως διὰ τὴν τῆς Τροίας ἅλωσιν. τότε γὰρ πέπρωτο κρατηθῆναι τὴν Τροίαν ὅτε φιλονεικήσουσιν οἱ ἄριστοι. Q.

80. Πυθοῖ] Πυθὼ πόλις Φωκίδος. ἡ αὐτὴ καὶ Δελφοί. E.H.Q. ἀπὸ κοινοῦ τὸ "ὅθ' ὑπέρβη λάϊνον οὐδόν." H. Πυθὼ τόπος ἐν Δελφοῖς, ἔνθα ἦν μαντεῖον Ἀπόλλωνος. ὠνομάσθη δὲ οὕτως ἀπὸ τοῦ τὸν δράκοντα ἐκεῖσε παρ' αὐτοῦ ἀποκτανθῆναι καὶ σαπῆναι ἐκεῖ. πύθω γὰρ τὸ σήπω. λέγεται δὲ καὶ Πυθὼ καὶ Πυθών. ἀπεβίβασε δὲ ὁ Ἀπόλλων τῷ Ἀγαμέμνονι μὴ κρατηθῆναι τὴν Τροίαν πρὶν οἱ ἄριστοι τῶν Ἑλλήνων μάχην ποιήσουσιν. ὅπερ καὶ γέγονεν. εἶτα συνεκροτήθη ὁ πόλεμος. E.

81. 82. ἐν ἐνίαις τῶν ἐκδόσεων οὐκ ἐφέροντο· διὸ ἀθετοῦνται. H.

85. κὰκ κεφαλῆς] ἡ κατά ἀντὶ τῆς περί. H.

87. τὸ ἤτοι ἀντὶ τοῦ μέν. B.

Δῖος] γράφεται θεῖος. E.

88. ὀμορξάμενος] ἀποσπογγισάμενος. H.

ἀπὸ φᾶρος] οὐκ ἀναστρεπτέον τὴν ἀπό. H.

92. ἂψ Ὀδυσεὺς] ὁ Ἀριστοφάνης "αἶψ' Ὀδυσεύς" γράφει. H.

κατὰ κρᾶτα] ὑποκάτω τῶν ὀφρύων. H.

98. ἤδη μὲν δαιτὸς κεκορήμεθα θυμὸν ἐΐσης] οὕτως Ἀρίσταρχος· οἱ δὲ ἄλλοι "ἤδη μὲν θυμὸν κεκορήμεθα δαιτὸς ἐΐσης." H.

ἐΐσης] ὁμοίας, τῆς ἰσομοίρου. H.

δαιτὸς ἐΐσης] ἢ τῆς ποιούσης τὸν δαινύμενον ἐπίσης κεκορῆσθαι, ἢ τῆς ἰσομοίρου, τῆς ἐπίσης πᾶσι δεδομένης. E.

100. νῦν δ' ἐξέλθωμεν] διὰ τί οἱ Φαίακες εὐωχηθέντες ἠγωνίζοντο γυμνικὸν ἀγῶνα, δρόμον καὶ δίαυλον καὶ οὐ τὴν ἄλλην ἄθλησιν; παντελῶς γὰρ ἀπόνων ἀνθρώπων ταῦτα. ἴσως δὲ, ἁρμόττον τοῖς ἤθεσι δέον ποιεῖν, ἐπειδὴ μίμησις ἡ ποίησις, οὕτω πεποίηκεν. ὅτι δὲ τοιοῦτοι δῆλον. ἔφασαν γὰρ "ἀεὶ δ' ἡμῖν δαίς τε φίλη κίθαρίς τε χοροί τε" (248.). E.Q.

8. ἀπεβίβασε] Scribendum videtur ἀνεβίβασε: quanquam hoc etiam verbum de oraculo aliunde mihi non notum. BUTTM.

18. αἶψ'] Conf. ad ι, 485.

20. θυμὸν—δαιτὸς] Sic etiam M. in textu, annotato in margine ἤδη μὲν θυμὸν ἀρίων (i. e. Ἀρίσταρχος).

22. ὁμοίας] ὁμοίως H.

26. καὶ οὐ τὴν Buttm. pro καὶ τήν.

παντελῶς — ποιεῖν] τοῦτο γὰρ τῶν παλαιῶς ἀπόνων ἐστιν· ἴσως δὲ δέον τὸ ἁρμόττον τοῖς ἤθεσι καὶ ποιεῖν Q.

102. *ὅσον περιγιγνόμεθ' ἄλλων πύξ τε παλαιμοσύνῃ τε*] *καὶ πῶς φησιν "οὐ γὰρ πυγμάχοι εἰμὲν ἀμύμονες οὐδὲ παλαισταί"* (246.); *ἐν ὅσῳ τοίνυν ἄπειροί εἰσιν Ὀδυσσέως οἴονται νικᾶν ἅπαντας ἐν τούτοις, ὅτε δὲ τῇ πείρᾳ δείξας ἑαυτὸν Ὀδυσσεὺς ἐκαυχήσατο περὶ τῶν ἄλλων ἄθλων μόνον παραιτησάμενος τὸν δρόμον, ἀντιμεταλαβὼν τὰ* 5 *ἐγκώμια Ἀλκίνους φησὶν "ἀλλὰ ποσὶ κραιπνῶς θέομεν καὶ νηυσὶν ἄριστοι, ἀεὶ δ' ἡμῖν δαίς τε φίλη, εἵματά τ' ἐξημοιβά"* (247—249.). H.Q.

105. *οὕτως αἱ Ἀριστάρχου.* H.

108. *θαυμανέοντες*] *θαυμάζοντες. ὡς τὸ χειμάζω χειμαίνω, ὀνο-* 10 *μάζω ὀνομαίνω, οὕτως θαυμάζω θαυμαίνω καὶ θαυμανέω.* B.E.H. *θεασόμενοι, θαυμάσαι μέλλοντες.* P.

111. *Ἀκρόνεως*] *ὄνομα κύριον.* Gl. H. *Ἀκρόνεως λέγεται ὁ τὸ ἄκρον τῆς νεὼς ἔχων. ὠκύαλος ὁ ὠκὺς κατὰ τὴν ἅλα.* H.

114. *τινὲς ψιλοῦσι τὸ ἀμφίαλος· δύναται μέντοι καὶ δασύνε-* 15 *σθαι.* H.

119. *τὸ Ἅλιος προπαροξύνεται, ὡς τὸ ἄνιος, ξένιος, κρόνιος.* H. *Ἅλιος προπαροξύνει ἡ συνήθης ἀνάγνωσις Ἡρωδιανοῦ.* M.

121. *ἀπὸ νύσσης*] *ἀπὸ τῆς ἀφετηρίας.* B.Q.

122. *κονίοντες πεδίοιο*] *λείπει ἡ διά. ἐν τῷ πεδίῳ κόνιν ἐγείροντες.* 20 *ὡς τὸ "Ἄργεος ἦεν Ἀχαιικοῦ"* (Od. γ, 251.), *ἀντὶ τοῦ ἐν Ἄργει.* Q.

124. *ὅσσον τ' ἐν νειῷ οὖρον πέλει ἡμιόνοιιν*] *τουτέστιν, ὅσον ἀφορίζονται τῶν βοῶν ἀροτριάσει ἡμίονοι, ὡς προφερέστεραι οὖσαι ἄροτρον ἐλαύνειν, καθὰ καὶ ἐν Ἰλιάδι λέλεκται.* B. *ὅσον δὲ βοῶν ὑπέρτεροι ἡμίονοι.* E. 25

οὖρον λέγει τὸ μέσον τῶν ἡμιόνων, ἤγουν τὸν ζυγόν. ὁ γὰρ ζυγὸς

1. παλαιμοσύνῃ] Hanc Aristarchi scripturam esse ex scholiis integrioribus annotavit Eustathius p. 1587, 39. τὸ δὲ περιγινόμεθα μακρὰν ἀεὶ ἔχει τὴν ἄρχουσαν τοῦ γινόμεθα, ὥσπερ καὶ τὸ γινώσκειν. τὴν δὲ παλαισμοσύνην ὥσπερ ἐν Ἰλιάδι, οὕτω κἀνταῦθα δίχα τοῦ σ γράφειν φασὶ τὸν Ἀρίσταρχον.

9. οὕτως] Videtur ad κρέμασεν spectare, pro quo Aristophanes δῆσεν scripserat. Vid. ad ν, 67.

11. θαυμαίνω H. θαυμάνω B.E.

12. θεασόμενοι Buttm. pro θεασάμενοι.

18. Ἡρωδιανοῦ Cobetus. ἡροδότου M.

22. ἡμιόνοιιν scripsi pro ἡμιονοῖιν, de quo Buttm. "Nescio unde mendosus hic accentus textum etiam Homeri hic et supra η, 2. in quam plurimis editionibus et antiquissimis et, Schæferi excepta, recentissimis invaserit. Verus accentus utrobique in textu P." BUTTM.

μέτρον ἔχει, καὶ οὐ προβέβηκε τὸ ἓν μέρος τοῦ ἑτέρου, ἵνα μὴ πρὸς κακὸν γένηται τοῖς ζῴοις. τινὲς δὲ οὕτως λέγουσιν, ὥσπερ τοὺς βόας συγκρίνοντες τοῖς ἡμιόνοις, λέγοντες ὡς ἡμίονοι προτρέχουσιν ἐν τῷ κάμνειν, ἐὰν δύο ἡμίονοι ἀνὰ μέρος ζευχθεῖεν καὶ δύο βόες ἀνὰ μέρος, ἀλλ' οὐκ εἰς ἕνα ζυγόν. ὅσον οὖν προβαίνουσιν οἱ ἡμίονοι, τοσοῦτον καὶ αὐτὸς τῶν ἄλλων Φαιάκων. E. οὖρον, ὅρμημα. σημεῖον φανερὸν ἦν τὸ μέτρον τῶν ἡμιόνων παρὰ τοῖς ἀρχαίοις. P.Q. καὶ ἐν Ἰλιάδι (κ, 351.) "ὅσσον τ' ἐπίουρα πέλονται ἡμιόνων, αἱ γάρ τε βοῶν προφερέστεραί εἰσι ἑλκέμεναι νειοῖο." ὅσον φησὶν ἐν τῇ ἠροτριασμένῃ γῇ ἐστι διάστημα τῆς τῶν ἀροτριώντων ἡμιόνων κινήσεως παλιστρόφου, τοσοῦτον ὑπερενίκα ἀεθλεύων τῷ δρόμῳ τῶν ἄλλων ὁ καλούμενος Κλυτόνηος. φέρων τὸ ὄνομα ἐκ τοῦ κλυτὸν καὶ ἔνδοξον εἶναι κατὰ τὰς νῆας. σύνθετον γὰρ τὸ ὄνομα ἐκ τοῦ κλυτὸς ὁ ἔνδοξος καὶ τοῦ ναῦς. σύνθετα δὲ τούτῳ τῷ τρόπῳ καὶ τὰ τῶν πρότερον ὁμοιότροπα ὀνόματα τῶν ἀπαριθμηθέντων ἀνωτέρω τοῖς ῥηθεῖσιν Ὁμηρείοις ἔπεσιν. Q.

127. ἀπεκαίνυτο] ἐνίκα, καταχρηστικῶς. E.Q.

133. τὸν ξεῖνον ἐρώμεθα, εἴ τιν' ἀέθλων οἶδε] ἄπειρον ᾤετο τὸν Ὀδυσσέα ἄθλων, ὡς δῆλον κἀκ τῶν Εὐρυάλου. τοιαύτην γὰρ ἐχόντων τὴν ὑπόληψιν περὶ αὐτοῦ πάντων τῶν Φαιάκων καὶ Εὐρύαλος εὐθάρσησεν εἰπεῖν "οὐ γάρ σ' οὐδὲ, ξεῖνε, δαήμονι φωτὶ ἐΐσκω ἄθλων" (159.). Q. ἠθικῶς ἄρα· οἱ γὰρ ἔν τινι κατορθοῦντες καὶ πρὸς τοὺς ξένους ἐπιδεικτιῶντες κἀκείνους πειρᾶν προτρέπειν παρέχονται, οἰόμενοι προὔχειν αὐτῶν διὰ τοῦ παρὰ τοῖς ξένοις εὐδοκιμεῖν. T.

134. φυήν γε μὲν] καὶ ταῦτα ἐκ συμβαίνοντος· κατειρωνεύονται γὰρ οἱ ἔν τινι ἐπιτηδεύματι προὔχειν οἰόμενοι. μᾶλλον δὲ καὶ χρηστὸν ἦθος ὑποβάλλει, ἵνα, ἐὰν ἀποτύχῃ, συγγνώμης δικαίας τύχῃ διὰ τὸ κεκακῶσθαι τὸ σῶμα. T.

137. συνέρρηκται] συντεταπείνωται, ἢ ἐνέρρηκται, ἐγκέκρουσται· συντέθραυσται, συμπέπτωκεν, ἠλάττωται. H.T.

142. οὔτε Ἀρίσταρχος οὔτε Ἀριστοφάνης οὔτε Ζηνόδοτος ἐπίστανται τοῦτον τὸν στίχον. H. οὗτος ὁ στίχος ἐν ταῖς Ἀριστάρχειαις οὐ φέρεται. H.

3. τοῖς ἡμιόνοις Buttm. pro τοὺς ἡμιόνους.
4. ζευχθεῖεν] Immo ζευχθῶσι.
6. φανερὸν] φοβερὸν P.
18. Addidi ὡς.
25. γὰρ addidit Prellerus.
29. συμπέπτωκεν, ἠλάττωται om. T.
30. ἐπίστανται] Id est *agnoscunt*. PORSON.

144. στῇ] γρ. βῇ. M.

145. δεῦρ' ἄγε] ἀμφότερα κελευστικὰ ἀντὶ τοῦ ἴθι. H.V.

147. ᾖσιν] ὑπάρχῃ. καὶ τὸ σιν ἐπέκτασις. B.E. τὸ δὲ ᾖσιν γέγονεν οὕτως, ὦ ᾖς ᾖ καὶ κατ' ἐπέκτασιν ᾖσιν. H.Q.

οὐκ ἔστι μεῖζον κλέος ἀνέρος ὅσος ἐστί. Q. οὐκ ἔστι μεῖζον κλέος ἀνδρὸς ἕως ἂν ζῇ πλὴν ἡ διὰ τῶν χειρῶν καὶ ποδῶν ἀρίστη πρᾶξις. T.

150. σοὶ δ' ὁδὸς] χρησίμως, ἵνα καὶ αὐτὸς προθυμότερος γένηται· τὸ δὲ ἐπαρτέες ἀντὶ τοῦ ἑτοῖμοι, κατηρτισμένοι. T.

151. ἐπαρτέες] ἀπηρτισμένοι, εὐτρεπισμένοι, εὐτρεπεῖς, ἕτοιμοι, ἐπηρτισμένοι. B.E.

153. τί με ταῦτα κελεύετε] ὡς δὴ μείνας παρ' αὐτοῖς ἡμέρας δύο καὶ τὰς προσηγορίας αὐτῶν ἐπίσταται. ἀπὸ ἑνικοῦ δὲ εἰς πληθυντικὸν μετέβη πάλιν τὸ ποικίλον τῆς ποιητικῆς ἐνδεικνύμενος. ὁ δὲ νοῦς, τί κελεύετε με ταῦτα; E.

154. καὶ μᾶλλον] περιττὸς ὁ καί. H.

158. νείκεσέ τ' ἄντην] γρ. φώνησέν τε. M.

161. γρ. θαμά. H.

162. οἵτε πρηκτῆρες ἔασι] ἔμπειροι τῶν φορτίων, ἢ τοῦ μισθοῦ ἀπαιτηταί. E.

163. φόρτου τε μνήμων καὶ ἐπίσκοπος] τῶν πρὸς ὁδοιπορίαν. Gl. H. ἔμπειρος τῶν φορτίων, ὡς λέγομεν νῦν ὁ ναύκληρος. H. ὁ μεμνημένος πόσου ἐστὶν ἕκαστον ἄξιον, ὃν γραμματέα καλοῦσιν εἰκός. οὐ γὰρ αὐτὸν δεσπότην τῶν φορτίων φησίν, ἀλλ' ὥσπερ τινὰ τῶν φορτίων φροντίζοντα καὶ τῶν πλεόντων. τοῦτο δέ τινες σημειοῦνται πρὸς τὸ ἀγνοεῖν γράμματα τοὺς ἥρωας. τῇ γὰρ μνήμῃ φασὶ τὰ ἐγκείμενα κατέχειν διὰ τὸ ἀπείρως ἔχειν γραμμάτων. ὅθεν καὶ τοὺς Φοίνικας ἐμπόρους ὑπὸ τῆς χρείας αὐτῆς ἐπὶ τὴν τῶν γραμμάτων εὕρεσιν ἐλθεῖν. ἡ δὲ χρῆσις παρὰ τοῖς παλαιοῖς ἔχει, τὸν γραμματέα καὶ τὸν ἐπιμελητὴν μνήμονα καλεῖσθαι. Ἀριστοφάνης δὲ

2. κελευστικά H. κελευτικά V. ἀντὶ τοῦ ἴθι om. V.

3. ὑπάρχῃ scripsi pro ὑπάρχοι.

18. θαμά] Sic scriptum in M. Similiter etiam alibi librarii θ' ἅμα et θαμά confuderunt, ut δ, 686.

23. ὁ μ.] Legebatur ἄρα ὁ μ. quod ἄρα fortasse ortum ex ἀρχός, quod legitur v. 162.

24. εἰκός] Corruptum. Fortasse οἱ νῦν.

29. παλαιοῖς] πολλοῖς E. in scholio breviori.

ἀντὶ τοῦ ἐπίσκοπος ἐπίστροφος σημειοῦται. E.Q. ἐπιμελόμενος τῶν φορτίων, ἢ μνημονεύων ἕκαστον πόσου ἦν ἄξιον. E.P.V.

φόρτου τε μνήμων] προεστὼς καὶ ἐπιμέλειαν φόρτου ποιούμενος καὶ τοῦτο ἐσπουδακὼς, ὃν ἡμεῖς ἐπίπλουν καλοῦμεν. τὸ δὲ "θαμίζων" πυκνῶς πλέων· τὸ δὲ "πρηκτῆρες" πράττοντες· τὸ δὲ "κερδέων" τῶν ἐκ τῆς πράσεως· τὸ δὲ "ἁρπαλέων," πρὸς ἃ ἁρπακτικὸν ἄν τις ἀσμένως λάβοιτο δόλον. ἐμπορευτικῷ τινὶ καὶ καπήλῳ ἔοικας ἀνδρὶ μᾶλλον ἢ ἀγωνιστῇ. T.

ἐπίσκοπος ἦσιν] προναύκληρος ὑπάρχοι. E. ἔφορος ἢ φύλαξ. V.

ἦσιν] γρ. εἶσι καὶ εἰσέρχῃ. H.

ὁδαίων] φορτίων ἐφοδίων, ἢ τῶν πρὸς ὁδοιπόρων ἐπιτηδείων. E.Q. ἠίων. MS. Barnes. γρ. ἑταίρων. P.

164. κερδέων θ' ἁρπαλέων] τῶν ἡδέων ἤτοι ἀδίκων, ἃ ἄν τις ἁρπάζῃ δι' ἡδονήν. H. ὠφελειῶν ὧν ἄν τις ἁρπάσειε δι' ἡδονήν. E.P.V. ἢ τῶν ἀδίκων. E.

166. ξεῖν', οὐ καλὸν ἔειπες] ἔθος ἐστὶν Ὁμηρικὸν ἐκ τῶν λόγων χαρακτηρίζεσθαι καὶ τὸν τρόπον τοῦ ἐντυγχάνοντος. καὶ ἐν ἄλλοις περὶ τοῦ Τηλεμάχου "αἵματος εἶς ἀγαθοῖο, φίλον τέκος, οἷ' ἀγορεύεις" (δ, 611.)· οἰόμενος τὸν εὐγενῆ καὶ πεπαιδευμένον ἀναγκαίως ὁμιλεῖν, πρεπόντως δὲ πάντα λέγειν. Ὀδυσσεὺς δὲ, οὐ γὰρ διεβεβαιώσατο τὸ ἀτάσθαλον αὐτὸν εἶναι. ἀλλ' ἐοικέναι φησὶ τούτῳ διὰ τὸ ἀντειπεῖν καὶ εἰρηκέναι. Q.T.

167. οὕτως οὐ πάντεσσι θεοὶ] ἄκρως ἐντρέπει ἀξιόπιστον ποιούμενος τὸν ὀνειδισμόν. αὐτῷ τούτῳ λυπεῖ τῷ φάσκειν ἀσύμφωνον ἔχειν τῇ μορφῇ τὸν τρόπον. Q.

168. ἀγορητύν] διάλεκτον, δημηγορίαν. V.

169. ἀκιδνότερος] ἀσθενὴς, ἀπρεπής. οἱονεὶ γὰρ παρὰ τὸ μὴ κίειν δι' ἀσθένειαν. ἢ παρὰ τὸ αἰκίζω ἀκιδνόν κατὰ ἀποβολὴν τοῦ ι, τὸ οἱονεὶ ᾑκισμένον καὶ εὐτελές. ἢ παρὰ τὸ κινῶ ἀκιδνὸν τὸ μὴ κινούμε-

1. σημειοῦται] ὃ σημείωσαι requirit Nauckius l. c.

ἐπιμελόμενος] ἐποψόμενος P. Apollon. Lex. ἐπίστροφος· ἐπιστρεπτικὸς, οἷον ἐπιμελής (ἐπιμελητής, οἷον ἐπιστρεπτικός Nauck. Aristoph. p. 50.)

8. μᾶλλον addidit Prellerus.

10. γρ. εἶσι καὶ εἰσέρχῃ] Hoc dicit, γρ. εἶσιν, ὅ ἐστιν ἔρχεται. "In P. in cujus textu εἶσιν correctum in ἦσιν, supra scriptum εἰσέρχῃ (sic.)" BUTTM.

14. ὧν P. ὧς E. ἃ V.

20. πρεπόντως δὲ πάντα λέγειν Buttm. pro πρίαμος δὲ πάντα λέγει. πρεπόντως —εἰρηκέναι om. T.

27. γὰρ om. Q.

κίειν H. μίαν Q.

νον. H.Q. δύσμορος, παρὰ τὸ αἰκίζω τὸ αἰσχύνω. E. παρὰ τὸ αἰκίζω ἀκιδνός γίνεται, ἀφ' οὗ καὶ συγκριτικὸν ἀκιδνότερος ἐστὶν ἀσθενέστερος ἢ προπετέστερος, ἢ ἀμφότερον. V.

170. ἀλλὰ θεὸς μορφὴν] δαιμονίως ἀφαιρεῖται τὸ φρόνημα τῶν ἐπὶ εὐμορφίᾳ μελαγοφρονούντων. τῆς γὰρ μορφῆς στέφανόν φησιν 5 εἶναι τὸν λόγον. εἰσόμεθα δὲ καὶ τὴν ἑξῆς ἐργασίαν, ἡδόμενοι αὐτὸν ὁρῶσι διὰ τὴν ἐκ τῶν λόγων πειθώ. ὥστε ὅπερ ἐδόκει ἴδιον εἶναι τοῦ κάλλους, τοὺς ὁρῶντας εὐφραίνειν, τοῦτο τοῖς λόγῳ κεκοσμημένοις Ὅμηρος ἀποδίδωσιν. H.Q.T.

ἄλλῳ μὲν καλῶς ἀγορεύειν καὶ ὁμιλεῖν, τῷ δὲ μορφὴν ἔχοντι μὴ 10 καλὴν στέφει λόγοις, ἤτοι σεμνύνει. Q.

171. τερπόμενοι λεύσσουσιν] ὅτι ὁ δυνάμενος λέγειν καλῶς καὶ μεγάλως καὶ ἰσχυρῶς ἐν τῷ δήμῳ, οὗτος ἐπιφανέστερός ἐστιν. T.

λεύσσουσιν] λεύσσοντες, ὅ ἐστι βλέποντες. V.

172. μετὰ δὲ πρέπει ἀγορομένοισιν] σύμφωνον τῷ προκειμένῳ, τερ- 15 πόμενοι λεύσσουσιν. ὁ δὲ λέγει οὖν ἱκανὸν ἐν πᾶσιν ἐμπρέπει. Q.

173. θεὸν ὣς εἰσορόωσιν] τῇ ὑπερβολῇ δαιμονίως· οὐ γὰρ μόνον ὡς καλὸν ὁρῶσιν, ἀλλ' ὡς θεόν. T.

174. ἄλλος δ' αὖτ' εἶδος] ὁ κατὰ τὴν μορφὴν εὐτελής. οὐκοῦν ὁ μὲν αἰσχρὸς τὴν ὄψιν, λόγῳ δὲ κεκοσμημένος ὡς θεὸς διαπορεύεται 20 διὰ τῆς πόλεως, ὁ δὲ καλὸς τὴν μορφὴν κἂν ὅμοιος ᾖ θεῷ, χάριν δὲ καὶ σύνεσιν ἐν τῷ λέγειν μὴ ἔχῃ, οὐδενὸς ἄξιος φαίνεται. T.

175. ἀλλ' οὔ οἱ χάρις] ὅ ἐστιν, οὐδέν σοι ὄφελος τοῦ τοιούτου κάλλους, ἐπεὶ εἰς ὀνειδισμὸν χωρεῖ. οἷόν ἐστι καὶ τὸ ἐν Ἰλιάδι (γ, 39.) "δύσπαρι εἶδος ἄριστε." ἡ δὲ διάνοια οὐδ' ἂν θεὸς βουλό- 25 μενος κατασκευάσαι. B.E.Q.

περιστρέφεται] παρακολουθεῖ, πάρεστιν. V.

176. οὐδέ κεν ἄλλως] εἰ θεὸς θελήσαι καλὸν ποιῆσαι τοιοῦτον οἷος εἶ σύ. V.

177. οὐδὲ θεὸς τεύξειε] οὐδ' ἂν θεὸς ἐπιβαλλόμενος κατασκευάσαι 30 καλὸν καλλίονα κατασκευάσειε. οὐκ ἐβουλήθη δὲ παντάπασιν λυπῆσαι τὸ μειράκιον, ἀλλὰ τὸ κάλλος ἐπαινῶν οὐκ ἐπαινεῖ τὸν νοῦν. T.

7. ὁρῶσι H. ὁρῶσαι Q.
πειθώ] πυθώ H.
8. εὐφραίνειν T. ἀφραίνειν H.Q.
λόγῳ om. T.
14. λεύσσοντες] An in aliis fuit τέρπονται λεύσσοντες? BUTTM.
16. ὁ δὲ — ἱκανὸν] Hæc non integra.
17. τῇ ὑπερβολῇ δαιμονίως] De hoc usu dativi vid. ad δ, 720.

νόον δ' ἀποφώλιός ἐσσι] εἰ θεὸς θελήσει καλὸν ποιῆσαι, οὐκ ἂν ἄλλως κατασκευάσειεν, ἀλλὰ σοὶ ὅμοιον. τὸ δὲ ὅλον τοιοῦτόν φησιν· ὡραῖος μὲν εἶ λίαν καὶ ὅσον πρὸς εἶδος ἄξιος ἐπὶ μέσου ἵστασθαι καὶ ὁρᾶσθαι· ὅσον δὲ πρὸς νοῦν καὶ τὰς ἐκ νοῦ χάριτας, ἤτοι τοὺς λόγους, ἀπὸ τοῦ φωτὸς καὶ τοῦ μέσου ἀφίστασο. ἀποφαύλιος καὶ ἀποφώλιος, ἀνάξιος τοῦ ἐν μέσῳ καθῆσθαι ὁμάδῳ ἀνδρῶν. ἐκ γὰρ τοῦ φάος καὶ τοῦ ὅλον καὶ τοῦ οἶος ὁ μόνος καὶ τῆς ἀπὸ προθέσεως τῆς σημαινούσης τὸ α στερητικὸν ἡ λέξις συνετέθη. καὶ ἔστι κυρίως ἀποφώλιος ὁ μὴ ἄξιος συναριθμεῖσθαι ἀνδρῶν ὁλότητι ἐν φωτὶ, ἤγουν ἐν καιρῷ ἔργων ἢ λόγων δεομένῳ. φωλεοὺς λέγουσι τὰ παιδευτήρια. ὁ γοῦν μὴ φοιτῶν εἰς τὰ παιδευτήρια λέγεται ἀποφώλιος. E.

178. ὤρινάς μοι θυμὸν] ἠρέθισας καὶ ἐτάραξας. καὶ σφοδροτέρῳ κεχρημένος τῷ λόγῳ ὑποπαραιτεῖται. T. ὅ ἐστιν, ἐτάραξάς μου τὴν ψυχήν. B.

182. νῦν δ' ἔχομαι κακότητι] εἰκότως ὑποπαραιτεῖται προβαλλόμενος τὴν κακοπάθειαν τοῦ σώματος. οὕτως γὰρ ἂν αὐτῷ συνέβαινε κατορθώσαντι μὲν θαυμάζεσθαι, ἀποτυγχάνοντι δὲ συγγνώμης τυχεῖν. Q.T.

183. πείρων οὐκ ἔστιν ἀπὸ τοῦ περῶ πλεονασμῷ του ι. οἶδε γὰρ καὶ τὸ "πεῖρε κέλευθον" (Od. β, 434.). Q.

184. προδιορθώσει κέχρηται, ἵνα μὴ δοκῇ νεανιεύεσθαι ἐπιπηδῶν τοῖς ἄθλοις. H.T.

185. θυμοδακὴς] τὴν ψυχὴν δεδηκώς. T.

186. ἦ ῥα] τὸ ἦ ὅτι μὲν ταὐτὸ σημαίνει τῷ ἔφη δισυλλάβῳ καὶ τῷ φῆ διγραμμάτῳ ῥήματι παρ' Ὁμήρῳ δῆλον. καὶ δοκεῖ γεγενῆσθαι τὸ ἦ ἀπὸ τοῦ φῆ κατ' ἀφαίρεσιν τοῦ φ. τίς δὲ ἡ διαφορὰ τοῦ ἦ πρὸς τὸ φῆ ζητοῦσιν. διαφέρειν δὲ φαίνεται ὅτι τὸ μὲν ἦ ἐπὶ προειρημένοις λόγοις λέγεται, ὡς ἐνταῦθα, καὶ ἐν τούτοις "ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων" (Il. α, 528.)· "ἦ καὶ ἐπ' ἀργυ-

1. Addidi ἄν.
3. ὅσον Buttm. pro ἴσως.
10. φωλεοὺς —] Ex H. enotatum φωλεοὶ γὰρ τὰ παιδευτρά.
13. κεχρημένος Preller. κέχρηται T.
15. ὑποπαραιτεῖται T. παραιτεῖται Q. προσβαλλόμενος post σώματος T.
17. συγγνώμης τυχεῖν T. συγγνώμην αἰτεῖν Q.
21. π.— ἄθλοις] προσδιορθώσει δὲ χρῆται, ἵνα μὴ δοκῇ τοῖς ἄλλοις ἐπιπηδᾶν T., in quo hoc scholion proximo adjunctum post δεδηκώς.
24. τὸ ἦ —] Legitur hoc scholium etiam in cod. Veneto B. ad Il. ε, 533. ac de extremis ejus quædam affert Brunck. in Lex. Soph. v. ἦ, e *Porphyrii scholiis MS.* ad eundem locum. BUTTM.

ρέῃ κώπῃ σχέθε χεῖρα βαρεῖαν" (Il. α, 219.). προειπόντος γὰρ τοῦ Διὸς καὶ τοῦ Ἀχιλλέως ταῦτα ὁ ποιητὴς λέγει, καὶ δι' ἀμφοτέρων ὅλων τῶν ποιήσεων οὕτως αὐτῷ μόνον ὑποτάττεται. τὸ δὲ φῇ καὶ ἔφη καὶ προτάσσεται τῶν ῥηθησομένων λόγων καὶ τούτοις ὑποτάσσεται. καὶ μία μὲν αὕτη διαφορὰ τοῦ φῇ καὶ ἔφη πρὸς τὸ ἦ· δευ- 5 τέρα δὲ αὕτη. τὸ μὲν γὰρ ἦ καθ' ἕνα σχηματισμὸν ἐκφέρεται καὶ σημαίνει ῥῆμα, τὸ εἶπεν, ὁριστικὸν ἑνικὸν ἀορίστου χρόνου δηλωτικὸν ὑπάρχον τρίτου προσώπου, τὸ δὲ φῇ κλίσιν εἰς ἅπαντας τοὺς χρόνους καὶ τοὺς ἀριθμοὺς καὶ τὰ πρόσωπα καὶ τὰ γένη λαμβάνεται, καὶ τρέπεται καθάπερ τῶν ἄλλων ῥημάτων τὰ παραπλήσια. παρὰ δὲ 10 τοῖς Ἀττικοῖς ἔστι τι μονοσύλλαβον ῥῆμα καὶ μονογράμματον, ἦ, σημαίνει δὲ δύο. τὸ μέν τι ταὐτὸ τῷ παρ' Ὁμήρῳ· χρῶνται γὰρ αὐτῷ παραπλησίως ἀντὶ τοῦ ἔφη κατὰ τοῦ τρίτου προσώπου· τὸ δέ τι ταὐτὸν τῷ ὑπῆρχον, ὃ ποιεῖ ἦν, ὅπερ ἐπιπολάζει νῦν. τῶν δὲ Ἀττικῶν οἱ μὲν ἀρχαῖοι μονογράμματον αὐτὸ προεφέροντο, οἱ δὲ νεώτεροι 15 σὺν τῷ ν καθάπερ τῶν πρεσβυτέρων τινές. χρῆται δὲ τούτῳ ὁ ποιητὴς ποτὲ μὲν εἰς δύο συλλαβὰς διαιρῶν αὐτὸ καὶ δύο γράμματα βραχέα, οἷον ἐπὶ τοῦ Νέστορος, "εἰ τότε κοῦρος ἔα, νῦν αὖτέ με γῆρας ἱκάνει" (Il. δ, 321.). καὶ "τοῖος ἔ' ἐν πολέμῳ, ἔργον δέ μοι οὐ φίλον ἔσκεν, οὐδ' οἰκωφελίη" (Od. ξ, 222.)· ποτὲ δὲ τὸ πρότερον ἐκτείνων 20 γράμμα εἰς τὸ συγγενὲς τὸ η, οἷον "ἀλλ' ὅτε δὴ σχεδὸν ἦα κιὼν νεὸς ἀμφιελίσσης" (Od. μ, 368.). ἐν γὰρ τούτοις ταὐτόν τι λέγει τῷ ἤμην. τὸ δὲ μονοσύλλαβον οὐχ εὑρίσκομεν παρ' αὐτῷ κατὰ τῆς δυνάμεως ταύτης, ἀλλὰ κατὰ τῆς ἑτέρας μόνης. τῶν δὲ Ἀττικῶν ἐστι παρὰ Κρατίνῳ ἐν Πυτίνῃ "γυνὴ δ' ἐκείνου πρότερον ἦ, νῦν δ' οὐ- 25 κέτι." καὶ παρὰ Σοφοκλεῖ ἐν τῇ Νιόβῃ "ἦ γὰρ φίλη 'γὼ τῶνδε τοῦ προφερτέρου." καὶ ἐν Οἰδίποδι Τυράννῳ "ἦ δοῦλος οὐκ ὠνητός, ἀλλ'

3. ὑποτάττεται Buttm. pro ὑποτάττει, quod qui servare volet, αὐτῷ in αὐτὸ mutabit. In Ven. est οὕτως αὐτὸ καὶ μόνον ὑποτάττεται τὸ ἦ.

8. κλίσιν] Scribendum videtur ἄκλιτον. In Ven. est κλίνεται et mox καὶ εἰς ἅπαντας ἀριθμούς.

τοὺς χρόνους] τοὺς et reliquos usque ad γένη articulos om. Ven.

13. τὸ δὲ τέ—ὑπῆρχον om. Ven.

15. προεφέροντο] προσεφέροντο E.

17. ποτὲ Ven. ὅτε E.

20. ποτὲ δὲ Buttm. τοῦτο E. τούτων Ven.

21. κιὼν νεὸς ἀμφιελίσσης] κινῶν νέας ἀμφιελίσσας E.

24. δυνάμεως Ven. καταδύσεως E.

25. πρότερον ἦ] πρότερον ἦν E. et Ven. Correxit Buttm.

26. ἦ γὰρ Ven. ἦν γὰρ E.

'γὼ] Plene ἐγὼ E. Ven.

27. Τυράννῳ (v. 1123.)] κολωνῷ E. τῷ ἐπὶ κολωνῷ Ven.

ἦ δοῦλος] ἦν δοῦλος E. Ven.

οἴκοι τραφείς." καὶ παρὰ Πλάτωνι τῷ φιλοσόφῳ "οὐ μὴν γὰρ ἐγὼ ἔτι ἐν δυνάμει ἧ που ῥᾳδίως." Ε.

καὶ αὐτῷ φάρει] οὐκ ἀποδυσάμενος οὐδὲ ζωσάμενος ἧκεν ἐπὶ τὸ δισκεῦσαι, ἵνα μὴ πυκτεύσας ἢ παλαίσας ἐχθρὸν ποιήσῃ τὸν ἡττηθέντα. σεμνὸν δὲ καὶ τὸ μὴ ἀποθέσθαι τὴν οὐλὴν μηδὲ ἀπογυμνωθῆναι, καὶ τὸ ἐνεργῆσαι δὲ ἅμα αὐτῷ εἰπεῖν ἔκπληξιν διὰ τοῦ τάχους παρίστησιν. Τ. καὶ σὺν αὐτῷ τῷ φάρει ἀναΐξας ἔλαβε τὸν δίσκον. διὰ τὸ τοὺς ἄλλους ἀπεκδίεσθαι ὃ ἐφόρουν ἐπάνω ἱμάτιόν φησι, καὶ αὐτῷ φάρει, δεικνύων τὸ ἀνδρεῖον αὐτοῦ. Β. σὺν τῷ ἱματίῳ, ὡς εἶχεν. V.

τὰ μὲν ἄλλα ἀθλήματα ἄλλοι ἐτύγχανον ἠγωνισμένοι. καλῶς δὲ ὁ ποιητὴς τὸ τοῦ δίσκου τελευταῖον ἀπέλιπεν, ἵνα ἐπὶ τούτου τὴν ἐπιστήμην δείξηται, ἐφ' οὗ οὐδὲ ἐν πρόσωπον ὡρισμένην ἔχει τὴν ἔχθραν ὥσπερ πάλη καὶ πυγμή. εἰκὸς γὰρ ἦν ἐξ ἐκείνων τῶν ἀγωνισμάτων ἢ πλῆξαι ἢ πληγῆναι. H.Q.

187. πάχετον] κατὰ συγκοπὴν τοῦ παχύτερον καὶ μετάθεσιν τοῦ τ καὶ ρ. Ε.

188. ἢ οἴῳ Φαίηκες] παρὸ οἱ Φαίακες. διασαφητικὸς ὁ ἢ. B.Q.

189. περιστρέψας] ὅτι ὁ δίσκος ἐκ μέσου σχοῖνον εἶχεν. E.V.

190. βόμβησεν δὲ λίθος] ὁ δίσκος λίθος ἦν. καὶ Ἐρατοσθένης ἐν Ὀλυμπιονίκαις ἱστορεῖ, τὸν μὲν σόλον λέγων σιδηροῦν ἢ ξύλινον ἢ χαλκοῦν τετρημένον κατὰ τὸ μέσον καὶ ἔχοντα καλώδιον ἐξημμένον, οὗ ἐχόμενοι βάλλουσιν οἱ ἀγωνιζόμενοι. οὕτω καὶ ἐπὶ Πατρόκλῳ κέχρηται. διό φησιν "αὐτὰρ Πηλείδης θῆκεν σόλον, ὃν πρὶν μὲν ῥίπτασκε" (Il. ψ, 826.). ὅθεν κατωμάδιον αὐτὸν λέγεσθαι "ὅσσα δὲ

1. οἴκοι τραφείς] οἰκοτραφής Ven.

Πλάτωνι] Rep. 1. p. 328 C. ubi εἰ μὲν γὰρ ἐγὼ ἔτι ἐν δυνάμει ἦν (vel ἧ) τοῦ ῥᾳδίως πορεύεσθαι εἰς τὸ ἄστυ.

2. ἧ] ἦν E. Ven.

11. τὸ τοῦ H. τούτου Q.

13. ὥσπερ Buttm. pro καὶ ὥσπερ.

15. τοῦ τ καὶ ρ] μικρώτερον E. Correctum ex Etym. M. p. 656, 53.

17. παρὸ Q. ἤπερ ἐν ᾧ B.

19. ὁ δίσκος—] Hujus scholii reliquiæ supersunt in T. τὸ μὲν σιδηροῦν ἢ χαλκοῦν τετρημένον κατὰ τὸ μέσον καὶ ἔχον καλώδιον, οὗ ἐχόμενοι βάλλουσιν, οἷον ἐπὶ Πατρόκλῳ· τὸν δὲ δίσκον λίθινον ἀπὸ τοῦ ὤμου τῆς ῥίψεως· διὸ καὶ κατωμαδὸν καὶ περιστρέψας ἧκεν. τὸν δὲ ἄνω δίσκον ἔνδεν λεῖπεν (ἐν τῇ Ἰλιάδι Prellerus) εἶπε τὸ σόλον αὐτόχθονα (corrige αὐτοχώνον) τὸν χωρὶς κακοπαθείας κεχωνευμένον :—

λίθος] Eustath. p. 1591, 24. ὁ δίσκος—καί που καὶ λίθινος, ἐνταῦθα δὲ λίθος τετρημένος.

20. Ὀλυμπιονίκαις Buttm. pro ὀλυμπιακοῖς collatis Athen. 4. p. 154 A. et Diog. L. 8, 49. et 51.

λέγων H. λέγει B.Q.

σιδηροῦν H.T. σίδηρον ceteri.

24. Post ῥίπτασκε nonnulla excidisse apparet differentiam disci declarantia eo sensu ut manibus re-

δίσκου οὖρα κατωμαδίοιο πέλονται" (Il. ψ, 431.). *διὰ τοῦτο καὶ νῦν ἔφη "τόν ῥα περιστρέψας."* B.H.Q.T. *τὸ δὲ ἑξῆς, ἤχησεν ὁ λίθος πρὸς τῇ γῇ, ὡς τοὺς Φαίακας καταπτῆξαι. δύναται δὲ καὶ ἔνευσαν πρὸς τὴν γῆν, ὅπερ οἱ ἐν καταπλήξει ποιοῦσιν.* B.H.Q.V.

191. *δολιχήρετμοι*] *μακραῖς κώπαις χρώμενοι. ἢ ὧν ἡ κωπηλασία νεανικὴ καὶ μέχρι ποταμοῦ διατείνουσα.* E.Q.

192. *σήματα*] *σημεῖα. τινὲς δὲ, βήματα.* V. *πολλοὶ γὰρ προεδίσκευσαν. σήματα δὲ τὰ πηγνύμενα τοῖς δίσκοις.* T.

195. *διακρίνειε*] *διαχωρίσειε.* V.

196. *ἀμφαφόων*] *ψηλαφῶν.* H.

οὔτι μεμιγμένον ἐστὶν ὁμίλῳ] *οὐκ ἐν τῷ πλήθει τῶν σημείων, ἀλλὰ δι' αὐτὸ ἢ τοῦ προὔχειν πολύ.* T.

197. *σὺ δὲ θάρσει τόνδε γ' ἄεθλον*] *θάρσει ἐπὶ τῷ ἄθλῳ. ἡ δὲ σύνταξις Ἀττική.* Q.

198. *τόν γ' ἵξεται*] *τόδε γ' ἵξεται Ἀρίσταρχος.* M.

200. *χαίρων οὕνεχ' ἑταῖρον*] *ὅστις ἦν ἡ Ἀθηνᾶ ὁμοιωθεῖσά τινι τῶν φίλων Ὀδυσσέως, ὡς πολλάκις φαίνεται ἥκουσα εἰς βοήθειαν.* B.

201. *κουφότερον*] *ἀλαζονικώτερον, θρασύτερον, κομπηρότερον, ἐπηρμένον, παρρησιαστικώτερον, θαρρῶν τῷ φίλῳ καὶ τῇ νίκῃ.* B.E.Q. *εὐθυμότερον.* V. *ταπεινότερον ἢ πραότερον· ἀποθέμενος γὰρ τῷ ἐπὶ τῷ ὀνείδει βάρει διὰ τῆς πράξεως ἐναργέστερος ἐγένετο· ἢ ἀλαζονικώτερος, θαρρῶν τῷ φίλῳ καὶ τῇ νίκῃ.* T.

202. *τοῦτον νῦν ἀφίκεσθε*] *τὸν τόπον καταλάβετε. ἢ ἀντὶ τοῦ, τοῦδε τοῦ δίσκου πρῶτον ἐφικέσθω τις.* E. *τὸν τόπον ἢ τὸν λίθον.* V. *τὸν ἆθλον, ἢ τὸν τόπον.* T. *τούτου πεῖραν ἐπιλάβετε.* P.

[204. *τῶν δ' ἄλλων ὅτινα: τὸ ὅτινα ποιητικὸν ὂν κεῖται μὲν ἀντὶ τοῦ ὅντινα, γίνεται δὲ ἀπὸ τοῦ τινά πλεονασμῷ τοῦ ο, καθ' ὁμοιότητα τοῦ ὅτου καὶ ὅτῳ καὶ ὅτοισιν ἀντὶ τοῦ οἵστισι καὶ ὁτέοισι, καὶ ὅτι-*

tortus ac projectus fuisse dicatur. Eratosthenis accuratissimum discrimen, neque ab Ammonio neque a ceteris grammaticis adoptatum, ex parte Apio recepit apud Apollon. Lex. Hom. *σόλος· Ἀπίων, δίσκος σιδηροῦς, ὁτὲ δὲ δίσκος λίθινος.* BERNHARD. Eratosthen. p. 251.

6. *ποταμοῦ*] *πορρωτάτου* Buttm.

8. *πηγνύμενα*] *πηγνύματα* T.

12. *ἢ τοῦ προὔχειν πολύ*] *ἤτοι προὔχον πολύ* Prellerus.

15. *τόδε—Ἀρίσταρχος*] *τὸ δέ—ἀρίων* M. eadem corruptela qua ad v. 98.

16. Vid. schol. Il. ρ, 204.

23. *ἀντὶ τοῦ, τοῦδε—ἐφικέσθω* Buttmann. pro *ἀντὶ τούτου δὴ—ἀφικέσθω.*

26. Seclusi scholion haud dubie ex Eustathio p. 1592, 19. transcriptum, ut alia in codice B.

νας ἀντὶ τοῦ οὔστινας, καὶ ὅτις ἀντὶ τοῦ ὅστις. οἷον "ὅτις σφέας εἰσαφίκηται" (Od. μ, 40.), καὶ "ἠδ' ὅτις οὐκ ἀλέγει" (Od. π, 307.). B.]

206. οὔτι μεγαίρω] οὐδὲν φθονῶ πάντων μου πειραθῆναι Φαιήκων· νῦν δὲ παρρησίᾳ χρῆται ὁ βουλόμενος μὴ εὐτελὴς φανῆναί τις καὶ εὐκαταφρόνητος· τοῦτο γὰρ αὐτῷ μόνον ἐφόδιον πρὸς σωτηρίαν, τὸ δόξαι φρόνιμον εἶναι τοῖς σπουδαίοις ἐπιτηδεύμασιν. T.

207. πλήν γ' αὐτοῦ Λαοδάμαντος] εἰκότως τούτου ὑπεξῆλθε. διὰ τὸ τῆς φιλοξενίας ὄνομα. T.

209. οὐτιδανὸς] οὐκ ἀσθενής, ἀλλὰ τοιοῦτον ὅμοιος τῷ οὐδενί. T.

211. ἕο τ' αὐτοῦ πάντα κολούει] τὰ ἑαυτοῦ πάντα σμικρύνει. E. πάντα τὰ ἑαυτῷ συμφέροντα ἀφανίζει καὶ ἐλαττοῖ. P.Q.V. κολοβοῖ καὶ ἀποκόπτει. Q. κατασείει, κωλύει, ἐμποδίζει. V.

212. οὐδ' ἀθερίζω] ἤτοι ἀποπέμπομαι. ἀπὸ τῶν ἀνθερίκων τῶν ἀσταχύων εἴρηται. ὥσπερ γὰρ ἐκεῖνοι τοῦ γεννηθέντος σίτου ἐν τῷ ἀστάχυϊ ἐκτὸς ἐκφύονται καὶ προΐασι πορρωτέρω, οὕτω πως καὶ ὁ πόρρω τινὸς ἀφιστάμενος ἀθερίζεσθαι τοῦ τοιούτου λέγεται. E.Q. ἀντὶ τοῦ οὐκ ἀποσκυβαλίζω· οἱ γὰρ λικμῶντες συνεκβάλλουσι τοὺς ἀθέρας. T. ἀποδοκιμάζω, ἀποβάλλω. P.V. γρ. οὐδ' εὐθερίζω. H.

213. ἀλλ' ἐθέλω ἴδμεν] τὸ ἴδμεν ἐπὶ ἀπαρεμφάτου σπανίως. B.

214. πάντα γὰρ οὐ κακός εἰμι] οὐ κακός εἰμι ἐν τοῖς ἄθλοις ἐκείνοις, ὅσοι ἄεθλοί εἰσιν ἐν τοῖς ἀνθρώποις. ἢ οὕτως, παντάχοῦ γὰρ τῶν ἄθλων οὐ κακός εἰμι ὅσοι ἆθλοι ὑπάρχουσιν ἐν ἀνθρώποις. B. εἰς πάντα γὰρ ἆθλα οὐ κακός εἰμι. ποῖα δὲ ἆθλα; ὅσα εἰσὶν ἐν τοῖς ἀνδράσιν. σημειωτέον δὲ ὅτι τῷ ἆθλα οὐδετέρῳ ἀρσενικὸν ἐπήγαγε τὸ ὅσσοι, πάλιν τὸ ποικίλον τῆς ποιητικῆς δεικνύων. H.Q.

215. εὖ μὲν τόξον οἶδα ἐΰξοον ἀμφαφάασθαι] μεταχειρίζεσθαι. Q. προοικονομεῖ τὴν μνηστηροκτονίαν. Q.T.

219. οἷος δή με Φιλοκτήτης] ἀξιοπίστως ἑνὶ παραχωρήσας βεβαίαν αὐτῷ τὴν κατὰ τῶν πολλῶν ὑπεροχὴν ἐποιήσατο. H.T.

220. δήμῳ ἐνὶ Τρώων] ἤδη τι τῶν ἑξῆς ὑποβάλλει, τίνων ἐστὶ καὶ

6. σωτηρίαν, τὸ] τὸ σρίαν T.
10. τοιοῦτον delendum.
13. κατασείει ex cod. addidit Barnes.
19. οὐδ' εὐθερίζω non minus absurdum quam quod est in P. οὐδ' ἀπορίζω.
24. ὅσα] ὅσσα H.Q.
εἰσὶν om. Q.
25. ἐπήγαγε] ἐπήνεγκε Q.
30. ἐποιήσατο] εἰς αὐτόν addit T.
31. ὑποβάλλει T. ἐπέβαλε E.Q.
ἐστὶ—μετεσχηκώς] ἐστι, ὁποίας στρατείας ἐξεσχηκώς T.

ὁποιας στρατείας μετεσχηκώς. εἰκότως οὖν ἔμελλεν ἐπισπᾶσθαι πρὸς τὴν ἑαυτοῦ γνώμην τοὺς παρόντας. φαίνεται δὲ διὰ τούτων ὁ ποιητὴς εἰδὼς τὴν ἐκ τῆς Λήμνου ἀνακομιδὴν τοῦ Φιλοκτήτου. E. Q.T.

τοξαζοίμεθα] *εὐστόχως τοξεύοιμεν.* Q.V. 5

222. *σῖτον ἔδοντες*] *εἶπε τοῦτο διά τινα γένη, οἵτινες οὐκ ἤσθιον σῖτον. διὸ καὶ ἀκριδοφάγοι τινὲς καὶ ἰχθυοφάγοι ἐκαλοῦντο, ὡς καὶ τὸ Σκυθικὸν καὶ Μασσαγετικὸν κρεοφάγοι καλοῦνται. τινὲς γὰρ τῶν ἀκριδοφάγων ἰδόντες ἄρτον κόπρον εἶναι ἐνόμιζον.* B.

223. *ἐριζέμεν οὐκ ἐθελήσω*] *ἀντὶ τοῦ, οὐ δυνήσομαι, ὡς τὸ "οὐδ' ἔθελε προρέειν"* (Il. φ, 366.). Q.T. 10

224. *οὔθ' Ἡρακλῆϊ*] *ποιητικῶς ἐξέτεινε τὸ ι τοῦ Ἡρακλῆϊ, ὅτι εἰς μέρος λόγου λήγει καὶ κοινή ἐστιν.* Q.

συλληπτικῶς· οὐ γὰρ Ἡρακλῆς ἤρισε περὶ τοξικήν τινι, ὁ δὲ Εὔρυτος Ἀπόλλωνι ἤρισεν. διὸ καὶ ταχέως ἀπέθανε πρὸ τοῦ δέοντος καιροῦ. E.P. *συλληπτικῶς — — τινί. ἢ ἐπεὶ ἔτρωσε θεούς, ὥς φησιν ὁ αὐτός "τλῆ δ' Ἥρη, ὅτε μιν κρατερὸς παῖς Ἀμφιτρύωνος δεξιτερὸν κατὰ μαζὸν ὀϊστῷ τριγλώχινι βεβλήκει"* (Il. ε, 392.). *ὁ δὲ Εὔρυτος Ἀπόλλωνι ἤρισεν, ὡς ἐν Ἰλιάδι φησὶν "οὔτ' Εὐρύτῳ, ᾧ περὶ τόξον ἐκηβόλος οὐδ' ἀπόνητο."* Q. 15 20

Οἰχαλιῆϊ] *ἡ Οἰχαλία πόλις Θεσσαλίας.* Q.V.

226. *τῷ ῥα καὶ αἶψ' ἔθανεν*] *διὸ ταχέως ἀπέθανε πρὸ τοῦ δέοντος καιροῦ· οὐ γὰρ ἵκετο γήραος οὐδόν* (Od. ο, 246.). *ἢ μᾶλλον ὅτι ἤρισεν αἶψα ἀπέθανεν.* Q.

229. *δουρὶ δ' ἀκοντίζω*] *κακῶς, φησίν, ἑαυτὸν ἐπαινεῖ. οἱ μὲν γὰρ ἐπαινοῦντες ἑαυτοὺς οὐδὲ θεῷ ἂν παραχωρήσειαν. οὗτος δὲ τί φησιν; "οἶος δή με Φιλοκτήτης," καὶ πάλιν "ἀνδράσι δὲ προτέροισιν" . . . . ὁ Δημόδοκος δὲ ᾔδεν . . . .* T. 25

1. *ἐπισπᾶσθαι—γνώμην* T. *ἐπίστασθαι—γνῶσιν* E.Q.

3. *ἐκ τῆς Λ. ἀνακομιδὴν*] *ἐκ λ. μετὰ τὴν κομιδὴν* T.

6—9. Similis annotatio Eustathii p. 1593, 10.

13. *κοινή ἐστι*] H. e. quoniam pars orationis eo terminatur, et syllaba communis est. Cur autem communem syllabam ι hic dicat scholiastes, non apparet: nisi ob id ipsum quod vox terminatur ea: nam ob sequentem vocalem nonnisi vocalis longa, aut anceps producta, syllabam communem efficit docente Hephæstione. BUTTM.

15. *διὸ—καιροῦ* om. P.

19. *Εὐρύτῳ — ἀπόνητο*] Egregia confusio. Versus est Apollonii, 1, 88. *Εὐρύτου, ᾧ πόρε τόξον ἑκηβόλος, οὐδ' ἀπόνητο Δωτίνης· αὐτῷ γὰρ ἑκὼν ἐρίδηνε δοτῆρι.* BUTTM.

25. *φησὶν*] Excidit cum ceteris nomen *τοῦ ἐνστατικοῦ.* PRELLER.

230. δέδοικα ποσὶν μή τίς με] ἐν οἷς πτοεῖται αὐτὸς ἡττηθῆναί φησιν ἑαυτὸν εὐδοκιμεῖν, ἐν οἷς δὲ αὐτοὶ πτοοῦνται ὡς ἀδόκιμοι, αὐτόν φησι μὴ ὑπερέχειν. E.

πάλιν ὑπεσταλμένος τῷ λόγῳ, ἐπειδὴ ἐν τοῖς προκειμένοις ἐδόκει μεγαλαυχεῖσθαι. T.

232. κύμασιν ἐν πολλοῖς] εἰπὼν κύμασιν ἠνίξατο τὴν ναυαγίαν. προσθεὶς δὲ τὸ "ἐπεὶ οὐ κομιδὴ κατὰ νῆα," τὴν τῆς θεοχολωσίας ἐκάλυψε βλάβην. E.Q.T.

236. ξεῖν', ἐπεὶ οὐκ ἀχάριστα] τὸ ἑξῆς οὕτως, ἐπεὶ οὐκ ἀχάριστα μεθ' ἡμῖν ταῦτ' ἀγορεύεις, ἄγε δὴ νῦν ἐμέθεν ξυνίει ἔπος· ἵν' ᾖ ὁ ἀλλά ἀντὶ τοῦ δή. B.Q.

ἀχάριστα] ἄνευ χάριτος, ὅ ἐστι σκαιῶς καὶ ἀηδῶς. οὐ γὰρ ἐπὶ λοιδορίᾳ τῶν παρόντων, ἀλλ' ἐπὶ τῇ αὐτοῦ συστάσει τὸν λόγον ἐποιεῖτο, ὅπερ καὶ ὁ Ἀλκίνους ποιήσει. B.E.Q.

240. ἐπισταίη] εἰδείη. V.

241. ἀλλ' ἄγε νῦν ἐμέθεν] ἀλλὰ νῦν ἐμοῦ, φησὶν ὁ Ἀλκίνοος, ἄκουσον, ὅπως καὶ ἄλλῳ τῶν ἡρώων ἐμὸν ἔπος εἴπῃς, ὅτε δαινύῃ καὶ εὐωχῇ, παρὰ τὰ σῖτα καὶ τὰς τροφὰς, ἐν τῇ σῇ ἀλόχῳ καὶ τοῖς παισὶ καὶ τοῖς γονεῦσι, μεμνημένος τότε ὅτε ταῦτα ποιεῖς εἰς τὴν σὴν ἀπελθὼν πατρίδα καὶ τῆς ἡμῶν ἀρετῆς, οἷα καὶ ἡμῖν ὁ Ζεὺς ἔργα παρεσκεύασεν ἔχειν χρηστά. E.Q.

ὄφρα καὶ ἄλλῳ] γρ. καὶ ἄλλοις. P.

245. ἐξ ἔτι πατρῶν] διὰ τί μὴ πάτρων; αἱ γὰρ συγκοπαὶ ἀναβιβάζουσι τοὺς τόνους, ὁμόπατρος, ὅπατρος. ἀλλὰ λέγομεν ὅτι χαρακτῆρι συνεξέδραμε τῷ χηνῶν, μηνῶν, πάτρες πατρῶν. E.Q.

246. οὐ γὰρ πυγμάχοι] ἐλεγχθεὶς ἀρνεῖται λοιπὸν ἴσως εἰς τὸ μὴ παροξῦναι τὸν Ὀδυσσέα. P.Q.V. ποικίλως δὲ συνέταξε. καὶ γὰρ τὸ εἰμὲν ἐν τῷ ἄριστοι ἀπὸ κοινοῦ λαμβάνεται. Q.

1—3. Mirus casus hæc videtur pervertisse. Et ultima quidem sic sine dubio sananda αὐτόν φησιν ὑπερέχειν: priora sic. fortasse: — αὐτὸς, ἡττηθῆναί φησιν ἑαυτὸν τοῦ εὐδοκιμεῖν. BUTTM.

6. ἠνίξατο Prellerus. ἠνείξατο E. Q.T.

7. θεοχολωσίας] θεοῦ χολωσίας T.

13. συστάσει] V. ad η, 241. BUT.

15. ἐπισταίη] Ita horum scholiorum edd. et MSS. hic et ad Il. ξ, 92. ubi vid. Heyn. Commendabat Barnesius metri causa: et fieri potest ut eadem de causa olim suborta sit hæc scriptura. BUTTM.

16. Ἀλκίνοος Buttm. pro Ὀδυσσεύς.

17. εἴπῃς addidit Buttm.

26. λοιπὸν om. V.

28. ἄριστοι Buttm. pro τρίτῳ.

οὐ γὰρ πυγμάχοι εἰμὲν] ἐφύσαμεν. οὐκ ἤδη τὴν δύναμιν Ἀλκίνοος ἐσεμνύνετο περὶ τῶν ἰδίων πολιτῶν, ὁπότε δὲ ἔγνω ἐλάττονας πεφηνέναι τοὺς Φαίακας τοῦ Ὀδυσσέως, προσέθηκε τὸ "ἀμύμονες," οὐχ ὑπερέχοντές ἐσμεν. T.

248. αἰεὶ δ' ἡμῖν δαίς τε φίλη] τοῦτο παρακολουθεῖ τὴν ἐν τρυφῇ διάγουσαν. ἐλεγχόμενοι γὰρ ὡς ἐπὶ μέγα ἀγαθὸν καταφεύγουσιν ἐπὶ τὴν τρυφὴν, τῶν ἄλλων ἐπιδεόμενοι. αἰνίττεται δὲ τὸν τῶν Φαιάκων εἰρηνικὸν βίον. T.

αἰεὶ δ' ἡμῖν δαίς τε φίλη] τὸν εἰρηνικὸν βίον δηλοῖ διὰ τούτων τῶν Φαιάκων. Q.

249. εἵματα δ' ἐξημοιβὰ] παρεξηλλαγμένα, ἐξ ἀμοιβῆς φορούμενα, ἓν παρ' ἓν ἀλλάσσοντες. B.E.Q. ἕτερα ἐξ ἑτέρων μεταβαλλόμενα ἐπὶ τῆς αὐτῆς ἡμέρας, ὅ ἐστι περιουσίας δεῖγμα καὶ εὐπαθείας. T. ἄλλοτε ἄλλο ἀμειβόμενα καὶ ἀλλασσόμενα. V.

250. βητάρμονες] παρὰ τὸ ἐν ἁρμονίᾳ βαίνειν, ἤτοι ὀρχησταί. B. ὀρχησταὶ, ἀπὸ τοῦ βαίνειν ἁρμοδίως. V.

251. παίσατε] ἐντελῶς διὰ τὸ μέτρον, Ἀττικῶς δὲ ἀντὶ τοῦ παίξατε. Q. Ζηνόδοτος, παίσατον, εἶπεν, οὐ κακῶς. H.Q.

παίξατε] γρ. παίσατε. E.

παίσατε] πλήξατε, Ἀττικῶς χορεύσατε. V.

253. ὀρχηστυῖ] ὀρχήσει. V.

254. φόρμιγγα λίγειαν] λίγειαν λέγει τὴν φόρμιγγα, ὅτι καὶ μία τῶν Μουσῶν Λίγεια καλεῖται. B.

257. γλαφυρὴν] κοίλην, διὰ τὸ γεγλύφθαι. V.

258. αἰσυμνῆται δὲ κριτοὶ] προπερισπωμένως οἱ ἀγωνοθέται, οἱ βραβευταί. H. προστάται τοῦ ἀγῶνος, οἱ τὸ καθῆκον νέμοντες τοῖς ἀγῶσιν. T. οἱ πρὸς ἡμῶν λεγόμενοι βραβευταὶ καὶ ἀγωνοθέται ἤτοι ἐπίσκοποι τοῦ ἀγῶνος. καὶ γίνεται ἀπὸ τοῦ αἴσιον, ἤτοι τὸ καθῆκον, νέμειν τοῖς ἀγωνιζομένοις. Ἄλλως. αἰσυμνῆται οἱ ἀρχήν τινα ἔχοντες. βασιλεῖς μὲν ἦσαν τῶν Φαιάκων ιβ', προστάται δὲ ἀγώνων οἱ λεγόμενοι αἰσυμνῆται θ'. κριτοὶ δὲ ἐπίλεκτοι. καὶ αἰσυμνῆται δὲ λέ-

7. ἐπὶ addidit Prellerus.

17. ἐντελῶς scripsi pro εὐτελῶς.

20. πλήξατε] Barnesius reposuit παίξατε. In P. voci παίσατε superscriptum πλήξατε. BUTTM.

23. Μουσῶν] Certe una Sirenum: vid. schol. μ, 39. BUTTM.

27. οἱ πρὸς ἡμῶν —] Similia V. et P. et in hujus quidem verbis hoc etiam: οἱ τὸν αἴσιον ἀπονέμοντες τόπον, κατὰ τὸ ἔτυμον αἰσιονεμῆται. BUTT.

γονται οἱ πρῶτοι κριταὶ καὶ ἀγωνοθέται, οἵτινες τὸ αἴσιον ἤτοι τὸ κατὰ μοῖραν καὶ καθῆκον τοῖς ἀγωνιζομένοις ἀπένεμον. B.E.Q.

ἐννέα πάντες ἀνέσταν] οἱ μὲν τὸ πάντες κατὰ παρολκὴν φασι κεῖσθαι, ὡς καὶ ἀλλαχοῦ τὸ "δέκα πάντα τάλαντα" (Il. τ, 247.), καὶ τὸ "οἱ δ' ἐννέα πάντες ἀνέσταν" (Il. η, 161.). οἱ δὲ οὕτως, αἰσυμνῆται δὲ πάντες οἱ ἐγερθέντες ἐννέα ἦσαν. Ἄλλως. αἰσυμνῆται δὲ ἐννέα πάντες. οἱ κρείττονες γὰρ τῶν ὅλων οὗτοι ἐτύγχανον. E.

259. δήμιοι] οἱ ἐκ τοῦ δήμου παντὸς ἐπίλεκτοι, οὐχὶ οἱ βασιλεῖς. ἐκεῖνοι μὲν ιβ' ἦσαν, οἱ δὲ αἰσυμνῆται θ'. T.

πρήσσεσκον] ἔπραττον. V.

260. λείηναν δὲ χορὸν] τοῦτο τόνῳ οὐ διαστέλλεται ὡς τὸ φόρος καὶ φορός καὶ τρόχος καὶ τροχός. H. τὸ χωρίον ἐν ᾧ ἔμελλον ὀρχεῖσθαι χορὸν ἐκάλεσεν, ὡς καὶ εὐρύχορον Λακεδαίμονα (Od. ν, 414.). ἢ ὁμωνύμως ἐν ᾧ ἔμελλεν ὁ χορὸς ἐφίστασθαι, ὡς καὶ Ἀθηναῖοι ἰχθὺν τὸν τόπον ὅπου πιπράσκεται ὁ ἰχθύς, καὶ μύρα καὶ κρόμμυα. Μένανδρος "ἀνάμεινόν με πρὸς τοὔλαιον." B.E. τόπον οἶμαι διὰ τὸ σχῆμα· σφαιρικὸν γάρ. E.

λείηναν δὲ] οὐ ταῖς ἑαυτῶν χερσὶν, ἀλλὰ προέτευξαν τοῖς ἄλλοις. χορὸν δὲ τὸν λεῖον τόπον, ἐν ᾧ ἔμελλον ὀρχεῖσθαι. T.

εὔρυναν ἀγῶνα] τὸ ἄθροισμα ἀνέτειλαν πρὸς τὸ τοῦ τόπου διάστημα. πρὸς ᾠδὴν δὲ καὶ λύραν τὴν ὄρχησιν ἐποιοῦντο, οὐ μὴν πρὸς αὐλόν. ἦν δέ τις ῥυθμοῦ ὁμίλησις ἐναρμονίου ὑπὸ τῆς λέξεως. ἄτοπον γὰρ μιμεῖσθαι μοιχείαν. T.

εὔρυον] γρ. εὔρυναν. P. ἐπλάτυνον. Gl. P.

264. πέπληγον] οὕτως εἶπε τὴν ἐπικρότησιν ἐκ τῶν ποδῶν ὑπὸ τῶν ὀρχουμένων. T.

265. μαρμαρυγὰς] ἐλλάμψεις. ἐν γὰρ τῇ παραλλάξει τῶν ποδῶν κατὰ τὴν ὄρχησιν ἢ κατ' ἄλλην τινὰ τούτων κίνησιν ὥσπερ στιλπνότης ἐξ αὐτῶν ἀποπέμπεται. B.Q. Ἄλλως. τὰς συντόνους τῶν ποδῶν κινήσεις. ἐν γὰρ ταῖς ὀξείαις τῶν ποδῶν κινήσεσιν ἀπόστιλψις ἢ λαμπηδών τις γίνεται. B.P.Q.V. τὰς ἀποστίλψεις. δηλοῖ δὲ τὰς

10. ἔπραττον] ὑπηρέτουν addidit Barnes.
12. καὶ τρόχος addidi.
16. ἀνάμεινόν με] ἀναμενῶ σε ap. Eustath. p. 1595 extr.
19. λεῖον Prellerus. ἄλλον T.
20. πρὸς τὸ Prellerus. πρὸς δὲ τὸ T.
22. ἐναρμονίου Prellerus. εὖ μόνου T. Conf. Eustath. p. 1596, 19.
24. εὔρυον] Corrupte pro εὔρυνον, quod est in textu cod. Vindob. quinti.

ὀξείας κινήσεις. ἴσως δὲ ἀπὸ τῆς λευκότητος τῶν ποδῶν· τρυφεροὺς γὰρ ὑφίσταται τοὺς Φαίακας. T.

266. ἀνεβάλλετο] ἀνεκρούετο, προοιμιάζετο. Q.V.

267. ἀμφ' Ἄρεως φιλότητος] περὶ κοινωνίας Ἄρεος καὶ Ἀφροδίτης μακρόθεν παιδεύει αὐτοὺς μὴ ἀσελγαίνειν, ὡς καὶ θεῶν διὰ ταῦτα ἀσχημονούντων. P.V.

οὐκ ἀτόπως ἐπὶ ἡδυπαθῶν ᾄδει ταῦτα ὁ κιθαρῳδὸς, δι' ὧν ἥδονται σωφρονίζων αὐτούς. δέσμιον γὰρ εἰσάγει τὸν μοιχὸν, καὶ τοὺς θεοὺς λέγοντας "οὐκ ἀρετᾷ κακὰ ἔργα." ὁ δὲ Ὀδυσσεὺς τί φησιν; "ἀλλ' ἄγε δὴ μετάβηθι καὶ ἵππου κόσμον ἄεισον" (492.), ὡς δέον τὸν Δημόδοκον αὐτοῖς μὴ μοιχείαν γενομένην ἐν θεοῖς ᾄδειν, ἀλλὰ πράξεις εἰς ὠφέλειαν καὶ ἔπαινον φερούσας. ἡ μὲν οὖν κατηγορία πρόδηλος διότι περὶ θεῶν οὐκ ἔδει τοιαῦτα δεδηλωκέναι. ἀλλ' οὐχ Ὁμήρου τὸ ἔγκλημα. ἄνωθεν γὰρ τοῖς ἀρχαιοτάτοις παραδέδοται καὶ κατασκευάσμασι καὶ τελεταῖς ταῖς παλαιοτάταις καὶ Ἑλληνικαῖς καὶ βαρβαρικαῖς. ὅτι δὲ Ὅμηρος οὐχ ἥδεται τούτοις δῆλον ἐξ ὧν περιέθηκε τῇ Ἀθηνᾷ "ὡς ἀπόλοιτο καὶ ἄλλος ὅτις τοιαῦτά γε ῥέζοι" (Od. α, 47.). ὅλως δὲ Ὅμηρος οὐδὲ οἶδεν Ἥφαιστον Ἀφροδίτῃ συνοικεῖν, Χάριτι δὲ αὐτὸν συμβιοῦντα, Δημόδοκος δὲ τῇ ἰδίᾳ μυθοποιίᾳ. H. Q.T.

ἐϋστεφάνου δ' Ἀφροδίτης] καλὴν στεφάνην ἐχούσης. στεφάνη δὲ κόσμος γυναικεῖος. V. διὰ τὸ στεφανοῦσθαι ἐν κάλλει, ἤτοι τὸ πρωτεῖον ἔχειν τῶν καλλίστων θεῶν. E.

γυναῖκα τοῦ Ἡφαίστου τὴν Ἀφροδίτην φασὶ καθ' ὃν λόγον καὶ τῶν Χαρίτων μίαν. ὡς γὰρ χάριν φαμὲν ἔχειν τὰ τεχνικὰ ἔργα, οὕτως καὶ ἀφροδίτην τινὰ αὐτοῖς ἐπιτρέχειν λέγομεν· εἰ μὴ πρὸς παράστασιν τοῦ πολὺ τὸ πυρῶδες εἶναι ἐν ταῖς πρὸς τὰς μίξεις ὁρμαῖς πέπλασται τοῦτο· δεδεκέναι δὲ τὸν Ἄρην μοιχεύοντα αὐτοῦ τὴν γυναῖκα, ἐπειδὴ τῇ τοῦ πυρὸς δυνάμει ὁ σίδηρος καὶ ὁ χαλκὸς δαμάζεται. τὸ δὲ τῆς μοιχείας πλάσμα παρίστησιν ὅτι οὐ πάνυ μὲν πέφυκε κατάλληλον τὸ μάχιμον καὶ βίαιον τῷ ἱλαρῷ καὶ μειλιχίῳ οὐδὲ κατὰ τὸν φυσικὸν αὐτῷ νόμον ἐπιπλέκεται, ἀντιποιούμενον δέ πως τῆς μί-

9. Ὀδυσσεὺς aut σπουδαῖος Ὀδυσσεὺς Struvius. Legebatur σπουδαῖος.
12. οὖν] γὰρ T.
15. Ἑλληνικαῖς] ἐν ἑλληνικαῖς H.T.
18. συνοικεῖν] σύνοικον Buttm.
19. μυθοποιίᾳ] Fort. χρῆται addendum.
26. ἐπιτρέχειν Struvius. ἐπι . . . χειν E.
28. δεδεκέναι Buttm. pro δεδυκέναι.

ξεως αὐτοῦ καλὸν καὶ γενναῖον γέννημα τὴν ἐξ ἀμφοῖν Ἁρμονίαν ἀποτελεῖ. Ε.

ἡ Ἀφροδίτη εἰς πολλὰ λαμβάνεται, μετὰ πάντων γοῦν καὶ ἐπὶ κάλλους. συμμίγνυται δὲ τῷ Ἡφαίστῳ τῷ πυρὶ καὶ τῷ Ἄρει τῷ σιδήρῳ· τὰ γὰρ ἐξ αὐτῶν γινόμενα ἔργα διὰ τῆς Ἀφροδίτης ἤτοι τοῦ 5 κάλλους ὡράϊσται. κατεργάζεται δὲ ὁ Ἄρης ἤτοι ὁ σίδηρος ὑπὸ τοῦ πυρός. ὁ δὲ Ποσειδῶν ἤτοι τὸ ὕδωρ στομοῖ αὐτὸν, δηλονότι τὸν σίδηρον, μετὰ τὴν ὑπὸ τοῦ πυρὸς κατασκευὴν καὶ πεπυρακτωμένον ὑπὸ τοῦ Ἡφαίστου κατασβέννυσι, τὸ φλογῶδες καταπαῦον. Ε.

τὰ Σικελικὰ δόγματα καὶ τὴν Ἐμπεδόκλειον γνώμην ἔοικεν ἀπὸ 10 τούτων βεβαιοῦν. Ἄρην μὲν ὀνομάζει τὸ νεῖκος, τὴν δ' Ἀφροδίτην φιλίαν. τούτους οὖν διεστηκότας ἐν ἀρχῇ παρεισήγαγεν Ὅμηρος ἐκ τῆς πάλαι φιλονεικίας εἰς ὁμόνοιαν μίαν κιρναμένους. ὅθεν εὐλόγως ἐξ ἀμφοῖν Ἁρμονία γεγένηται, τοῦ παντὸς ἀσαλεύτως καὶ κατ' ἐμμέλειαν ἁρμοσθέντος. γελᾶν δ' ἐπὶ τούτοις εἰκὸς ἦν καὶ συνήδεσθαι 15 τοὺς θεοὺς, ἅτε δὴ τῶν ἰδίων χαρίτων οὐκ ἐπιφοραῖς διισταμένων, ἀλλ' ὁμονοοῦσαν εἰρήνην ἀγόντων. Ε.

268. ὡς τὰ πρῶτα] ἡ σύνταξις, ὡς τὰ πρῶτα μίγησαν ἐν Ἡφαίστοιο ἄνακτος, ἄφαρ δέ οἱ ἄγγελος ἦλθεν, ἵν' ᾗ κατ' ἐπανάληψιν. H.Q. 20

269. λάθρη] ὁρᾷς γὰρ ὅτι οὐκ ἀποδέχεται τὰς τοιαύτας τῶν πράξεων οὐδὲ τοιούτοις ἥδετο λόγοις, ὥστε καὶ δαπάνην αἰτιᾶται χρημάτων καὶ αἰσχύνην ἐπικαλεῖ. Τ.

πολλὰ δ' ἔδωκε] ὁ Ἄρης μοιχάγρια δέδωκε πολλά. Β.

270. ἄγγελος ἦλθεν] παιδεύει ὡς διδάσκων ὅτι κἂν τοὺς πολλοὺς 25

1. Ἁρμονίαν] Cadmi uxorem. BUTTM.

6. κατεργάζεται] κατείργασται Buttm.

10. τὰ Σικελικὰ—] Hæc ex Heracliti Alleg. c. 69.

καὶ τὴν Heraclitus. κατὰ τὴν Ε.

11. ὀνομάζει] Rectius apud Heraclitum ὀνομάσας.

14. Ἁρμονία γεγένηται Heraclitus. ἁρμονίαι γεγένηνται Ε.

16. ἐπιφοραῖς] Sanius hoc utique vulgato ἐπὶ φθοραῖς. Nam ἐπιφοραῖς idem est quod πολέμῳ, et respondet εἰρήνῃ. Sed nullam hic medicinam invenit sermo male affectus in his χαρίτων—ἀγόντων, de quo queritur Heynius (in Epist. præmissa ed. Schow.) BUTTM. Latet fortasse in corruptis codicum vocabulis, τῶν ἀϊδίων ἀρχῶν οὐκέτι ἐπὶ φθοραῖς διισταμένων. MEHLER. ad Heraclit. p. 136.

19. ἄνακτος] Porsonus ex H. "scholiastes videtur legisse, Ἡφαίστοιο ἄνακτος" (pro Ἡ. δόμοισιν). Idem refert, schol. H. semel habere, τὰ πρῶτ' ἐμίγησαν: nimirum vel hic vel ad 271. BUTTM.

λανθάνῃ τις ἁμαρτὼν, τὸν γοῦν πάντ' ἐφορῶντα Ἥλιον οὐ λανθάνει. T.

271. ἥλιος, ὅ σφ' ἐνόησε] παιδευτικὸν τῷ ὄντι, ὅτι κἂν τοὺς ἄλλους λανθάνῃ ἁμαρτάνων, τὸν πάντα ἐφορῶντα, θεὸν οὐκ ἂν λάθοι. καίτοι εὐθὺς ἅμα τῇ πρώτῃ συνόδῳ καταφώρους γενέσθαι λέγει αὐτοὺς "ὡς τὰ πρῶτα μίγησαν." H.Q. ἅπαξ δὲ εἴρηται ἥλιος· ἠέλιος γὰρ ἀεί φησιν Ἰακῶς, τὸ η εἰς ηε. H. ἐνταῦθα τρισυλλάβως λέγει τὸν θεόν. P.V.

272. θυμαλγέα μῦθον] ταῦτα πλάττει ὁ ποιητὴς διὰ τοὺς οὕτω φιληδοῦντας ἀκούειν Φαίακας. εὑρὼν γὰρ τρυφῶντα πρόσωπα ἐν τῇ τῶν Φαιάκων γελᾷ καὶ αὐτὸς ἐνταῦθα εἰς ἀστεϊσμὸν ἐλθών. B. λόγον ἀλγητικὸν ψυχῆς, οἷον εἰς κακὸν ἄγων τὴν ψυχήν. T.

273. κακὰ φρεσὶ βυσσοδομεύων] ἐν τῷ βάθει τῶν φρενῶν αὐτοῦ κρύπτων. E. κατὰ βάθος τῆς διανοίας βουλευόμενος. βυσσὸς λέγεται ὁ βυθὸς καὶ δέμω τὸ κατασκευάζω. P.

274. ἐν δ' ἔθετ' ἀκμοθέτῳ] τῷ ὀρύγματι ἐν ᾧ ὁ ἄκμων τίθεται. P.V. ἐν τῷ κορμῷ τὸν βαρὺν σίδηρον. B. εἰς τὸ χαλκοτυπεῖον. οὐκ οἶδε δὲ ὁ ποιητὴς τὸν Ἥφαιστον ἐργαζόμενον ἢ ἐν Λιπάρᾳ τῆς Σικελίας τῶν Αἰολίδων νήσων, ἢ ἐν Λήμνῳ, ἀλλ' ἐν Ὀλύμπῳ. καὶ γὰρ καὶ τὴν ἀσπιδοποιΐαν ἐκεῖ λέγει γεγενῆσθαι. Q.

278. ἀμφὶ δ' ἄρ' ἑρμῖσιν χέε δέσματα] τοῖς κλινοποδίοις. ἑρμὶς ὁ τῆς κλίνης πούς. χέε δὲ ἀντὶ τοῦ ἐπέχεεν, ἐπέβαλε. τὸ δὲ δέσματα ἀπὸ τοῦ δεσμοῦ, ὡς τὸ ὄνειρον τὰ ὀνείρατα, κατ' ἐπέκτασιν. B.Q. ἑρμῖσι] τοῖς ποσὶ τῆς κλίνης. ἕρμα γὰρ ὥσπερ εἰσὶ τῆς κλίνης παρὰ τὸ ἐνείρεσθαι. V. κραβατοποδίοις. P.

279. πολλὰ δὲ καὶ καθύπερθε] πολλὰ δὲ καὶ ἄνωθεν ἐκ τῆς ὀροφῆς ἐξήρτηντο, ἵνα δίκην παγίδος ἐμπέσοι αὐτοῖς. B.E.Q. τὸ δὲ ἀλληγορικὸν ὅτι ἀπανταχοῦ ἐν τῷ κόσμῳ τὸ τοῦ ἡλίου καὶ τοῦ πυρὸς θερμὸν διασκίδναται. E.Q.

280. ἠΰτ' ἀράχνια—ἴδοιτο] λύσις τοῦ ἀντιπίπτοντος. E. δαι-

1. λανθάνει] λανθάνοι T. Quod ἂν λανθάνοι esse debebat.
3. τῷ ὄντι, ὅτι] τῷ, ὅτι ὅστις Buttm. κἂν] ἂν H.Q.
4. λάθοι] λάθῃ H.
5. εὐθὺς—λέγει om. Q. αὐτοὺς scripsi pro οὖν.
7. εἰς ηε] εἰς ει H. Videtur deesse τρέπων vel ἐκτείνων.
18. Λιπάρᾳ Buttm. pro λιπάρει.
26. ἄνωθεν] τοῦ μελάθρου, ὅ ἐστιν addit B.
27. ἐξήρτηντο] ἀπεκρέμαντο B.
30. ἀράχνια] Aliud scholium ad h. v. vidit Orion Thebanus, qui in v. ἀράχνια scribit: ἢ παρὰ τὴν ἀραιό-

μονίως λύει τὸ δοκοῦν ἀπίθανον, πῶς οὐχ ἑώρων θεοὶ ὄντες τοὺς δεσμούς, ἐλάνθανον δέ. H.Q.

μελαθρόφιν] ὑπεράνω τοῦ μελάθρου. μέλαθρον δὲ κυρίως τὸ μέσον τῆς στέγης ξύλον τὸ ὕπατον καλούμενον ἀπὸ τοῦ μελαίνεσθαι ὑπὸ τοῦ πυρός. θέλει οὖν λέγειν, παντὶ τῷ οἴκῳ περιέβαλε τοὺς δεσμούς. T.

283. εἴσατ' ἴμεν] προσεποιήσατο, ὥρμησεν ἀπιέναι. Q. ἔδοξε πορευθῆναι ὡς εἰς Λῆμνον. T.

284. ἐς Λῆμνον] ἔδει γὰρ τὴν Λῆμνον ὑδατώδη οὖσαν ὑπὸ τοῦ Ἡφαίστου ποθεῖσθαι, ἅτε τῶν κατασκευαζομένων αὐτῷ διὰ πυρὸς καὶ ὕδατος ὀφειλόντων κατασκευάζεσθαι. Q.

πολὺ φιλτάτη ἐστὶν ἁπασέων] ἐκεῖσε γὰρ ἀνίενται γηγενοῦς πυρὸς αὐτόματοι φλόγες. E.

ἔσκεν ἁπασέων] γράφεται, ἔπλετο πασέων. H.P.Q.

285. οὐδ' ἀλαοσκοπίην] οὐ τυφλὸς ἦν, κατὰ τὴν κοινὴν παροιμίαν, ὁ τυφλὸς ἐσκόπησεν. τὸ δὲ "χρυσήνιος Ἄρης" ὁ καλὰς ἡνίας ἔχων, διὸ καὶ δασέως προενεκτέον· ἱππικὸν γὰρ καὶ ἐν Ἰλιάδι τὸν θεὸν εἰσάγει. ἀλλὰ καὶ ἡ Ἄρτεμις χρυσήνιος (Il. ζ, 205), ὡς καὶ αὐτὴ ἐφ' ἅρματος ὀχουμένη. T. τύφλωσιν. οὐδὲ εἶχε μάταιον σκοπὸν, ὅ ἐστιν, οὐκ ἔλαθεν αὐτόν. E. οὐ τυφλὴν εἶχε κατασκοπὴν, ἀλλ' ὀξεῖαν δηλονότι. Q. ματαίαν κατάσκεψιν. P.

χρυσήνιος Ἄρης] ἡ γὰρ τοῦ θυμοῦ ἀποχὴ κρείττων καὶ χρυσοῦ. E. δασύνεται τὸ χρυσήνιος. H.

288. ἰσχανόων] πάνυ ἐπισχόμενος τῆς ἐπιθυμίας. T.

εὔστεφάνου Κυθερείης] γρ. Ἀφροδίτης. P.

Κυθερείης] ἐπεὶ Κυθήροις προσηνέχθη. Κύθηρα δὲ νῆσος τῆς Λακωνικῆς. V. Κυθέρεια ἐτυμολογεῖται ἢ ἀπὸ τοῦ κύειν, ὃ δὴ συμβαίνει παρὰ τὴν συνουσίαν, τῆς ἐν τῷ θέρεσθαι κυούσης, ἢ ἀπὸ τοῦ κεύθειν τὸν ἔρωτα. ἡ Κυθέρεια λέγεται ἀπὸ Κυθερείας χώρας. B.E. Κυθέρεια λέγεται οὐχ ὅτι "προσέκυρσε Κυθήροις·" ἀλλὰ Κυ-

τητα. ἀραιὸν δὲ τὸ λεπτόν. οὕτως εὗρον ἐν Ὑπομνήμασιν εἰς τὴν Ὀδύσσειαν. BUTTM.

4. ὕπατον Prellerus. ὑπὸ τὸν T.

10. αὐτῷ Buttm. pro αὐτή.

12. γηγενοῦς] Corrupte ἐγγηγενοῦς apud Heraclit. Alleg. c. 26. p. 57. cujus hæc verba sunt.

14. ἔσκεν] Sic etiam M. in textu. πασέων] πασάων H.

24. ἰσχανόων] ὁ ἐχόμενος καὶ ἐπιθυμῶν explicat Eustath. p. 1598, 50.

30. προσέκυρσε H. προσέκρουσε Q. Sunt verba Hesiodi Theog. 199. Κυθήροις] κυθείροις H.Q.

θέρεια, τουτέστιν ἡ κευθόμενον ἔχουσα ἐν ἑαυτῇ τὸν πάσης ἐρωτικῆς φιλίας ἐξηρτημένον ἱμάντα, οἷον τὸν ἔρωτα, ὃν πᾶσι τοῖς νέοις ἐφίησι. διὰ γὰρ τοῦ κεστοῦ ταῦτα παρέπεται, "ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστύς, ἥτ' ἔκλεψε νόον πύκα περ φρονεόντων" (Il. ξ, 216.). καὶ διὰ τί τὰ ἐρωτικὰ ἐν ἱμάντι φησὶ κατεστίχθαι; Σάτυ- 5 ρος μὲν οὖν φησιν, ἐπεὶ πληγῶν ἄξια δρῶσιν οἱ ἐρῶντες. Ἀπίων δὲ, ἐπεὶ δεσμοῖς ἐοίκασι καὶ βρόχοις οἱ ἔρωτες καὶ τὰ τῶν ἐρώντων πάθη. Ἀρίσταρχος δὲ, ὅτι ἄχρι τοῦ δέρματος διικνεῖται τὰ ἐρωτικὰ πάθη τήκοντα τοὺς ἐρῶντας καὶ ἀποξύοντα διὰ τῆς στύψεως τὰ μέλη. H.Q. 10

290. ἐρχομένη] ἐλθοῦσα. Gl. P. ἀντὶ τοῦ ἀορίστου. τὸ γὰρ ἐρχομένη ἐνεστῶτος καὶ παρατατικοῦ. P.

291. φῦ χειρὶ] ἀντὶ τοῦ προσεπέλασεν αὐτῇ, καὶ προσήγγισε τῇ χειρί. ἀπὸ τοῦ φύω. Ms. Barnes.

292. δεῦρο, γύναι] γρ. φίλη. P. 15

τραπείομεν] ἀντὶ τοῦ τερφθῶμεν. H.

εὐνηθέντες] κοιμηθέντες. V.

294. μετὰ Σίντιας ἀγριοφώνους] Θρᾳκῶν γένος οἱ Σίντιες τῶν ἐποικησάντων ποτὲ τὴν Λῆμνον. "ἀγριοφώνους" δὲ βαρβάρους. τὸ γὰρ ἄγριον ἐπὶ βαρβαρικῆς τίθησι προαιρέσεως. T. παρὰ τὸ σί- 20 νεσθαι καὶ βλάπτειν, πειρατὰς ὄντας. ἢ ὅτι δοκοῦσιν αὐτοὶ πρῶτον ἐπινενοηκέναι τὰ πρὸς πόλεμον ὅπλα. E.

Ἄλλως. Σίντιες ἐκαλοῦντο οἱ Λήμνιοι, ὡς Ἑλλάνικος ἱστορεῖ ἐν τῷ περὶ Χίου κτίσεως τὸν τρόπον τοιοῦτον. ἐκ τῆς Τενέδου ᾤχοντο εἰς τὸν Μέλανα, κόλπον καὶ πρῶτον μὲν εἰς Λῆμνον ἀφίκοντο. ἦσαν 25 δὲ αὐτόθι κατοικοῦντες Θρᾷκές τινες οὐ πολλοὶ ἄνθρωποι, ἐγεγόνεισαν δὲ μιξέλληνες. τούτους ἐκάλουν οἱ περίοικοι Σίντιας, ὅτι ἦσαν αὐ-

5—9. Scholion Porphyrii: vid. schol. ad Il. ξ, 216.

15. φίλη] Non varia lectio, sed mendi correctio, ut sæpe in P. BUTTM.

16. τερφθῶμεν] Sic etiam Hesychius. Et Apollon. Lex. τραπείομεν: τερφθῶμεν. εἴρηται δὲ κατὰ μετάθεσιν ἀντὶ τοῦ ταρπείομεν.

22. ἐπινενοηκέναι pro νενοηκέναι Buttm. ex schol. Il. α, 594.

24. περὶ Χίου κτίσεως] Nomen libri Sturzius in fragm. Hellan. noverat e Tzetza ad Lycophr. 227. ubi itidem de Lemni antiquitatibus; recteque eo rettulit fragmentum e schol. Apollon. 1, 608. ubi eadem nominis Sintium etymologia ex Hellanico affertur. Cetera hic primum, ni fallor, accedunt. BUTT.

25. κόλπον] πόντον Q. Cogitavit homo de eo quod nobis Mare Nigrum. Sed vid. Herod. 6, 41. 7, 58. Strabonem etc. BUTTM.

τῶν δημιουργοί τινες πολεμιστήρια ὅπλα ἐργαζόμενοι. τούτοις συνῴκισαν ἑαυτοὺς ἀναμὶξ ὡς ἦλθον αὐτόθι, καὶ κατέλιπον ναῦς πέντε. E.Q. Ἑλλάνικος οὖν φησι μιξέλληνας εἶναι καὶ πολεμικῶν ὅπλων τεχνίτας. καὶ Ἀνακρέων δὲ ὡς πολεμικῶν μέμνηται. "τί μοι" φησὶ "τῶν ἀγκυλοτόξων, ὦ φίλε, Κιμμερίων Σιντιέων τε μέλει;" H.Q.

295. τῇ δ' ἀσπαστὸν] οἰκείως ἐν τῇ τοῦ Ἄρεως ἐπιθυμίᾳ καὶ τὸ κατὰ τὴν Ἀφροδίτην ὡς ἀγαπώσης μὲν τὸν Ἄρην, μισούσης δὲ τὸν Ἥφαιστον. T.

297. τεχνήεντες] τέχνη, τεχνητόν καὶ τεχνήεντως η. τεχνίτης δὲ καὶ τετεχνιτευμένος ι. H.

πολύφρονος Ἡφαίστοιο] ποικίλου, πανούργου. Ἥφαιστος ἀπὸ τοῦ ἧφθαι ὠνόμασται. E.

299. φευκτὰ] φεύξιμα. V. φυκτὰ] λυτά. P.

πέλοντο] Ῥιανὸς πέλοιτο γράφει. H.

300. ἀγχίμολον δέ σφ' ἦλθε] ἐκ τοῦ σύνεγγυς. διδάσκει δὲ καὶ ἐκ τούτου τὸ χρήσιμον, πῶς δεῖ καὶ τὰς τοιαύτας τῶν πράξεων μεταχειρίζεσθαι. μὴ μεμηνυμένης τῆς φθορᾶς, ἀλλ' ὑπονοουμένης ὁ λόγος εἶχε διακωλύειν ἅπα . . . . τετολμημένης αὐτῆς κατα . . . . ἔδει τῆς φθορᾶς . . . . T. ἐκ τοῦ σύνεγγυς. μετ' ὀλίγον. V.

περίκλυτος ἀμφιγυήεις] ἀμφιγυήεις ὁ Ἥφαιστος λέγεται ὅτι καὶ ἀμφοτέρους εἶχε τοὺς πόδας χωλούς. οἱ δὲ ἀλληγορίᾳ τοῦτον λαμβάνοντες λέγουσιν Ἥφαιστον τὸ πῦρ. ἐπεὶ δὲ τοῦτο λέγεται χωλεύειν περὶ τὴν οἰκείαν ἐνέργειαν, ὅτε ἡ ὕλη ἡ καιομένη ἐπιλείψειεν, χωλεύειν τὸ πῦρ λέγεται. E.

307. ἔργ' ἀγέλαστα] οὐκ εὐτελῆ. ὧν ἂν διὰ τὴν εὐτέλειαν καταφρονήσειέ τις. B.H.Q.

4. πολεμικῶν H. πολεμικῶν ὅπλων τεχνίτας Q.

τί μοι—] Anacreontis fragmentum constat ex altera hexametri parte et pentametro integro. τῶν fortasse non poetæ sed librarii est.

5. ἀγκυλοτόξων — μέλει] ἀγκύλων τόξων φιλοκιμέως καὶ σκυθῶν μέλει Q. ἀγκύλων τόξων φιλοκιμέρων καὶ σκυθῶν μέλλει H. In his ἀγκυλοτόξων, Κιμμερίων et Σιντίων nomina latere vidit Cramerus, perfecit emendationem Bergkius.

15. πέλοντο] Sic H.M. in textu, sed uterque superscripto αι.

πέλοιτο] Porsonus pro πέλοι.

18. μεμηνυμένης Preller. μεμιγμένης T.

19. ἅπα . . τετολμημένης] ἅπαντα τὰ τολμήματα Prellerus.

26. ὧν] ἃ B.Q. Addidi ἄν.

γελαστὰ] γέλωτος ἄξια. V. γελαστὰ οὕτως ὀξυτόνως Ἀρίσταρχος καὶ Ἡρωδιανός. H.

ἴδησθε] ἴδωμαι ἦν, τὸ πληθυντικὸν ἰδώμεθα, ἴδησθε, ἴδωνται. H.

308. ὡς ἐμὲ χωλὸν] διὰ τὸ μὴ δύνασθαι προβαίνειν δίχα τινὸς ξυλώδους βακτηρίας, ἐπὶ τούτῳ ὠνόμασται χωλός. E. 5

310. ἀρτίπος] γρ. ἄλκιμος. P.

311. ἠπεδανὸς] ὥσπερ βαιόν ἠβαιόν, μύω τὸ ἐπικλίνω ἠμύω, οὕτω καὶ ἀπὸ τοῦ πέδον πεδανός καὶ ἠπεδανός. B.

312. ἀλλὰ τοκῆε δύω] Ἡσίοδος ἐκ μόνης τῆς Ἥρας γενέσθαι τὸν Ἥφαιστον. κἀκεῖνο δ' ἱκανὸν "τόν τοι φίλος υἱὸς ἔτευξεν Ἥφαιστος" 10 (Il. ξ, 166), εἰ μὴ ἄρα ἐπὶ Ἀφροδίτης λέγει τοκῆε δύω. T.

γείνασθαι] τὸ γενέσθαι, διὰ τοῦ α. H.

315. οὐ μέν σφεας ἐτ' ἔολπα] οὐκ ἐλπίζω αὐτοὺς, καίπερ πάνυ φιλοῦντας ἀλλήλους, καθεύδειν οὕτως οὐδ' ἐπ' ὀλίγον χρόνον. B.P.Q.

316. καὶ μάλα περ φιλέοντε] τὸ ὅλον, καίπερ καθ' ὑπερβολὴν 15 φιλοῦντες, οὐ δυνήσονται ὁμιλῆσαι ἀλλήλοις διὰ τοὺς δεσμοὺς, ἢ οὐκέτι ἐθελήσουσι φόβῳ τῶν δεσμῶν πάλιν συνελθεῖν. E.P.Q.V.

318. πατὴρ ἀποδώσει ἔεδνα] πατὴρ Ἀφροδίτης τῆς ἐμῆς γυναικὸς ἀποδώσει τὰς προῖκας. Q. τί γὰρ δέονται χρημάτων οἱ θεοὶ, ἵνα καὶ οὗτος τὰ ἔεδνα ἀπαιτῇ. τὸ ὅλον οὖν κατὰ τοὺς ἀνθρωπίνους 20 λόγους ἔγκειται. T.

319. ἐγγυάλιξα] ἔδωκα. λέγεται ἀπὸ τῶν γυίων, τουτέστιν ἀπὸ τῶν χειρῶν· ἐν αὐταῖς γὰρ δίδομεν καὶ λαμβάνομεν. T.

320. οὐκ ἐχέθυμος] οὐκ ἔχουσα θυμὸν ὃν δεῖ, ἢ οὐ κρατοῦσα τὴν ἐπιθυμίαν, οἷον ἄκρατος καὶ ἀκόλαστος. T. καλὴ μέν ἐστιν, ἀλλ' 25 οὐ κρατοῦσα ὀρέξεως καὶ ἐπιθυμίας. B. οὐ σώφρων ἤτοι οὐ κρατοῦσα τῆς ἐπιθυμίας, οὐ λογισμὸν ἔχουσα. E.P.Q.

322. ἦλθ' ἐριούνης] ἐριούνιον λέγει τὸν Ἑρμῆν ἀπὸ τοῦ ἐρῶ τὸ λέγω. αὐτὸς γάρ ἐστιν ὁ τοῦ λόγου ἔφορος. ἢ μεγαλωφελὴς, ἐκ τοῦ ἐρι ἐπιτατικοῦ καὶ τοῦ ὄνησις ἡ ὠφέλεια. E.Q. 30

323. ἑκάεργος] ὁ μακρόθεν ἐργαζόμενος· αἰνίττεται δὲ τὸν ἥλιον, ὃς τὰς ἀκτῖνας αὐτοῦ πόρρωθεν ἵησιν. H.

1. γελαστὰ οὕτως] Alii enim ἔργ' ἀγέλαστα scripserunt: vid. Eustath. p. 1599, 3. et Apollon. Lex. s. v. ἀγέλαστα.

9. Ἡσίοδος] Theog. 927.

15. ὅλον] μᾶλλον E.P.Q.

16. ὁμιλῆσαι V. ὠφελῆσαι ceteri.

29. ἢ Buttm. pro καί.

325. ἑάων] ἑὸν τὸ ἀγαθὸν δασύνεται, ἀφ' οὗ καὶ θεός· ἑὸν τὸ ἴδιον ψιλοῦται, ἀφ' οὗ καὶ τεόν. B.

326. ἄσβεστος δ' ἄρ'] ἀκατάπαυστος, μεταφορικῶς ἀπὸ ἀψύχων εἰς ἔμψυχα· ἀπὸ γὰρ τοῦ πυρὸς εἰς γέλωτα μετενήνεκται. E.Q.V.

327. τέχνας εἰσορόωσι] τοὺς δόλους. "πολύφρονος" δὲ οὐκ ἀπὸ τῆς φρονήσεως, ἀλλ' οἷον πολυφρόντιδος, τουτέστι πεφροντισμένου κατὰ τὴν τέχνην. T.

Ἡφαίστοιο] ἐκ τοῦ ἅπτω ἅψαιστος καὶ ἥψαιστος καὶ τροπῇ τοῦ ψ εἰς φ Ἥφαιστος. B.

329. οὐκ ἀρετᾷ κακὰ ἔργα] οὐχὶ τῇ ἀρετῇ θεραπεύουσι τὰ κακὰ ἔργα. P. οὐκ ἐν ἀρετῇ τὰ κακὰ ἔργα, ἢ οὐκ ἀρετὴν ἔχει ἡ κακοεργία. B. οὐκ ἐνάρετα ποιοῦσι τὸν αὐτὰ ἔχοντα, οὐκ ἀρετὴν καὶ εὐδαιμονίαν ἐμποιοῦσί τινι. ἰδοὺ γὰρ ὁ βραδὺς Ἥφαιστος ἐνίκησε καὶ κατέλαβε τὸν ταχὺν Ἄρην καὶ μὴ ἐνάρετον. E. Ἄλλως. οὐκ ἀρετὴν καὶ εὐσθένειαν ἔχει τὰ κακὰ ἔργα. ἔστι δὲ καὶ ῥῆμα συζυγίας δευτέρας τῶν περισπωμένων, ὡς ἀπατᾷς· ἀρετάω ἀρετῶ, τὸ δεύτερον ἀρετάεις ἀρετᾷς, τὸ τρίτον ἀρετάει ἀρετᾷ. σημαίνει δὲ τὸ δοξάζει καὶ αὔξει. οἶδε δὲ αὐτὸ καὶ πληθυντικῶς "ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ." (Od. τ, 114.). ἀπὸ ἑτέρας δὲ ἀρχῆς ἡ ἑξῆς γνώμη. E.Q. οὐκ εἰς ἀρετὴν οὐδὲ εἰς εὐδαιμονίαν ἐπισπᾶται τὰ μοχθηρὰ τῶν ἔργων, ἢ ὅτι οὐκ ἀρετᾶται τὰ κακὰ, οἷον οὐκ ἀρετῆς μεταλαμβάνει· οὔτε γὰρ ἐπαινεῖται οὔτε δηλονότι εὐτυχοῦς τινὸς τυγχάνει τέλους. T. καὶ τίς οὐκ ἐπίσταται ὅτι ἡ κακία οὐκ ἔστιν ἀρετή; τὸ λεγόμενον οὖν τοιοῦτόν ἐστιν· εἰ δὴ οἱ ἀρετῇ λεγόμενοι κρείττω τῶν ἄλλων καλοῦσι τὰ οὐκ ἀρετὰ, οἷον οὐ κρατεῖ οὖν καὶ τὰ κακὰ ἔργα. σύμφωνον καὶ τὸ ἐπιφερόμενον "κιχάνει τοι βραδὺς ὠκύν." Q.

τοῦ Ἡφαίστου χωλοῦ ὄντος καὶ πέδας μηχανησαμένου κατὰ τοῦ Ἄρεος καὶ τῆς Ἀφροδίτης καὶ ταύταις κατασχόντος αὐτοὺς θαυμάσειέ τις, φησὶν ὁ Ὅμηρος, καὶ εἴποι ὡς οὐκ εἰσὶν ἀρετὰ καὶ ἰσχυρο-

1. 2. Inepta comminiscitur hic scholiasta: quem refellunt aliorum grammaticorum observationes collectæ ab Lehrsio Quæst. Epic. p. 67.

15. ἔχει P. in quo hæc tantum leguntur οὐκ ἀρετὴν—κακὰ ἔργα. ἔχουσι E.Q. εὐθήνειαν ἄγει V. in scholio brevi hinc excerpto, in quo etiam ἀρετῶσι per εὐθηνοῦσι explicatur.

22. οὔτε δηλονότι—τέλους Prellerus. οὔτε δῆλον οὔτε τεχνηστοῦ τινὸς τυγχάνει τοῦ τέλους T.

28. θαυμάσειε] Deest ἄν.

29. ἀρετὰ] Hinc manifesta altera lectio ἀρετά pro ἀρετᾷ: quæ in scholio præcedenti propter corruptionem verborum dubia erat. BUTTM.

ποιοῦντα τοὺς ἀσθενεῖς τὰ κακὰ ἔργα. ὠκὺν γὰρ δηλαδὴ τὸν ἀγαθὸν βραδὺς ὁ Ἥφαιστος καταλαμβάνει ἤτοι ζωγρεῖ. E.Q. τελεία στιγμὴ εἰς τὸ ἔργα. ὁ δὲ νοῦς, καταισχύνει τὰ κακὰ ἔργα, ἵν' ᾖ γνωμικόν. διὰ δὲ τοῦ "κιχάνει τοι βραδὺς ὠκύν" ἡ παρὰ πολλοῖς παροιμία ἐστὶν "καὶ χωλῶν δρόμος·" ὁ δὲ νοῦς καταλαμβάνει ὁ βραδὺς τὸν ὠκύν, γνωμικῶς. Q. ἠθοποιία ἐστὶ καὶ παροιμία, "καὶ χωλῶν δρόμος." E.

332. μοιχάγρια] τὰ ὑπὲρ ἀγρεύσεως, ὅ ἐστι συλλήψεως, μοιχῶν ἐκτιννύμενα. ὁμοίως ζωάγρια, βοάγρια, ἀνδράγρια. B. ὡς τὰ ζωάγρια. τὰ ὑπὲρ τῆς μοιχείας διδόμενα δῶρα, ἢ τὰ ὑπὲρ τῆς ἀγρεύσεως καὶ συλλήψεως τῶν μοιχῶν διδόμενα. E.Q. μοιχάγρια ἢ μοιχαλώσια, τὰ ὑπὲρ ἀγρεύσεως καὶ συλλήψεως τῶν μοιχῶν διδόμενα, ἐκτιννύμενα. P.

332. ὀφέλλει] πρὸς αὔξησιν. εἰ ἐπὶ τοῦ Ἡφαίστου, οὐ πρότερον ἀπολύσω αὐτὸν πρὶν ἀποδοῦναι ἡμῖν ὡς πλεῖστα, εἰ δ' ἐπὶ τοῦ Ἄρεος, ὁ Ἄρης ἐπὶ τῇ μοιχείᾳ ἁλοὺς ταύτην ὤφληκε τὴν δίκην. ἐπιτιμᾷ δὲ αὐτοῖς ὁ Ζωΐλος, ἄτοπον εἶναι λέγων γελᾶν μὲν ἀκολάστως τοὺς θεοὺς ἐπὶ τοῖς τοιούτοις, τὸν δ' Ἑρμῆν εὔχεσθαι ἐναντίον τοῦ πατρὸς καὶ τῶν ἄλλων θεῶν ὁρώντων δεδέσθαι σὺν τῇ Ἀφροδίτῃ. οὐκ εἰσὶ δὲ οἱ ποιητικοὶ θεοὶ φιλόσοφοι, ἀλλὰ παίζονται· ἀλλὰ καὶ τὸ κάλλος ἠθέλησε δηλῶσαι τῆς Ἀφροδίτης ὡς καὶ ἐν Ἰλιάδι ἐπαινοῦντες οἱ δημογέροντες (Il. γ, 146 sqq.). T.

333—342. ἐν ἐνίοις ἀντιγράφοις οἱ δέκα στίχοι οὐ φέρονται διὰ τὸ ἀπρέπειαν ἐμφαίνειν. νεωτερικὸν γὰρ τὸ φρόνημα. H.

338. διάκτωρ] διάγων τὰς ἀγγελίας. V.

340. ἀπείρονες ἐντὸς ἔχοιεν] τὸ ἀπείρονες οὐ πρὸς ἐπίτασιν· ἤρκει γὰρ τὸ τρὶς τόσσοι· ἀλλ' οἱ πανταχόθεν εἰλημμένοι, καὶ μήτε πέρας

1. ἀγαθὸν] Ἄρην Buttm.

9. ἐκτιννύμενα] ἐκτινύμενα Eustath. p. 1599, 43. ex quo hæc transcripta videntur.

11. ἢ μοιχαλώσια Buttm. pro ἐμοὶ χαλεπά.

15. πρὶν Prellerus pro πλήν.

17. αὐτοῖς] Id est, his versibus.

23. οὐ φέρονται] Ex scholio codicis T. ad v. 332. vides Zoilum iis, qui hos versus rejicerent, auctorem exstitisse, quanquam ante Zoilum Plato Rep. 3. p. 390 C. eandem ἀπρέπειαν notaverat. De Zoilo Amphipolitano rhetore, qui novem libros edidit κατὰ τῆς τοῦ Ὁμήρου ποιήσεως, explicatissime egit Lehrsius de Stud. Arist. p. 206 sqq. Cui de nostro loco satis, opinor, argute respondetur epicrisi illa, οὐκ εἰσὶ δὲ οἱ ποιητικοὶ θεοὶ φιλόσοφοι, ἀλλὰ παίζονται κ. τ. λ., quæ habent antiquum colorem. At gravioribus argumentis iisdem inter recentiores versibus instat Nitzschius ad Odyss. 8, 262 sqq. PRELLER.

ἔχοντες μήτε ἀρχήν. E.Q. οἱ ἀπείρονες δεσμοὶ οὐ σημαίνουσι πλῆθος, ἀλλὰ τοὺς ἰσχυροὺς, οἵ εἰσιν ἔγκυκλοι καὶ κρικωτοί. πρὸς γὰρ τὴν ἐρώτησιν ἡ ἀπόκρισις ἔσται κατὰ λόγον τοῦ σημαινομένου οὕτως ἀποδοθέντος. εἴρετο μὲν γὰρ αὐτὸν εἰ θέλει δεσμοῖς κρατεροῖσι πιεσθεὶς εὕδειν παρὰ τῇ Ἀφροδίτῃ. ὁ δὲ ἀποκρίνεται, εἴη μοι πολλάκις τοσούτοις δεσμοῖς δεθέντα εὕδειν, ἴσον τῷ πολλαπλασίοις, καὶ ἐν τούτοις ἀπείροσιν, ἐν ταυτῷ λέγων τῷ ἰσχυροῖς. τοῦτο γὰρ αὐτὸς ἐπύθετο λέγων, "ἦ ῥά κεν ἐν δεσμοῖς ἐθέλοις κρατεροῖσι πιεσθεὶς εὕδειν παρὰ χρυσῇ Ἀφροδίτῃ," τὸ γοῦν ἰσχυρὸν δηλοῖ διὰ τῆς "ἀπείρονες" φωνῆς ἀναφέρων ἐπὶ τοὺς κρικωτοὺς καὶ ταύτῃ δυσλύτους. ὡς γὰρ ἀλλαχοῦ εἶπε πέδας ἀρρήκτους ἀλύτους (275.), οὕτως ἐνταῦθα τοὺς ἀπείρους δεσμοὺς τοὺς ἀλύτους διὰ τὸ ἐν κύκλῳ περιέχειν. εἰ γὰρ ἀπείρονες ἀκούοιμεν ὡς ἄπειροι πλήθει, ἄλογος ἔσται ἡ ἀπόφασις τρὶς τόσσους εἰπεῖν καὶ ἀπείρους. τὸ γὰρ τρὶς τόσον πολλαπλάσιόν ἐστι, τὸ δὲ καθ' ὁποσονοῦν πολλαπλάσιον οὐκ ἄπειρον, ὥστε δεσμοί τε ἅμα εἶεν ἂν καὶ τὸ πλῆθος ἄπειροι. ὁ γὰρ δεσμὸς συνοχὴν καὶ δέσιν ὑπαγορεύων τοῦ κατὰ πλῆθος ἀπείρου συγκεχώρισται. ὅλως τε ἡ ἐρώτησις οὐ περὶ πλήθους, ἀλλὰ περὶ δυνάμεως ἦν. εἰ γὰρ βουληθείη δεσμοῖσι κρατεροῖσι πιεσθεὶς εὕδειν ἐρωτᾷ, οὐχὶ πολλοῖς. ἄλογον δὲ πρὸς τὸ πολλοῖς ὅπερ οὐκ ἐπύθετο ἀποκρίνεσθαι, πρὸς δὲ τὸ κρατεροῖς μηδὲν φάναι. λέγοι ἂν τρὶς μὲν τόσσους τοὺς πολλαπλασίους, ἀπείρονας δὲ κραταιούς. ὥστε τὸ ἄπειρον καὶ ἐπὶ σχήματος οὐ πεπερασμένον καθ' Ὅμηρον τίθεται καὶ ἔστι τοῦ κυκλοτεροῦς ἴδιον καὶ σφαιροειδοῦς. H.Q.

341. ὁρόωντες] ὁρῶντες, βλέποντες. V.

344. οὐδὲ Ποσειδάωνα γέλως ἔχε] δια τί οὐκ ἐγέλα ὁ Ποσειδῶν; ἐπεὶ παρεκάλει οὐκ ἐγέλα· ὁ γὰρ παρακαλῶν οὐ γελᾷ. Ἄλλως. διὰ τί Ποσειδῶν οὐκ ἐγέλα; ἐπειδὴ ἀδελφὸς ἦν τοῦ Ἄρεος, οὐκ ἐνεδέχετο γελᾶν ἐπὶ τῇ δεσμήσει τοῦ ἀδελφοῦ. E.

ἔχε] γρ, ἕλε, νῦν κατέλαβεν. M.

λίσσετο] ὡς πρεσβύτερος καὶ αἰδοῦς ἄξιος αὐτοῦ παρακαλεῖ. Q. ἐν τῷ τότε καιρῷ ἀπαύστως. ζητεῖ δὲ ὁ Ἀπολλόδωρος διὰ τί τῶν

2. ἔγκυκλοι H. ἔγκοιλοι Q.
5. πιεσθεὶς] πιασθεὶς H.
6. ἴσον τῷ] ἴσον τὸ Q.
7. λέγων τῷ Buttm. pro λέγων τό.
11. οὕτως Buttm. pro τοῦτο.
14. τόσον Buttm. pro τόσσους.
23. οὐ addidit Buttm.
30. ἕλε Cobetus pro εἷλεν.

ἄλλων θεῶν οὐδεὶς ἀπῆν, οὔτε Δεῖμος οὔτε Φόβος, ἀλλ' οὐδὲ Ζεὺς οὐδὲ Ἥρα. ῥητέον δὲ ὅτι Ἥρα μὲν καὶ Διώνη σὺν ταῖς ἄλλαις θεαῖς. T.

347. εἰς τὸ λῦσον ἡ στιγμή. H.

351. δειλαί τοι δειλῶν γε] ἀντὶ τοῦ, οὐκ ἀγαθαὶ τῶν φαύλων αἱ κατεγγυήσεις γίνεσθαι ἐγγυητικῶς. τουτέστιν, ἡ τοῦ κακοῦ ἀνθρώπου ἐγγύα οὐκ ἀγαθή ἐστι, καὶ μὴ ἐγγυῶ κακόν. E. ὅτι δειλαὶ καὶ δυστυχεῖς αἱ ἐγγύαι καὶ δειλῶν τὸ ἐγγυᾶσθαι. ἢ αἱ πρὸς τοὺς δειλαίους καὶ ἀσθενεῖς γινόμεναι ἐγγύαι οὐδὲν δύνανται, τῶν ἀδικουμένων ἐπεξελθεῖν μὴ δυναμένων δι' ἀσθένειαν. ἢ οὕτως· αἱ ὑπὲρ τῶν κακῶν καὶ δειλῶν ἐγγύαι καὶ αὐταὶ κακαί εἰσι, τὴν πίστιν ὑπὲρ τῶν τοιούτων μηδενὸς τηρεῖν δυναμένου. παρὰ τοῦτο δὲ καὶ τὸ τοῦ σοφοῦ ἀπόφθεγμα, "ἐγγύη, πάρα δ' ἄτα." E.P.Q.V. Ἄλλως. τὰ τῶν κακῶν πράγματα οὐ μόνον αὐτὰ κακά, ἀλλὰ καὶ ἐγγύαι αὐτῶν κακαί. τὸ γάρ, καὶ ἐγγύαι, τὴν ἀναφορὰν ἔχει πρὸς τὰ πράγματα. Ἄλλως. ὀφείλουσιν αἱ ἐγγύαι τῶν ἀσθενῶν διὰ εὐσθενῶν γενέσθαι, ἵνα κατέχειν δύναιντο τὸν ἐγγυώμενον τοῦ ἐγγυηθέντος μὴ ἀποτίσαντος. E. Ἄλλως. αἱ τῶν δειλῶν ἐγγύαι ἤτοι τῶν κακῶν καὶ ἀτόπων δειλαὶ ἐγγυάασθαι. λεγόμεναι γὰρ οὐ πιστεύονται. E.Q. οὐ μόνον τὰ τῶν δειλῶν πράγματα κακά, ἀλλὰ καὶ αἱ ἐγγύαι κακαί, ὡς ὁ Πορφύριος. M. τὸ δὲ δειλαί τοι σημαίνει ἐκ πλήρους τὰ τῶν κακῶν πράγματα οὐ μόνον αὐτὰ κακά, ἀλλὰ καὶ ἐγγύαι αὐτῶν κακαί· τὸ γὰρ "ἐγγύαι" τὴν ἀναφορὰν ἔχει πρὸς τὰ πράγματα. T.

δειλαὶ ἐγγύαι εἰσὶ καὶ δειλῶν τὸ ἐγγυᾶσθαι. καὶ τὸ ἐν Δελφοῖς ἐπίγραμμα "ἐγγύα, πάρα δ' ἄτα." σκληρὸν δὲ τοῦτο καὶ οὐκ ἀνθρώπινον τὸ πᾶσαν ἐγγύην ἀναιρεῖν, κἂν πατέρα τις ἐγγυήσασθαι βούληται. ὁ δὲ Ὅμηρος ἄλλῃ διανοίᾳ κέχρηται, ὅτι τῶν δειλῶν καὶ εὐτελῶν εὐτελεῖς ὀφείλουσιν εἶναι καὶ αἱ ἐγγύαι. ἀντὶ τοῦ μείζων εἶ, ὦ Πόσειδον, ἢ κατὰ τὸ ἀπαιτεῖσθαι παρ' ἐμοῦ· ὡς δηλοῖ καὶ τὸ ἑξῆς, πῶς ἂν ἐγώ σε δέοιμι καὶ καταλάβοιμι; B.H.

διὰ τούτου ἀπαγορεύει τὴν ἐγγύην παντελῶς. B.

352. πῶς ἂν ἐγώ σε δέοιμι] εὑρίσκοιμι, καταλαμβάνοιμι. "δήεις

1. ἀπῆν Prellerus. ἦν T.
8. δειλῶν ex scholio inferiore codicis B. correctum pro δειλόν.
9. ἀδικουμένων] ἀδικημάτων P.Q.V. Quod ἠδικημένων esse potest.
12. παρὰ τοῦτο—πάρα δ' ἄτα om. P.
30. Post καταλάβοιμι addit H. ἕως γὰρ Διὸς τὸ Ποσειδῶν οἱ ποι . . . CRAMER. Non intelligo.

τόνγε σύεσσι" (ν, 407.). V. ὁ δὲ Ἀρίσταρχος, πῶς ἂν εὐθύνοιμι, γράφει. οἱ δὲ ἐπὶ τοῦ δῆσαι. καὶ σὺ θρασὺς ὁρᾷς, φησὶν ὁ λόγος, ἀρνεῖται δὲ, οὐ δύναμαί σε δῆσαι. ὁ γὰρ ἐγγυώμενος ἐπὶ τοῖς αὐτοῖς γίνεται. εἰ γὰρ ὁ Ἄρης ἀποδράσας, φησὶν, οἴχεται φυγὼν, πῶς ἂν σὲ ἀντ' ἐκείνου δήσαιμι ὄντα μου πολλοῦ γενναιότερον; ἤτοι διὰ τὴν αὐτοῦ ἀσθένειαν, ἢ διὰ τὴν αἰδῶ τὴν πρὸς ἐκεῖνον. H.M.Q.T.V.

πῶς ἂν ἐγώ σε, φέριστε, μετ' ἀθανάτοισι δέσιμι] ἐπιζητῶ εἰς τοὺς θεούς. ἢ δεσμήσαιμι καθὰ τὸν Ἄρην. E.

355. χρείως] χρείως, τὸ χρέως, τῷ χρέει. Ἀττικῶς δέ ἐστι τοῦτο. πλεονασμὸς δέ ἐστι τοῦ ι ἐν τῷ χρείως. Ἀρίσταρχος δὲ δεσμόν γράφει. Q.

361. Θρῄκηνδε] φιλοπόλεμοι μὲν οἱ Θρᾷκες καὶ ἀφωρισμένοι τῷ Ἄρει. B.

362. ἡ δ' ἄρα Κύπρον] οὗτος ὁ στίχος ἐπλάνησε τὸν Ἡσίοδον εἰπεῖν Κυπρογένειαν τὴν Ἀφροδίτην. Cod. Vind. 56.

363. ἐς Πάφον] παρὰ Παφίοις οὐκ ἔστιν Ἀφροδίτης ἄγαλμα, τέμενος δὲ μόνον καὶ βωμός. ἐμπείρως οὖν Ὅμηρος εἰπὼν ἐς Πάφον ἐπάγει, ἔνθα δέ οἱ τέμενος βωμός τε θυήεις. E.T. πόλις Κύπρου. ἀπὸ γενικοῦ εἰς τὸ εἰδικόν. ὁ δὲ ἀντὶ τοῦ γάρ, ἔνθα γάρ οἱ. H.

1. πῶς ἂν εὐθύνοιμι] Sic Q. et V. it. Etym. M., 256, 24. Barnesius scribit πῶς ἄν σ' εὐθύνοιμι, quod et ratio sane et metrum poscit. BUTTM.

2. γράφει om. H.M.

ὁρᾷς et ἀρνεῖται δὲ om. Q. Barnes. ex his omittit verba καὶ σὺ θρασὺς eorumque loco substituit καὶ δεσμεῦσαι, Etymologo, ut ait, auctore. Nimirum in Etym. verba hujus scholiastæ inde ab εὑρίσκοιμι usque ad ἐπὶ τοῦ δῆσαι leguntur, additis verbo δῆσαι his: καὶ δεσμεῦσαι. Cf. not. sq. BUTTM. Fragmentum hujus scholii est in T. sic scriptum, ἀρνεῖται δὲ ὅτι οὐ δύναμαί σε δῆσαι, ἐπειδὴ γὰρ ὁ ἐγγυώμενος ἐν τοῖς αὐτοῖς κακοῖς, ἐν οἷς ὁ ἀποδράσας. ὅτι ὁ Ἄρης οἴχεται, φησὶ, λυθεὶς φεύγει, πῶς ἄν σε ἀντ' ἐκείνου δήσαιμι ὄντα πολλῷ αὐτοῦ γενναιότερον; ἤτοι διὰ τὴν ἑαυτοῦ ἀσθένειαν ἢ διὰ τὴν αἰδῶ τὴν πρὸς ἐκείνων.

7. φέριστε—δέσιμι] Memorabilis varietas, cujus vestigia in præcedenti quoque scholio deprehendere videor in his, καὶ σὺ θρασύς, quæ novum potius scholium ordiuntur. BUTTM.

11. δεσμόν] Porsonus de H. ad vers. 353. "Schol. χρέως et χρείως. Ἀρίσταρχος δὲ δασμὸν γρ. sc. pro δεσμόν." Ut incertum sit, ex his quidem relationibus, volueritne Aristarchus primo loco δασμόν *tributum, multam*, pro δεσμόν: in altero loco δεσμὸν ὑπαλύξας: quod per metrum quidem non pejus esset vulgato χρεῖος ὑπαλύξας. Quanquam Aristarchus si hoc posterius mutatum isset, δεσμούς ni fallor potius posuisset. BUTTM.

14. Ἡσίοδον] Theog. 199.

16. ἔστιν] ἔστι γὰρ T.

364. ἔνθα δέ μιν Χάριτες] παρθένοι καὶ οὐδέπω γεγάμηνται· οὐ γὰρ δὴ ὁ Ἥφαιστος δύο εἶχε γυναῖκας (Il. σ, 382). ἀλλ' οὐδὲ γὰρ ὁ Ὕπνος ἤλασε τὴν Πασιθέαν· ἥρμοστο γὰρ παρὰ τῆς Ἥρας (Il. ξ, 267). καὶ δύο γενέσεις Χαρίτων, αἱ μὲν Εὐρυνόμης καὶ Διός, αἱ δὲ Ἥρας καὶ Διὸς ἔτι παρθένοι· δεῖ δὲ Ἀφροδίτῃ παρθένων. T. 5

365. ἐπενήνοθεν αἰὲν ἐόντας] γίνεται ἀπὸ τοῦ ἐνῶ ῥήματος τοῦ σημαίνοντος τὸ μιγνύω καὶ συνάγω. ὁ παρατατικὸς ἤνεον, καὶ μετὰ τῆς ἐπί καὶ ἐν ἐπενήνεον, ἀντὶ τοῦ ἐσώρευον. E. ἐπανθεῖ, ἐπιχρίει. H. ἐπικινεῖται, ἔπεστιν, ἐπανθεῖ. B. ἐπῆν, ἐπέκειτο. V.

369. δολιχήρετμοι] δολιχὰς ὁδοὺς διανύοντες καὶ μὴ κάμνοντες, ἢ 10 δολιχῇ ἐρεσίᾳ κάμνοντες. T.

370. Ἅλιον προπαροξύτονον τῷ τόνῳ, μουνὰξ ὀξυτόνως. H.

372. τὸ ἑξῆς, "οἱ δ' ἐπεὶ οὖν σφαῖραν καλὴν μετὰ χερσὶν ἕλοντο, τὴν ἕτερος ῥίπτασκεν. H.

οἱ δ' ἐπεὶ οὖν σφαῖραν] παλαιὸν τὸ ἔθος καὶ παρὰ Λακεδαιμο- 15 νίοις δέ. εἰς τὰ σφαιρομάχια τεθέαμαι, φησὶν ὁ Πῖος. εἰκὸς δὲ καὶ τὴν Ναυσικάαν διὰ τοῦτο καὶ τῆς σφαίρας τῇ παιδιᾷ τέρπεσθαι. E.Q.

375. ἰδνωθεὶς ὀπίσω] ἀνακλιθεὶς ἑαυτὸν ὀπίσω ἀνέβαλλε τὴν σφαῖραν εἰς ὕψος. ἐλάμβανεν αὐτὴν ὁ ἕτερος ταῖς χερσὶ πρότερον 20 ἐπὶ τὴν γῆν πεσεῖν καὶ πρὸ τῶν πολλῶν. T.

3. ἤλασε] παρ' αὐτῆς ἔλαβε Prellerus.

9. ἐσώρευον] Ne puta hunc scholiasten hic legisse ἐπενήνεεν. Sed cum in collectionibus ad ordinem alphabeti factis, glossæ ἐπενήνεον et ἐπενήνοθε contiguæ essent, ut adhuc sunt apud Apollonium et Etymologum, alteram pro altera hic excerpsit nictitans compilator. BUTT.

13. προπαροξύτονον] Conf. ad v. 119.

17. εἰς τὰ σφαιρομάχια] Vocabulum ἡ σφαιρομαχία de pilæ lusu apud Pollucem 9, 107. et apud scriptores Latinos (vid. Gesn. Thes.) exstat. Neutrum plurale præbet Eust. ad h. l. in his verbis, καὶ ἐνεχωρίαζέ φασι Λακεδαιμονίοις ἀγὼν τὰ σφαιρομάχια. Patet autem nunc hoc illum ex hoc nostro scholio hausisse. In quo mendosam esse voculam εἰς vel inde patet quod nullum ea præbet cum præcedentibus nexum, qualis esse tamen debet si σφαιρομάχια hæc ad Lacedæmonios spectant: neque huc trahi potest dictio θεωρεῖν εἰς—, quæ significat spectandi causa proficisci. Quare cum idem hic Pius supra etiam ad δ, 356., de rebus in itineribus sibi visis loquatur, suspicor, τὰ σφαιρομάχια esse locum, ædificium huic lusui destinatum; id autem tanquam pristini illius Lacedæmoniorum moris etiam tum superstes sibique Spartæ visum monumentum a Pio hic memorari; scribendumque esse ἂν τὰ σφ. BUTTM.

377. ἀνιθὺν] ἀνακινεῖν εὐθέτως. Q. ἔγκειται τὸ ἄνω καὶ τὸ ἰθύνειν, οἷον ἀνορμῶντες· ἥλλοντο γάρ. V.

379. ταρφὲ ἀμειβομένω] πυκνῶς πλέκοντες εἰς ἀλλήλους ἐναλλασσόμενοι. V.

ἐπελήκεον] ἐπεκρότουν, ἐπεψόφουν. T. 5

380. κόμπος] γρ. δοῦπος. P.

383. ἀπείλησας] ἐπηγγείλω. "οὐδ' ἠπείλησεν ἄνακτι" (Il. ψ, 863.). H.

βητάρμονες] ὀρχησταί, οἱ διὰ τῶν ποδῶν ὀρχούμενοι, ἀπὸ τοῦ ἡρμοσμένως βαίνειν. V. 10

θαυμάζοντος τοῦ Ὀδυσσέως τοὺς ὀρχηστὰς καὶ μαρτυροῦντος, "ἦ μὲν ἀπείλησας βητάρμονας εἶναι ἀρίστους, ἦ δ' ἄρ' ἑτοῖμα τέτυκτο," ἐπάγει ὁ ποιητής, "γήθησεν δ' ἱερὸν μένος Ἀλκινόοιο," ἐνδεικνύμενος τὸν ἀγωνιῶντα καὶ φροντίζοντα μὴ πάλιν διαπέσῃ καὶ ἀλαζὼν εἶναι δόξῃ, ὥστε καὶ προάγεσθαι ἐπὶ τὸ ἐπαινεῖν τὸν μαρ- 15 τυρήσαντα ἀλήθειαν αὐτῷ· "ὁ ξεῖνος μάλα μοι δοκέει πεπνυμένος εἶναι." καὶ ἐπὶ τούτῳ δῶρα διδόναι προτρέπεται τοὺς παρόντας. λοιπὸν δὲ ὄντων ἔτι ἀπράκτων ὧν ἀπηγγείλατο, τὸ τῆς ᾠδῆς καὶ τὸ τῆς ἐσθῆτος καὶ τὸ τῶν λουτρῶν τῶν θερμῶν· εἴρητο γὰρ "ἀεὶ δ' ἡμῖν δαίς τε φίλη κίθαρίς τε χοροί τε, εἵματά τ' ἐξημοιβὰ λοετρά τε θερμὰ 20 καὶ εὐναί" (248.)· ἡ μὲν ἐπίδειξις τῆς ἐσθῆτος οὐ μόνον δι' ὧν ἐνεδύοντο μαρτυρεῖται, ἀλλὰ καὶ ἐξ ὧν δωρήσασθαι παρεκελεύετο. δώδεκα γάρ, φησί, κατὰ δῆμον ἀριπρεπέες βασιλῆες, τρισκαιδέκατος δ' ἐγὼ αὐτός· τῶν οἱ φᾶρος ἕκαστος ἐϋπλυνὲς ἠδὲ χιτῶνα, καὶ χρυσοῖο τάλαντον ἐνείκατε. τῶν δὲ λουτρῶν ἡ ἐπίδειξις καὶ τῆς δαιτὸς ἐν οἷς 25 φησιν "ἀμφὶ δέ οἱ πυρὶ χαλκὸν ἰήνατε, θέρμετε δ' ὕδωρ, ὄφρα λοεσσάμενός τε ἰδών τ' εὖ κείμενα πάντα δῶρα δαιτί τε τέρπηται καὶ ἀοιδῆς ὕμνον ἀκούων" (426–9.). ὅθεν καὶ τούτοις πάλιν μαρτυρεῖ ὁ Ὀδυσσεὺς "ἀσπασίως μὲν ἰδὼν θερμὰ λοετρά" (450.)· καὶ περὶ τοῦ ᾠδοῦ λέγων ὡς "καλὸν ἀκουέμεν ἐστὶν ἀοιδοῦ" (ι, 3.). περὶ δὲ τῆς 30 δαιτὸς "οὐ γὰρ ἔγωγέ τι φημὶ τέλος χαριέστερον εἶναι" (ι, 5.). E.H.Q.

384. ἑτοῖμα] οὕτως ὁ τόνος, οὐ προπαροξυτόνως. H.

1. ἔγκειται] παρὰ V.
3. πλέκοντες] διαπλέκοντες Barnes.
17. λοιπὸν H. λοιπῶν E.Q.
20. εἵματά τ' ἐξημοιβὰ] Scribebatur εἵματ' ἐξαμοιβά.
33. προπαροξυτόνως correxi pro παροξυτόνως.

385. γήθησεν δ' ἱερὸν μένος Ἀλκινόοιο] κεχαρισμένην τοῖς ἀκούουσι τὴν μαρτυρίαν προφέρων εἰς χαρὰν ἐκίνησε τὸν Ἀλκίνοον. δῆλον δὲ ἐκ τῆς διαθέσεως ἧς ἔχει ἐπενεχθέντων αὐτῶν· δῶρα γὰρ δίδωσι καὶ τοὺς ἄλλους συμβάλλειν προτρέπεται. Q.

390. δώδεκα γὰρ κατὰ δῆμον] δῆλον δὲ ἐκ τούτων ὅτι ἀριστοκρατία τίς ἐστιν, ἐξέχει δὲ ἐν αὐτοῖς ὁ Ἀλκίνους δώδεκα ὄντων, ὡς ὁ ἑξῆς στίχος δηλοῖ. E.Q. ἐκ τούτου δῆλον ὅτι ἀριστοκρατία ἦν, ὁποία καὶ ἡ εἰς Ἴλιον ἐγένετο στρατεία· ἕκαστος μὲν γὰρ τῶν ἰδίων ἦρχεν, εἷς δὲ ὁ τὴν πάντων ἀρχὴν κεκτημένος. T.

393. ἐνείκατε] καὶ αὐτὸν συμπαραλαμβάνει· ἐπιφέρει γὰρ "αἶψα δὲ πάντα φέρωμεν," καὶ ἡ Ἀρήτη "ἐν δ' αὐτὴ φᾶρος θῆκεν" (441). τὸ δὲ τάλαντον χρυσοῦς εἶχε τρεῖς, ὡς καὶ Φιλήμων ὁ κωμικὸς "δύ' εἰ λάβοι τάλαντα, χρυσοῦς ἓξ ἔχων ἀποίσεται." T.

394. ἀολλέα] ὁμοῦ συναχθέντα, ἀθρόα. V.

396. Εὐρύαλος δέ ἑ αὐτὸν] ὁ τὸν Ὀδυσσέα ὀνειδίσας ὥς τινα πλωτῆρα καὶ μὴ ὡς στρατιώτην τιμήσας. Q.

Ἀρίσταρχος τὴν ἑ ἐγκλίνει καὶ Ἡρωδιανός. H.

403. ᾧ ἐπὶ κώπη ἀργυρέη] ἀναστροφὴ τῆς λέξεως, ἐν ᾧτινι ἄορι ἤτοι φασγάνῳ καὶ σπάθῃ ἀργυρέη κώπη ἦν. H.Q.

404. κουλεὸς] ἡ ξιφοθήκη. V.

κολεὸν] γρ. κουλεός. H.

408. βέβακται] πεφλυάρηται. ἔνθεν καὶ βάβαξ, παρὰ τὸ βάζειν, ὁ κεκράκτης. E.V. εἴρηται παρὰ τὸ βάζειν. ἀμνηστείαν δὲ ἀξιοῖ τῶν πρότερον εἰρημένων γενέσθαι. T.

[409. φέροιεν ἀναρπάξασαι ἄελλαι: ὅμοιον τούτῳ εἶπε καὶ ὁ ἅγιος Γρηγόριος ὁ θεολόγος ἐν τῷ κατὰ Ἰουλιανοῦ πρώτῳ στηλιτευτικῷ. ἔχει δ' οὕτως· τοῦτο μὲν δὴ τὸ ἐμὸν θαῦμα. καὶ εἰ μὲν ψευδὲς, αὖραι φέροιεν, εἰ δ' ἀληθὲς, πάλιν Βαλαὰμ προκηρύττει καὶ δαίμονες ὁμολογοῦσι τὸν Ἰησοῦν ἄκοντες καὶ ἐκ τῶν ἐναντίων, ἵνα μᾶλλον πιστωθῇ ἡ ἀλήθεια. E.]

413. καὶ σὺ φίλος] καὶ σὺ, φησὶν ὁ Ὀδυσσεὺς Ἀττικῶς. μὴ ἔτι γένοιτο τοῦ ξίφους ὅ μοι δέδωκας ποθὴ ἐπὶ τὸ ἔμπροσθεν ἤτοι ἐπιθυμία. Q.

13. ἓξ ἔχων addidi ex Etym. M. p. 744, 38. ubi ἔχων ἓξ, quod correxit Petitus.

19. σπάθῃ H. σπαθηρᾷ Q.

22. βάβαξ] βὰξ V.

23. ὁ κεκράκτης Buttm. ἐκεκράκτης E. ὁ κράκτης V.

25—29. Scholion manus recentissimæ in E.

415. ἀρεσσάμενος] φιλοφρονησάμενος. Q.

424. φέρε χηλὸν ἀριπρεπέ] τὸ κιβώτιον, παρὰ τὸ ἐν αὐτῷ χέεσθαι τὰ ἐμβαλλόμενα. Q.

425. ἐν δ' αὐτῇ] λείπει τὸ, ἵνα βάλλωμεν τὰ δῶρα τῶν Φαιάκων. καὶ αὐτὴ δὲ πρόσφερε τὸ φάρος καὶ τὸν χιτῶνα. τὸ γὰρ ποτήριον φιλοτιμίας ἕνεκα δίδωμι. B.Q.

426. ἀμφὶ δέ οἱ] ἕνεκα δὲ αὐτοῦ. B.

ἰήνατε] εὐφράνατε, θερμάνατε. B.

430. ἄλεισον] τὸ ἔκπωμα τὸ τετορνευμένον. H.

434. τρίποδα] γρ. καὶ λέβητα. εἶχε δὲ ὁ λέβης τρίποδα. H.

443. θοῶς δ' ἐπὶ δεσμὸν ἴηλον] ἐπίβαλε. δεσμοῖς γὰρ ἠσφαλίζοντο τὸ παλαιόν· νεωτέρων γὰρ Λακώνων ἡ κλείς. τὸ δὲ ἀφ' ἑαυτοῦ ποιῆσαι τὸν Ὀδυσσέα ἐξασφαλιζόμενον ἀπρεπές. δοκεῖ γὰρ μὴ πιστεύειν τοῖς συμπλέουσι. διὸ τῇ γυναικὶ τὰ περὶ τὴν ἀσφάλειαν τῆς χηλοῦ ἀπέδωκεν. B.Q. ἔκτεινον, οἷον ἐπὶ . . . "καθ' ὁδὸν δηλήσεται" (444). καθ' ὁδὸν τουτέστι τὸν πλοῦν, δηλήσεται δὲ ἀντὶ τοῦ κακοποιήσει. T.

444. ὁππότ' ἂν αὖτε εὕδῃσθα] τοῦτο συντελεῖ εἰς τὴν ἀπολογίαν τοῦ Ὀδυσσέως ὕπνου. ἔοικε γὰρ κατ' ἰδίωμα ἀκολουθοῦν ταῖς ναυσὶ τῶν Φαιάκων κατακεκοιμῆσθαι καταπλέων εἰς τὴν πατρίδα. Q.

448. δέδαε φρεσὶ πότνια Κίρκη] ἐδίδαξεν, ἐπεὶ πρότερον οἱ ἑταῖροι ἔλυσαν τὸν ἀσκόν. E. ἴσως ἐδίδαξεν αὐτὸν διὰ τὸ λῦσαι τοὺς ἑταίρους τὸν ἀσκὸν τοῦ Αἰόλου. H. πιθανῶς πάνυ ἐπὶ τὸν παρ' Αἰόλου τῶν ἀνέμων ἀσκὸν, ὃν οἱ ἑταῖροι ἔλυσαν. παρὰ τῆς πολυτροπωτάτης ἔμαθεν ἰδέαν δεσμοῦ. οὐδέπω γὰρ ἔγνωστο ὁ δακτύλιος. T.

449. αὐτόδιον] ἐξ αὐτῆς ἐκείνης τῆς ὁδοῦ, οὐκ ἀλλαχοῦ που παραχωρηθέντα· ἢ αὐτοδίως, πρὶν ἀλλαχοῦ πορευθῆναι μετὰ τὸ δῆσαι τὸ κιβώτιον. E. παραχρῆμα, ἐξ αὐτῆς ὁδοῦ· ἢ αὐτοδίως, πρὶν ἀλλαχοῦ χωρισθῆναι ἀπὸ τοῦ δεσμοῦ τῆς κιβωτοῦ. B.Q. ἐπ' αὐτῆς τῆς ὁδοῦ, πρὶν ἀλλαχοῦ που ἀπελθεῖν. T.

450. ἀσάμινθον] ἀσάμινθος λέγεται διὰ τὸ μινύθειν καὶ οἷον

10. γρ. καὶ λέβητα] Glossema manifestum.

11. ἠσφαλίζοντο Buttm. pro ἠφανίζοντο.

13. δοκεῖ γὰρ] Immo δοκοῖ γὰρ ἄν. BUTTM.

14. διὸ τῇ Buttm. pro διότι.

15. ἀπέδωκεν] Sc. ὁ ποιητής. BUTTM.

ἀφανίζειν τὴν ἄσην ἤτοι τὸν ῥύπον. τὸ δὲ ῥά παραπληρωματικὸς σύνδεσμος. H.P.Q.

451. ἐπεὶ οὔτι κομιζόμενος] ἀντὶ τοῦ οὐδὲ ὅλως κομιζόμενος ἤτοι κομιδῆς καὶ ἐπιμελείας ἠξιωμένος, ὡς δῆλον ἐκ τοῦ ἐπιφερομένου "τόφρα δέ μοι κομιδή τε θεῷ ὡς ἔμπεδος εἴη." B.H.Q. 5

453. θεῷ ὣς] ὡς θεῷ εἶπε διὰ τὴν εὐεξίαν τοῦ σώματος, καθόσον μὲν καὶ ἡ Καλυψὼ ὑπισχνεῖτο θήσειν ἀθάνατον. B.

455. ὁ δέ ἀντὶ τοῦ καί. εἰς τὸ χιτῶνα ὑποστικτέον. H.

456. οἰνοποτῆρας] τοὺς εὐωχουμένους, τοὺς φέροντας ταῖς χερσὶν ποτήρια οἴνου πλήρη. Q. 10

458. στῆ ῥα παρὰ σταθμὸν] ἐπίτηδες ἵνα ὑπομνήσῃ αὐτὸν τῆς εὐεργεσίας. Q.

459. ἐν ὀφθαλμοῖσιν ὁρῶσα] γρ. ἐπεὶ ἴδεν ὀφθαλμοῖσιν. P.

462. ζωάγρια] τὰ ὑπὸ τῆς . . . ἀγρεύματα· τὸν γὰρ ὑφ' ἑαυτῆς σεσωσμένον ὁρῶσα καὶ πολλῆς ἠξιωμένον τιμῆς χαίρει καὶ τὴν ἐκείνου 15 σωτηρίαν ἐξιδιοποιεῖται. οὔκουν ἀκόλαστον ὑπολαμβάνειν χρὴ τὴν κόρην. προσαγόρευσιν γὰρ ἡ κόρη περιέχει καὶ παράκλησιν μνήμης· πρώτῃ γὰρ ὀφείλεσθαι χαίρειν. T.

465. τὸ νῦν ἀντὶ τοῦ δή. οὕτω δή. H.

466. ὡς εὔχομαι θεῷ, οὕτως καί σε εὔξομαι. H. 20

468. σὺ γάρ μ' ἐβιώσαο, κούρη] εἰς τὸν βίον εἰσήγαγες, ἔσωσάς με βίῳ, ἀνεζωπύρησας. T.

ἐβιόσσαο] τὸ ζῆν περιεποίησας, ἔσωσας. V. ἐβιόσσαο] γρ. βιώσω. H.

476. ἀμφοτέρωθεν τῆς ῥάχεως ἦν πολὺ λίπος. H. 25

477. κῆρυξ, τῇ δὴ, τοῦτο πόρε κρέας] τὸ τῇ ῥῆμα προστακτικόν ἐστι παρὰ ποιηταῖς εἰρημένον χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ. καὶ ἔστιν ἀπὸ θέματος τοῦ τῶ, ὡς λῶ λῆς λῇ, ζῶ ζῆς ζῇ, οὕτω τῶ τῆς τῇ. τούτου ὁ παρατατικὸς ἔτων ὡς ἔζων, τὸ δεύτερον καὶ τὸ τρίτον ἔτης ἔτη, ὡς ἔζης ἔζη. ἐκ τούτου τοῦ τρίτου κατὰ ἀποβολὴν τοῦ ε 30 τῇ γίνεται τὸ προστακτικὸν ὡς ἐχρύσου χρύσου. τὸ δὲ φάγῃσι κατ' ἐπέκτασιν. τὸ δὲ ἑξῆς, δέξαι τοῦτο καὶ πόρε κρέας Δημοδόκῳ. B.Q.

480. τιμῆς ἔμμοροι] μερίδος τιμητικῆς μετέχουσιν. τὸ δὲ

1. τὴν ἄσην H. τὸν ἄσον P.Q.
13. γρ. addidit Buttm.
26. τὸ τῇ Buttm. pro τοῦτο.
28. τοῦ τῶ] Vid. schol. ι, 347. BUTTM.

"προσπτύξομαι" ἀντὶ τοῦ δεξιώσομαι, ὡς καὶ ὁ βασιλεὺς τὸν νικηφόρον "νώτοισιν δ' Αἴαντα" (Il. η, 321). T.

485. αὐτὰρ ἐπεὶ πόσιος] δαιμονίως τῇ τάξει ἐχρήσατο. οὐ γὰρ ἅμα τῇ δόσει τῶν κρεῶν εὐθὺς ἐπιτάττει τὰ περὶ τὸν ἵππον ᾄδειν, ἀλλὰ προθεραπεῦσαι μὲν τῇ τιμῇ. τὸ δὲ πρόσταγμα εἰς καιρὸν ὑπέθετο ὅτε ἔμελλεν ἐκεῖνος ἀείδειν. Q.

487. ἐνταῦθα τελεία ἡ στιγμή. H.

488. ἢ σέ γε μοῦσ'] ἡ Τερψιχόρη, ἢ αἱ Μοῦσαι. E.

489. λίην γὰρ κατὰ κόσμον] τοῦτο ἤδη τοὺς παρόντας εἰς πόθον ἄγει. πόθεν οὗτος οἶδεν ὅτι κατὰ κόσμον ᾄδεται τὰ πράγματα Δημοδόκῳ; τὸ δὲ ἑξῆς γυμνότερον, ὥστε που ἢ αὐτὸς παρών. H. ἤδη τοὺς παρόντας εἰς ἐπίτασιν ἄγει . . ζητοῦσι πόθεν οὗτος, ὅτι καλῶς τὸν νόστον τῶν Ἀχαιῶν . . παρὰ Μούσης δέ φησι μανθάνειν, ἐπεὶ οἱ Φαίακες ἀνεπίμικτοι. τὸν ἵππον ᾄδειν κελεύει, ἵνα γνωρισθῇ, διὸ καὶ ἐπίτηδες ἀκούει. οὐ προανακρίνουσιν αὐτόν, ἵνα ἡ φιλοξενία μείζων φανῇ καὶ μὴ εἰς τὴν δόξαν αὐτὸν νομίσωσι τιμᾶν. καὶ ἄλλως δὲ οὐκ εἰώθεσαν πρὸ τοῦ ξενίζειν ἐπερωτᾶν. T.

491. ἢ αὐτὸς] γρ. καὶ, ᾗ αὐτός, ἀντὶ τοῦ καθά. H.

ἢ ἄλλου] παρά. Gl. H.

ἄλλου ἀκούσας] τὸ γὰρ μὴ παρὼν ὡς ἐν Τροίᾳ Δημόδοκος πάντως οὐκ ἄλλου ἀκούσας ᾖσε φαμὲν ὅτι αὐτοδίδακτος ἦν ὑπὸ θεοῦ ἐμπνεόμενος, ὡς καὶ αὐτός φησιν, "ὃν πέρι μοῦσ' ἐφίλησεν" (63.). Q.

492. ἀλλ' ἄγε δή] πιθανὸν τὸ ἐπίταγμα, ἵνα παρ' ἄλλου μαθόντες τὰς ἐν Ἰλίῳ πράξεις ὑπομένοντες ἀκούωμεν, ἐπειδὴ πᾶς ἔπαινος φθόνον παρὰ τῶν ἀκουόντων ἐπάγεται, ἡ δὲ ἐπαινουμένῳ προσώπῳ ἀκρόασις μείζω τὴν ἔκπληξιν. Q.

ἵππου κόσμον] τὴν κατασκευὴν, ἢ τὴν οἰκονομίαν, ἢ τὴν ὑπόθεσιν. B.Q.

493. Ἐπειὸς ἐποίησεν σὺν Ἀθήνῃ] οἱ τῶν Ἑλλήνων τέκτονες. P.

Ἐπειὸς] ὁ τῶν Ἑλλήνων τέκτων. V.

σὺν Ἀθήνῃ] τοῦτό τινες τοῖς ἑξῆς συνάπτουσιν. E.

494. δόλον] Ἀρίσταρχος καὶ Ἀριστοφάνης, δόλῳ, φασίν. H.

δῖος Ὀδυσσεύς] διὰ τούτου καὶ πτολίπορθος ὁ Ὀδυσσεύς. τὸ μὲν

19. ᾗ Buttm. pro ἤ.

20. τὸ γὰρ —] Hæc non integra.

24. πᾶς ἔπαινος] Propria laus, puta. In seqq. autem hæc ἐπαινουμένῳ προσώπῳ idem quod ἐναντίον τοῦ ἐπ. προσ. valere debent quidem; an possint non dicam. BUTTM.

γὰρ κατασκεύασμα, ὁ ἵππος, Ἐπειοῦ καὶ Ἀθηνᾶς ἦν, τὰ δὲ ἐγχειρήματα Ὀδυσσέως· οὗτος γὰρ ὁ προτρεψάμενος ἐμβῆναι τοὺς Ἀχαιούς. T.

ὅν ποτ' ἐς ἀκρόπολιν] νῦν μὲν εὐθέως πόλιν ἄκραν. ἀνόητοι δὲ οἱ Τρῶες εἰσαγαγόντες καὶ τότε ζητοῦντες μὴ ἄρα ἐνέδρα ἐντός. ἡ Ἀθηνᾶ δὲ βλάψασα αὐτῶν τὰς φρένας καὶ ἡ εἱμαρμένη. ἀνόητοι δὲ καὶ οἱ παρακινδυνεύοντες καὶ εἰσελθόντες. ἔστι δὲ εἰπεῖν ὅτι ὁ καιρὸς ἐβιάζετο· οἱ γὰρ ἀριστεῖς ἤδη ἐτεθνήκεσαν καὶ χρόνος ἦν ἤδη πολὺς, καὶ τοῖς πολεμίοις ἐπῄεσαν σύμμαχοι καὶ ἐτετείχιστο ὑπὸ θεῶν ἡ πόλις, καὶ ᾠκοφθορεῖτο τὰ ἐν τῇ Ἑλλάδι, ὁπότε καὶ μετὰ νίκην ἀναστρέψαντες κακοῖς περιέπεσον. διὸ ἐπιβουλὴν ἐποίησεν, ὥσπερ καὶ οἱ ἰατροὶ . . . κινδυνευομένους ἐπιχειροῦσι ταῖς θεραπείαις. T.

497. αὐτίκ' ἐγὼ πᾶσιν] γρ. αὐτίκα καὶ πᾶσιν. H.

αὐτίκ' ἐγὼ πᾶσιν μυθήσομαι] οὐχ ὑποθήσομαι, ἀλλ' εὐθέως μαρτυρῶ. καλὸν δὲ μισθὸν ἀποδώσειν ἐπαγγέλλεται πᾶσι φανερὰν αὐτοῦ τὴν δόξαν ποιήσειν. T.

499. ὁ δ' ὁρμηθεὶς] ἐκ θεοῦ ἐμπνευσθείς· ὁ γὰρ δύναμιν καὶ ὁρμὴν ἐκ θεοῦ λαβὼν, ἢ ἀπὸ θεοῦ τὴν ὁρμὴν ποιησάμενος· ἔθος γὰρ ἦν αὐτοῖς ἀπὸ θεοῦ προοιμιάζεσθαι. T.

θεοῦ ἤρχετο] ἀπὸ τῆς μούσης ἐμπνευσθείς· ἢ ἀπὸ θεοῦ ἀρξάμενος. P. ἀπὸ θεοῦ τὴν ἀρχὴν τῆς τραγῳδίας ποιούμενος· ἢ ἀπὸ τῆς μούσης ἐμπνευσθείς. H.Q.

506. ἄγχ' αὐτοῦ] πλησίον αὐτοῦ. H. γρ. ἥμενοι ἀμφ' αὐτόν. P.

τρίχα] βαρυτόνως τὸ τρίχα. H.

σφίν] ἀντὶ τοῦ αὐτοῖς. V.

507. διατμῆξαι] Ἀρίσταρχος διαπλῆξαι, ὡς ἀλλαχοῦ, "τὰς μὲν ἔπειτα διαπλήσσοντες Ἀχαιοί" (Il. ψ, 120.). H.

κοῖλον δόρυ] ἀπὸ τοῦ λέγεσθαι τὰ ξύλα δούρατα ὠνόμασε τὸν ξύλινον ἵππον ἐκεῖνον δόρυ κοῖλον. τὸ δὲ νηλεῖ χαλκῷ ἐτυμολογεῖται ἐκ τοῦ νη στερητικοῦ καὶ τοῦ ἐλέους, ἤτοι τὸ ἐλέους ἐστερημένον. Q.

508. ἐρύσαντες] ἑλκύσαντες. V.

ἐπ' ἄκρας] ἐπὶ κρημνῶν, ἢ ἐπὶ τῆς ἀκροπόλεως. B.

11. ἐπιβουλὴν Prellerus. περὶ βουλῆς T.

21. ποιούμενος· ἢ addidit Buttm.

25. σφίν] Sic in ed. ant. Fuit itaque fortasse σφὶν ἑήνδανε. BUTT.

31. ἑλκύσαντες] Nominativum observa, qui est etiam in duobus Vindob. et habet quo se commendet. BUTTM.

509. θεῶν θελκτήριον] ἱλαστήριον, εἰς τέρψιν θεῶν εἶναι. τέρπει γὰρ τοὺς θεοὺς τὰ ἀναθήματα. B.Q.

510. τῇ περ δὴ καὶ ἔμελλεν] ἥτινι βουλῇ καὶ μετέπειτα ἔμελλε τελειωθήσεσθαι τὸ ἐὰν αὐτὸν θελκτήριον εἶναι. εἶπε γὰρ, τρίχα δέ σφισιν ἥνδανε βουλή. Q.

515. ἄλλον τρόπον ἐξετραγῴδει ὡς τὴν πόλιν πορθοῦντα καὶ διαφθείραντα. H.

ἱππόθεν ἐκχύμενοι] ἐνάργειαν ἐποίησε διὰ ταύτην τὴν λέξιν· καταλείποντες γὰρ τὸν κοῖλον λόχον καὶ ἐκχυθέντες κατὰ τὴν πόλιν ἐπόρθουν αὐτήν. καὶ ἄλλος μὲν ἀλλαχοῦ τὴν ὁρμὴν ἐποιήσατο ὡς ἐπὶ νυκτὸς, ὁ δὲ Ὀδυσσεὺς σὺν τῷ Μενελάῳ ἐπὶ τὸν Δηΐφοβον. καὶ ἐνίκησαν γνώμῃ Ἀθηνᾶς δεινότατον πόλεμον πολεμήσαντες. T.

516. πόλιν κεραϊζέμεν] τὴν πόλιν πορθοῦντα καὶ διαφθείροντα. Q.

αἰπὴν] ἀπὸ μὲν τοῦ αἰπός ἡ αἰπὴ καὶ ἡ ὑψηλὴ γίνεται, ἀπὸ δὲ τοῦ αἰπύς ἡ αἰπεῖα. B.

517. προτὶ δώματα Δηϊφόβοιο] ἄλκιμος γὰρ οὗτος γέγονε μετὰ θάνατον Ἕκτορος. E.Q. καὶ ἐκ τούτου οἱ μεταγενέστεροι τὴν Ἑλένην καὶ Δηϊφόβῳ γήμασθαι λέγουσι. E.P.Q.V. ἐντεῦθεν διὰ ζηλοτυπίαν ἐλθεῖν τεθνηκότος Ἀλεξάνδρου. ἀλλὰ στρατηγὸς μετὰ τοῦ Ἕκτορος θάνατον γέγονεν ὁ Δηΐφοβος ἀλκιμώτατος ὢν τῶν Πριαμιδῶν. τούτου δὲ ἀναιρεθέντος εὐχείρωτοι οἱ λοιποί. εἵπετο δὲ τῇ Ἑλένῃ οὐχ ὡς ἀνὴρ, ἀλλ' ὡς στρατηγὸς καταπαρίζουσαν φυλάττων. ᾤδει δὲ τὴν Δηϊφόβου οἰκίαν ὁ Ὀδυσσεὺς ὅτε αὐτομολῶν εἰσῆλθε. τούτων δὲ εἰρημένων ὑπὲρ Ὀδυσσέως ἑξῆς ὁ λόγος πιθανῶς γράφει τὸ . . . διηγούμενον τῶν καθ' . . . εἰ γὰρ μὴ ἀξιόπιστος ὁ λέγων τοῖς Φαίαξιν ταῦτα, ἀλαζὼν ἂν ἔδοξεν εἶναι ἀπιθάνως διηγούμενος. T.

18. ἐντεῦθεν—] Ab initio quæ desunt sic fere expleri possunt, ἐντεῦθεν οἱ νεώτεροι τὸν Μενέλαόν φασι διὰ ζηλοτυπίαν κ.τ.λ., vide quæ de hac formula, satis illa scholiastis frequenti, commentatus sum in Ephem. Litter. Hal. 1837 Januar. p. 127 sqq. Solebant sic Aristarchi notationes de seriorum poëtarum ab Homero dissensionibus indicari. Qui poëtæ, nominatim Lesches in Iliade parva (v. Exc. Proculi ap. Muellerum de cyclo Gr. ep. p. 46): Helenam post mortem Paridis nupsisse Deiphobo finxerunt, cum scholiastes noster Homerum recte observet nihil indicasse nisi Deiphobum ὡς στρατηγὸν Helenam in ædibus suis habuisse, ut cujus ædes tunc velut prytaneum Trojæ fuissent. Sic explicat locum Od. δ, 276 καί τοι Δηΐφοβος θεοείκελος ἕσπετ' ἰούσῃ, quo spectant illa, εἵπετο δὲ τῇ Ἑλένῃ οὐχ ὡς ἀνὴρ, ἀλλ' ὡς στρατηγός. PRELLER.

519. αἰνότατον πόλεμον] ἔφη δὲ αἰνότατον πόλεμον τολμήσαντα ἔπειτα νικῆσαι διὰ τὴν μεγάθυμον Ἀθηνᾶν, ἤτοι διὰ τὴν οἰκείαν φρόνησιν καὶ πανουργίαν. Q. τὸ ἔργον οὐκ ἠθέλησε κοινὸν τῶν Ἑλλήνων γενέσθαι, ἀλλὰ μόνου Ὀδυσσέως, ὥσπερ καὶ τὸν ἵππον Ἐπειὸς ἐποίησε σὺν Ἀθηνᾷ, Ὀδυσσεὺς δ' ἤγαγεν εἰς τὴν ἀκρόπολον τὸν δόλον. T. 5

520. διὰ μεγάθυμον Ἀθήνην] διὰ τὴν οἰκείαν φρόνησιν καὶ πανουργίαν. P.

523. πόσιν ἀμφιπεσοῦσα] περιπεσοῦσα τὸν ἄνδρα περιπτυξαμένη, περιχυθεῖσα αὐτῷ. Q. αὐξήσει ἐπὶ τῆς παραβολῆς δι' ἑκάστου τῶν ἐπαγομένων, ὥστε μηδεμίαν ὑπερβολὴν τοῦ οἴκτου καταλείπεσθαι· πρῶτον μὲν οὖν τὸ πρόσωπον αὐτοῦ οἰκτρόν· καὶ γὰρ ἄλλως γυνὴ κλαίουσα πένθιμον ἔχει τὴν διάθεσιν. εἶτα ἐπήγαγε "φίλον πόσιν," ἐν ᾧ αὔξησίς ἐστι διὰ τοῦ ἐπιθέτου· καταθύμιον γάρ τινα καὶ ἀρεστὸν θρηνεῖ. εἶτα καὶ "ἀμφιπεσοῦσα·" οὐ γὰρ ἀκούσασα τὴν ἀγγελίαν, ἀλλὰ παρατυχοῦσα τὸν φόνον καὶ ὁρῶσα ἐν ὄψει τὸ πρᾶγμα. T. 10 15

524. πρόσθε] γρ. προπάροιθε. H.

ὅστε ἑῆς προπάροιθε] οὐκοῦν οὐ κατ' οἶκον ὑπ' αὐτοῦ χρεὼν καταλαμβανόμενον, ἀλλὰ βίᾳ τὴν ζωὴν ἀφαιρούμενον, καὶ ταῦτα ἐπὶ καλλίστῃ προφάσει· οὐ γὰρ ἐν πολέμῳ μισθοφόρῳ διὰ κέρδος τῆς γῆς ἔξεισιν, ἀλλ' ὑπὲρ πατρίδος ἀγωνιζόμενος. T. 20

525. Καλλίστρατος, ἄστει καὶ ὥρεσσιν, ὡς τὸ "ἀμυνέμεναι ὥρεσσιν" (Il. ε, 486.). H.

526. ἀσπαίροντα ἰδοῦσα] γρ. καὶ ἀσπαίροντ' ἐσιδοῦσα. P. 25

529. εἴρερον] τὴν ἐξ αἰχμαλωσίας δουλείαν νῦν ἐκάλεσεν. ἔχει δέ τινα τοῖς κακοῖς παραμυθίαν τὸ καὶ ἀποδύρεσθαι. φησὶ γοῦν "αἰψηρὸς δὲ γόος" (Od. δ, 103.). ἐπὶ ταύτῃ δὲ οὐδὲ ἐξουσία δέδοται δακρύων, ἵν' ἐπικουφίσῃ τὴν συμφορὰν, ἀλλ' εἰς δουλείαν ἄγεται τυπτομένη. πάντα οὖν εἰς αὐτὸν συνήγαγεν ἐπὶ τὴν ὄψιν, τὴν πρόφασιν τοῦ θανάτου καλλίστην οὖσαν καὶ ἔνδοξον, τὴν ἀνάγκην τῆς αἰχμαλωσίας, τὸ μὴ ἀποκλαῦσαι τὴν συμφορὰν ἐξεῖναι. T. αἰχμαλωσίαν, δουλείαν τὴν περὶ τὰ ἔργα. καὶ ἀναπέπλασται κατ' ἀρχὴν παρὰ τὸ ἐρᾶν. Q. αἰχμαλωσίαν—παρὰ τὸ ἐρᾶν μετὰ ἐλευθερίας 30

25. ἐσιδοῦσα] εἰσιδοῦσα P.

εἴρειν καὶ λέγειν τοὺς δούλους. V. αἰχμαλωσίαν—παρὰ τὸ ἐρᾶν μετὰ ἐπιθυμίας. ἢ κοῦσπον. P.

τὴν ἐξ αἰχμαλωσίας δουλείαν νῦν ἐκάλεσεν, ἀπὸ τοῦ ἔριον. ἢ παρὰ τὸ ἐρᾶν — — τοὺς δούλους. ἅπαξ δὲ εἴρηται ἡ λέξις. E. [εἴρερος κατὰ τοὺς παλαιοὺς αἰχμαλωσία, δουλεία, παρὰ τὸ ἐρᾶν εἴρειν. οἱ γὰρ ἐν δουλείᾳ καὶ τοῦ λέγειν στέρονται μὴ παρρησιαζόμενοι. B.]

τοῖς κακοῖς παραμυθίαν ἔχει τὸ ἀποδακρῦσαι. φησὶ γοῦν "αἰψηρὸς δὲ κόρος κρυεροῖο γόοιο" (Od. δ, 103.). ταύτῃ δὲ οὐδὲ ἐξουσία δακρύων δίδοται, ἵνα ἐπικουφίσῃ τὴν συμφοράν. Q.

531. ψιλῶς τὸ εἶβεν. H.

532. ἔνθ' ἄλλους μὲν] διὰ τί τοὺς ἄλλους ἐλάνθανε δακρύων; ὅτι οὐκ ἐφεξῆς αὐτοῖς συνέβαινε καθέζεσθαι. ἔπειτα ἀπεστραμμένος πρὸς τὴν ᾠδὴν καὶ τὸν Δημόδοκον ἀποβλέποντες εἰκότως ἠγνόουν τὸ γινόμενον. ὁ γοῦν Ἀλκίνοος διὰ τὸ πλησίον καθεζέσθαι στένοντος ἤκουσεν. T.

537. σχεθέτω φόρμιγγα λίγειαν] ὡς οὕτως αὐτὰ εἴπας κατασιγάζει. τῶν δακρύων αἰτιώμενος τῷ ξείνῳ . . . . πρῶτον μὲν ἀνθρώπου . . . . ἔπασχε τὴν τύχην ὀδυρόμενος ἐξ οἵων εἰς οἷα μετελήλυθε, μετὰ ταῦτα δὲ κλαίει, ἵνα ἀφορμὴν ἐρωτήσεως . . . . T.

539. ἐξ οὗ δορπέομεν] ἀντὶ τοῦ ἐξ οὗ δεδορπήκαμεν. B.

541. μάλα] γρ. μέγα. H.

542. ὁ μὲν σχεθέτω] σχεθέτω, φησὶν, ὁ τραγῳδεὺς, ἤτοι κωλυθήτω τῆς τραγῳδίας, ἵνα μὴ τὸν ξεῖνον Ὀδυσσέα καὶ τοὺς ξενοδόκους, ἤτοι τοὺς ὑποδεχομένους ἡμᾶς τοὺς ξένους ἐπέλθῃ θλιβεροῖς ᾄσμασιν. ἕνεκα γὰρ τοῦ ξένου ταῦτα κεκίνηται, ἥ τε εὐωχία καὶ ἡ λύρα. H.Q.

τερπώμεθα πάντες] δημοτικῶς ἄγαν καὶ τοὺς ἄλλους ξενοδόχους καλεῖ. E.T.

546. ἀντὶ κασιγνήτου ξεῖνος] ὁ ξένος καὶ ἱκέτης ἀντὶ ἀδελφοῦ τυγχάνει ἐκείνῳ τῷ ἀνδρὶ ὃς κατ' ὀλίγον ἀγχιστεύει ταῖς διανοίαις. B.Q.

547. ὀλίγον περ ἐπιψαύει] ὀλίγον, φησὶν, ἐπιψαύει καὶ πλησιάζει

2. κοῦσπος Græcis recentioribus significat τὴν ποδοκάκκην. Vid. Ducangium. BUTTM.

4. Seclusi verba εἴρερος — παρρησιαζόμενοι, quæ ex Eustath. p. 1608 extr. illata esse arguit usitatum illud Eustathio κατὰ τοὺς παλαιούς.

22. τραγῳδεύς] Usitatum est τραγῳδός. Nam τραγῳδεῖν dicitur, non τραγῳδεύειν.

25. κεκίνηται] κεκρίνεται Q.

ταῖς πραπίδεσσιν καὶ ταῖς φρεσὶν, διὰ τὸ σχεδὸν ἐκ τούτων ταῖς ἀδημονίαις καὶ θλίψεσι πόρρω εἶναι. Q. ἅπτεται ταῖς φρεσὶν, ἀντὶ τοῦ φρόνιμός ἐστιν. H.P.Q.V.

ἐπιψαύῃ πραπίδεσσιν] ἐπιτυγχάνῃ, καταφρονῇ τῷ κατὰ μικρὸν φρονήσεως ἔχοντι. πιθανῶς δὲ τὴν ἐκείνου χρείαν κατέμιξε τῇ ἐρωτήσει, ἵνα μάθῃ ποῦ δεῖ πέμπειν αὐτόν. T. 5

554. τοκῆες] γρ. γονῆες. H.

555. εἰπὲ δέ μοι γαῖαν] εἰπέ μοι τὴν σὴν πόλιν, ἵνα πρὸς τὸν ἡμέτερον νοῦν δουλεύσωσι καὶ τὰ πλοῖα. ἴσασι γὰρ τὰ ἐνθυμήματα τῶν ἰδίων ἀνδρῶν. B.Q. 10

556. τιτυσκόμεναι] καταστοχαζόμεναι. Q.V.

557. οὐ γὰρ Φαιήκεσσι] ταῦτα ὁ Ἀλκίνοος περὶ τῶν αὐτοῦ νηῶν καυχᾶται λέγων ὅτι αἱ ἐμαὶ νῆες κυβερνήτου οὐ δέονται οὔτε μὴν πηδαλίων, ἅτε οὖσαι εὐκατασκεύαστοι καὶ περὶ τὸν πλοῦν εὔστροφοι καὶ ταῖς δυσχερείαις τῶν κυμάτων ὅλως ἀπήμονες, νοήματα γνοῦσαι 15 καὶ φρένας ἀνδρῶν, ἤτοι καλῶς τοῖς πλωτῆρσι καὶ ἑτοίμως ὑπείκουσαι, γινώσκουσαί τε πόλεις πάντων ἀνδρῶν καὶ ἀγροὺς πίονας, ὡς ἀεὶ διαπλέουσαι καὶ ἐν τούτοις παραγενόμεναι. Q. τοῦτο φανερὸν ὅτι ἐκτετόπισται ἡ πλάνη· διὸ μὴ χρῄζειν τὰς ναῦς τῶν κυβερνητῶν, ἀλλ' αὐτὰς τὸν πλοῦν ἐπίστασθαι. T. 20

563. ἔπι δέος] τὸ γὰρ, ἔπι δέος, ἀπὸ κοινοῦ. B.Q.

564. ἀλλὰ τόδ' ὥς ποτε πατρὸς] ἀθετοῦνται· οἰκειότερον γὰρ ἐν τοῖς ἑξῆς, ὅταν ἴδωσι τὴν ναῦν ἀπολελιθωμένην ὑπὸ τοῦ Ποσειδῶνος ἐκ τοῦ ἀποτελέσματος, ὥσπερ ὁ Κύκλωψ ὑπὸ τοῦ . . . ἀναμιμνήσκεται, καὶ ἡ Κίρκη· "ἦ σύγ' Ὀδυσσεύς ἐσσι" (Od. κ, 330.) καὶ ἐν- 25 ταῦθα δὲ παλιλλογοῦνται. εἰ δὲ ἔμαθε Ὀδυσσεὺς τὸν χρησμὸν, οὐκ ἂν αὐτοῖς ἐμήνυσε τὰ ὑπὲρ αὐτοῦ, οὐδὲ Ἀλκίνοος ἔπεμψεν αὐτὸν ὑπερβολῇ φιλοξενίας. ἀλλὰ καὶ εὐχὴ γέγονε τοῦ Κύκλωπος· "ὀψὲ κακῶς ἔλθοι νηὸς ἐπ' ἀλλοτρίης" (Od. ι, 535.). ἀλλὰ καὶ αὐτοὶ ἴσως ἔχαιρον τῇ πηρώσει τοῦ Κύκλωπος, δι' αὐτῶν ἀναγκασθέντες μετοικῆσαι. T. 30

2. ἅπτεται] ἀττικῶς H.

14. ἅτε Buttm. pro οὔτε.

15. γνοῦσαι καὶ φρένας Buttm. pro οὖσαι καὶ φρένες.

20. ἀλλ' αὐτὰς Prellerus. ἀλλὰ ταύτας T.

21. ἀπὸ κοινοῦ] Vid. ad γ, 104. De v. 564—574. conf. schol. ad ν, 172. 173. BUTTM.

24. ἀναμιμνήσκεται] H. e. postquam fata per Ulyssem expleta erant Od. ι, 506. seqq. PRELLER.

26. παλιλλογοῦνται] Sc. Phæaces, v. Od. ν, 565 seqq. PRELLER.

27. οὐδὲ Prellerus. ὁ δὲ T.

28. αὐτὸν addidit Prellerus.

565. Ποσειδάων ἀγάσασθαι ἡμῖν] ὀργισθῆναι μέλλει, ἀντὶ τοῦ φθονῆσαι. B. ἀγάσεσθαι] ἄγαν ὀργισθῆναι. V.

567. φῆ ποτε] ὅτι ὁ Ποσειδῶν εἶπέ ποτε ὅτι φθερῶ τὴν εὐεργέα τῶν Φαιήκων νῆα ὀργιζόμενος διὰ τὸ πλεῖν τούτων τὰς νῆας ἀπήμονας, φθόνῳ πάντως βαλλομένας. H.Q. 5

ἄλογον δοκεῖ, πῶς ἀκούσας ὁ Ὀδυσσεὺς τὴν Ποσειδῶνος γνώμην ἔτι διηγήσασθαι μέλλει ὅτι ἐν προσκρούσει γέγονε τῷ θεῷ. διὸ δεῖ ὑποπτεύειν τοὺς στίχους τούτους. φαμὲν οὖν ὅτι ὑποσχόμενος ἤδη Ἀλκίνους τὴν πομπήν, οἱ δὲ ἀγαθοὶ τὰς ὑποσχέσεις οὐκ ἀναπαλαίουσιν· "οὐδ' ἀτελεύτητον ὅ τι κεν κεφαλῇ κατανεύσω" (Il. α, 527.)· 10 ἔτι δὲ καὶ ἡ φιλοξενία ἐποίει καταφρονεῖσθαι τὴν πρόρρησιν μηδὲ πάνυ πιστευομένην παρὰ τοῦ Ἀλκινόου. διό φησι "τὰ δέ κεν θεὸς ἢ τελέσειεν ἤ κ' ἀτέλεστ' εἴη." νῦν δὲ ἐν τῇ διηγήσει Ὀδυσσεὺς οὐ μόνον τὴν ἔχθραν τοῦ θεοῦ λέγει, ἀλλὰ καὶ τὴν μαντείαν τὴν παρὰ τοῦ Κύκλωπος, "οὐδέ ποτ' ἔλθῃ ὀλέσας ἀπὸ πάντας ἑταίρους" (ι. 534.). 15 H.Q.

569. ῥαισέμεναι] γρ. ῥαίσασθαι. H.

ῥαίσεσθαι] γρ. ῥαισέμεναι. P.

570. ὣς ἀγόρευ'] ταῦτα, φησίν, ἅπερ εἶπεν ὁ Ποσειδῶν ἢ τελέσειε καὶ πράξει ἢ καταλείψει ἀτέλεστα, καθὼς αὐτῷ δόξῃ. Q. 20

τὰ δέ κεν θεὸς ἢ τελέσειεν] τὰ πρὸ πολλοῦ γὰρ παραδεδομένα μαντεύματα ἤδη ἔωλα ἐδόκει καὶ οὐ πάντως ἔφετο ὑπὸ τούτου συντεθήσεσθαι. πολλοὺς δὲ ἀποστολῆς τετυχηκότας, ἅμα δὲ τοῦ ναυαγίου σεσωσμένους ὁρῶν. ἐνόμιζεν ὡς ἄρα καὶ ἡ ὀργὴ τοῦ Ποσειδῶνος πέπαυται. T. 25

571. ἤ κ' ἀτέλεστ' εἴη] νῦν τὸ εἴη ἀντὶ τοῦ ἐάσει. V.

ὑπὸ τῆς κατὰ τὴν διήγησιν ἡδονῆς ὁ Ἀλκίνους τῆς προρρήσεως ἐπελάθετο. ἀλλὰ πῶς Ὀδυσσεὺς ταῦτα ἀκούσας τὴν Ποσειδῶνος μηνύει ὀργὴν ἢ ἠθέλησε τἀληθῆ εἰπεῖν; E.V.

2. ἀγάσεσθαι] Sic in antiquis editionibus. Confer μέλλει in schol. B. Etiam in cod. Vind. 56. ἀγάσεσθαι superscripto α. BUTTM. Conf. schol. ad ν, 173.

3. φθερῶ Buttm. pro φθείρω.

5. βαλλομένας] βαλλόμενος H.

7. ἔτι διηγήσασθαι μέλλει om. Q. δεῖ H. καὶ Q. Exspectes nomen grammatici cum verbo φησί. Eustath. p. 1610, 37. σημείωσαι δὲ καὶ ὅτι ἐνταῦθα μὲν τὸ κατὰ τὸν χρησμὸν χωρίον ὀβελίσκους ἔχει· μετὰ ἀστέρων, δι' ὧν δηλοῦται ὡς ἐνταυθοῖ μὲν οὐ καλῶς κεῖνται τὰ ἔπη, ἀλλαχοῦ δὲ ἄριστα ἔχει. δοκεῖ γὰρ οὐ πιθανῶς πλασθῆναι τὸ πεμφθῆναι οἴκαδε ξεῖνον ὑπὸ Φαιάκων ἔχθιστον τῷ Ποσειδῶνι, οὗ τὸν φόβον ἐπέσειεν ὁ χρησμὸς τοῖς Φαίαξιν etc.

8. τοὺς στίχους] v. 564—571.

579. τὸν δὲ θεοὶ μὲν τεῦξαν] οὐ διὰ τοῦτο ἀπέκλωσαν, ὑπὲρ τοῦ ᾠδιμον γενέσθαι, ἀλλ' ἵνα ἀπόλωνται· παρηκολούθησε δὲ τὸ τὰς πράξεις ἀοιδίμους γενέσθαι. ἔστιν ὅμοιον τῷ ἐν Ἰλιάδι "ὡς καὶ ὀπίσσω ἐν ἀνθρώποισι" (ζ, 357;). προεμαντεύετο γὰρ ὁ Ὅμηρος τὴν δόξαν τῆς ἑαυτοῦ ποιήσεως. πάνυ δὲ φιλάνθρωπος ὁ Ἀλκίνοος τοπάζων αὐ- 5 τὸν λυπήσειν ἐπὶ τῇ ἁλώσει τῆς Ἰλίου πειρᾶται αὐτὸν παρηγορεῖν ἡγούμενος αὐτὸν ἀπὸ Ἰλίου φυγεῖν. T.

581. ἦ τίς τοι καὶ πηὸς] σαφῶς ἐκ τούτου δηλοῦται ὅτι πηὸς οὐ κατ' ἐπωνυμίαν οἰκεῖος ἢ φίλος, ἀλλ' ἑταῖρος, ὡς οἱ πολλοὶ τῶν γλωσσογράφων. ἐπιφέρει γοῦν ἀντιδιαστέλλων "ἤ πού τις καὶ ἑταῖρος 10 ἀνήρ," ὁρισμὸν ποιῶν. ἡ φιλία γὰρ ὅταν τις τῶν αὐτῶν ἐπιτηδευμάτων ζηλωτὴς τύχῃ, ὅπερ δηλοῖ διὰ τοῦ "κεχαρισμένα" πράττειν· οὐκ ἄλλα δὲ, διὸ προσέθηκε τὸ "ἐσθλός." T. αἷμα οἱ παῖδες, γένος ἀδελφοὶ καὶ ἀνεψιοί. οἱ πηοὶ γοῦν φίλτατοι τυγχάνουσι μετὰ τὸ αἷμα καὶ τὸ γένος. B.Q. ἀπέφθιτο] διεφθάρη. V. 15

583. μεθ' αἷμά τε καὶ γένος αὐτῶν] αἷμα μὲν λέγειν ἀκουστέον τὰ τέκνα. καὶ γὰρ τὸ "αἵματος εἷς ἀγαθοῖο" (Od. δ, 611.) δηλοῖ τὸ ἐκ σπέρματος εἶναι ἀγαθοῦ, ὅτι καὶ τὸ σπέρμα ἐν οὐσίᾳ ἐστὶ τῷ αἵματι. τὸ δὲ κατὰ γένος αὐτῶν ἤτοι τῶν τέκνων λέγει, ἵν' ᾖ τὰ ἔκγονα, ἵν' ᾖ τὸ αὐτοῦ γένος, ἵνα τοὺς ἀδελφοὺς αὐτῶν καὶ τοὺς ἐκ 20 γενέσεως ὀνομάζῃ· μεθ' οὓς κηδίστους εἶναι τοὺς κατ' ἐπιγάμου συγγενεῖς "οἵπερ εἰσὶ γαμβροὶ καὶ πενθεροὶ, οὓς πηοὺς ὀνομάζει διὰ τὰ ἐπιδιδόμενα ἐπὶ ταῖς γαμουμέναις πάμματα καὶ πώεα. Q. et breviatum P. καὶ γένος ἀνδρῶν] γρ. αὐτῶν. H.

585. ἐσθλός] οὐ τὰ γένη φησὶ τὰς φιλίας συνάγειν, ἀλλὰ τοὺς 25 τρόπους. μέγιστον δὲ πρὸς φιλίας συλλαμβάνειν, ὅταν ἀγαθός τις τυγχάνῃ ἢ ὅταν ἀγαθοὺς ἔχῃ τοὺς κηδεστάς. T.

ἐπεὶ οὐ μέν τι κασιγνήτοιο] δαιμονίως ἐνέστησε τὰ τῆς φιλίας. ἀγαθὸς γὰρ φίλος εὑρεθεὶς οὐδὲν ἀδελφοῦ οὔτε ἐν τῇ χρείᾳ οὔτε ἐν τῇ ἡδονῇ διαφέρει. T. 30

586. πεπνυμένα] γρ. κεχαρισμένα. H.

1. 2. ἐπέκλωσαν—ἀπόλωνται—παρηκολούθησε] ἀπέκλωσαν — ἀπόλλωνται —προηκολούθησε T.

7. φυγεῖν Prellerus. φυγόντος T.

11. ὅταν—τύχῃ] Hæc verba in B. adscripta ad πεπνυμένα εἰδῇ v. 586. ubi est τυγχάνῃ.

13. δὲ] ἢ ἀγαθὰ addit Preller. τὸ ἐσθλός] τὸν ἐσθλόν T.

18. ἐστὶ] ἐπὶ Q.

21. ἐπιγάμου] ἐπιγαμίαν Buttm.

26. πρὸς] πρὸς τὸ τὰς Prellerus.

PA
4035
A3
1855
t.1

Homerus
Scholia graeca in
Homeri Odysseam

PLEASE DO NOT REMOVE
CARDS OR SLIPS FROM THIS POCKET

UNIVERSITY OF TORONTO LIBRARY